



HERMIAE ALEXANDRINI

IN PLATONIS PHAEDRUM SCHOLIA



HERMIAE ALEXANDRINI

IN PLATONIS PHAEDRUM SCHOLIA

CHALON-SUR-SAONE
IMPRIMERIE FRANÇAISE ET ORIENTALE DE E. BERTRAND

Hermias of Alexandria

HERMIAE ALEXANDRINI

IN PLATONIS PHAEDRUM SCHOLIA

AD FIDEM CODICIS PARISINI 1810 DENUO COLLATI
EDIDIT ET APPARATU CRITICO ORNAVIT

P. COUVREUR

GALLICAE UNIVERSITATI IN ORDINE GRAMMATICORUM
PROFESSOR AGGREGATUS
OLIM IN SCHOLA NORMALI ET IN SCHOLA ALTIORUM STUDIORUM ALUMNUS

PARIS (2e)
LIBRAIRIE ÉMILE BOUILLON, ÉDITEUR
67, RUE DE RICHELIEU, AU PREMIER
1901

—

BIBLIOTHÈQUE

DE L'ÉCOLE

DES HAUTES ÉTUDES

PUBLIÉE SOUS LES AUSPICES

DU MINISTÈRE DE L'INSTRUCTION PUBLIQUE

SCIENCES HISTORIQUES ET PHILOLOGIQUES

CENT TRENTE-TROISIÈME FASCICULE

HERMIAE ALEXANDRINI IN PLATONIS PHAEDRUM SCHOLIA

EDIDIT P. COUVREUR

PARIS (2e)

LIBRAIRIE ÉMILE BOUILLON, ÉDITEUR

67, RUE DE RICHELIEU, AU PREMIER

1901

Sur l'avis de M. E. TOURNIER, directeur de la Conférence de philologie grecque et de MM. JACOB et DESROUSSEAUX, commissaires responsables, le présent mémoire a valu à M. Paul COUVREUR le titre d'*Élève diplômé de la Section d'histoire et de philologie de l'École pratique des Hautes Études.*

Paris, le 8 novembre 1897.

Le Directeur de la Conférence de philologie grecque,

Signé : Ed. TOURNIER.

Les Commissaires responsables,

Signé : A. JACOB.
A.-M. DESROUSSEAUX.

Le Président de la Section,

Signé : G. MONOD.

PRÆFATIO

Cum Paulus Couvreur, admodum adulescens, acerba morte abreptus est, de litteris Græcis Platonicisque studiis jam bene meritus erat et in id toto animo incumbebat ut hunc Hermiæ de Platonis Phædro commentarium publici juris faceret. Non modo enim codicem Parisinum 1810 ab Astio neglectum diligentissime excusserat et novas lectiones excogitaverat ad textum emendandum, sed cum omnia hæc in formam redegisset et librum propria manu conscripsisset, nihil obstare videbatur quin opus jam fere absolutum typis excudendum traderetur.

Sed diis aliter visum, nec Paulo Couvreur contigit summam operi imponere manum. Ipse autem providerat ne tantus labor in vanum caderet, et, cum pene déficeret exanimatus, propinquis suis præceperat ut quod infectum relinqueret mihi conficiendum mandaretur. Quam provinciam ne desererem, cum pietas erga defunctum amicum, tum memoria officiorum quæ animo semper parato in me contulerat, suadebant. Tantam enim erat auctoritatem consecutus, tam acuto erat præditus ingenio tamque varia eruditione imbutus ut haud raro ad eum confugerem, non tanquam amicus ad studiorum sodalem, sed quasi discipulus ad magistrum. Et, cum se philologicis disciplinis paulo ante dedisset quam eas ipse vel leviter attigissem, sæpe mihi quid sibi vellent et quænam esset earum utilitas,

*

vel monendo vel etiam errantem amice reprehendendo, commonstrabat. Si quid igitur hodie ad Hermiæ commentarium in lucem edendum valui, beneficium hoc illi magna ex parte debere mihi videor : disciplinas quas mecum benigne communicaverat easdem ad opus ejus perficiendum adhibui, amici dilectissimi memoriæ persolvens quod ab eo tantum eram mutuatus.

Sperabam equidem, cum, ineunte anno MDCCCXCIX, opus sum aggressus, fore ut brevi illud ad finem perducerem. Sed inde ab initio difficultates[1], de quibus longius disserere non operæ pretium est, tam multæ ac variæ exstiterunt, ut annum fere totum absumerent. Quin et eis tandem explicatis, cum jam codex typis mandaretur, aliæ minoris quidem momenti incidebant, quas ad explanandas non satis perspectum habebam quid sibi ipse Paulus Couvreur proposuisset[2]. In his autem discriminibus numquam mihi defuit optimus ille vir idemque doctissimus Desrousseaux, qui, cum utrumque nostrum summa semper esset benevolentia prosecutus, tum præsertim me benigne excepit, et expedita, ut ita dicam, eruditione fretus, ea mihi suppeditavit quæ obstantia sublevarent. Gratiam vero quam maximam habeo rerum grammaticarum eruditissimo et in veterum codicum dispiciendis scripturis peritissimo viro Alfredo Jacob. Ille enim, ne quid legentem Paulum Couvreur fefellisset, codicem Parisinum 1810 accu-

1. Quarum difficultatum una ex eo oriebatur quod, cum Paulus Couvreur in apparatu critico nonnulla adnotaret quæ ad posteriorem operis partem spectarent, typothetis non satis multi in præsto erant typi ut amplius quam sedecim vel triginta duo paginas simul compositas haberent. Quotiescumque ex hoc rerum statu non mihi copia erat locum in apparatu critico laudatum plane ac dilucide statim designandi, numero tantum notato, rem ad calcem dimisi ubi, sub titulo *Addenda et corrigenda*, eodem numero iterato, facile paginæ et versus mentionem reperies.

2. *Indicis* etiam, cujus passim in apparatu critico mentio est facta et quem cum codice commissum fuisse typothetis mihi persuaseram, cum nulla exstarent vestigia, hanc operis partem de meo conscripsi.

ratissime denuo contulit et adnotatiunculas mecum communicavit e quibus magnam ad apparatum criticum vel emendandum vel locupletandum utilitatem percepi. Summam ipse ego — si de me proloqui licebit, — industriam in eo locavi, ut, cum opus essem aggressus, omnes corruptelas tollerem quæ vel typothetarum vel Pauli Couvreur ipsius errore in textum irrepsissent. Utinam ne nimis indignum illud videatur et iis qui mihi tam liberaliter opem tulerunt et doctissimo amico cujus ad memoriam supremum hoc officium tribuendum putavi.

Scribebam Lutetiæ exeunte mense quintili MDCCCCI.

L. Bodin.

PROLEGOMENA

Dum *Commentaria in Aristotelem græca* curis et impensis Academiæ Regiæ Borussicæ in splendidissimis iisdemque optimis editionibus paulatim in lucem prodeunt, nullum de Commentariis in Platonem fit verbum, quorum pleraque semel — nonnulla etiam numquam — edita sunt, eaque tam mendose, ut non sine longo fastidiosoque labore legi possint. Inter quæ in primis numeranda quæ scripserunt in *Gorgiam* Olympiodorus, Hermias in *Phædrum*. Nunc de hoc solo agatur. Ante primos exeuntis sæculi annos vixdum innotuerat, cum parva tantum fragmenta Ruhnkenius in *Timæum*, Mullerus ad *Ionem*, Siebenkeesius in *Anecdotis*, Gesnerus ad *Orphicorum* calcem, Fischerus in Platonis editionibus, alii, juris publici fecissent, non nominatis tamen codicibus quibus usi essent. Sed jam in Fabricii *Bibliothecæ* editione Harlesiana (vol. III, p. 82) fere omnes libri manuscripti indicabantur qui Hermiæ tres libros continebant : quos tamen nec vidit neque quidquam de iis percontatus est Fridericus Astius, cum anno 1810 ex novo codice (Monac. XI) ea scholia post *Phædri* textum princeps integra incepit inserere. Ille autem codex inter pessimos eorum habendus est quorum beneficio Hermias ad nostram pervenit notitiam; adde quod eum non satis accurate recensuit Astius; deinde in legendis plagulis parum fuit diligens, ita ut sæpissime signa distinctionis vel defuerint vel abundaverint, nonnunquam casu in oratione dispersa esse videantur; denique editor tam vili chartaet typis tam minutis pressisque usus est ut legentis oculi non minus quam mens excrucientur. Itaque non modo omnia quæ in Hermiæ commentario vel ad textum Platonis *Phædri* recensendum, vel ad res sententiasque explicandas pertinent, adhuc latuerunt, sed et ea quæ de

philosophia platonica et plotiniana haudquaquam spernenda ibi continentur. Non indigna igitur hæc scholia mihi visa sunt quæ iterum melioribus subsidiis ederentur, præsertim postquam SCHANZIUS in *Hermæ* vol. XVIII, p. 129, et RUELLIUS in *Revue des Études grecques*, 1890, p. 312, de excellentia Parisinorum codicum disserentes novam optaverunt editionem.

§ I. — DE HERMIA

Videbis apud Fabricium, *l. l.* (et VII, 144, n. 44), quot Hermiæ in litteris græcis fuerint, et quomodo noster nonnunquam cum filio suo Ammonio sit confusus, cum legeretur, exempli gratia, in titulo commentarii ad Porphyrii Isagogen « *Ammonii Hermiæ* commentarius, etc. », et nominativus non, ut res est, *Ammonius Hermiæ*, sed *Ammonius Hermias* crederetur esse : qui error etiam in librum quem W. von CHRIST de litteris græcis scripsit (p. 374 ed. prioris) nescio quo modo irrepsit.

Hermiam Alexandrinum in altera quinti sæculi parte floruisse constat[1], sed neque quo anno natus sit, neque quo mortuus, definiri potest. Magistrum habuit Syrianum Philoxeni filium, neoplatonicum, qui scholæ post Plutarchum Nestorii filium præfuit cujusque commentaria in *Phædonem*, *Rempublicam, Timæum*, *Leges* audimus fuisse, in Aristotelis *Metaphysica* et in Hermogenis *Rhetoricam* partim possidemus. Syrianum simul cum Hermia secutus est nobilissimus ille Proclus, ætate paulo minor, qui eum sodalem semper habuit amicissimum. Dicitur et Ægypto Hermias necessitudine quadam conjunctus fuisse, Isidori philosophi avunculo. Uxorem habuit pulcherrimam castissimamque Ædesiam, Syriani, ut dicitur, neptim, quam ille prius Proclo spoponderat, sed cum hunc « deus quidam » (ut ait Suidas) prohibuisset ne uxorem duceret, Hermiæ dedit. De Ædesia maximæ laudes ad nos pervenerunt : Alexandrinarum eam et formosissimam et optimam fuisse, simplici ingenuoque animo, præclara erga deos pietate,

1. De Hermia hæc sunt testimonia : Damascius in Photio, codd. 181 et 242; Suid., s. vv. Ἑρμείας, Αἰδεσία, αὐτοκίνητον. Non videtur ab alio, nisi ab Eustathio ad Dion. Perieg. Hermias laudatus fuisse.

pari erga miseros liberalitate. Itaque conjicere possumus Hermiam felicem tranquillamque vitam egisse : neque enim quidquam de eo vel incertum audimus. Nam quod Suidas ex Agathia narrat, Hermiam quemdam in Persam legatum fuisse cum aliis philosophis, non ad nostrum videtur pertinere, cum neque tempora constent[1] et ille e Phœnicia fuisse dictus sit. Hoc solum credi potest, eum publice Alexandriæ docuisse, cum de victu ei a civibus dato loquatur Suidas; hoc vero certum, eum ante uxorem mortuum esse duosque filios, Ammonium et Heliodorum, etiam tum parvulos reliquisse, qui ambo postea longe majorem patre gloriam adepti sunt. Nam cum ei tempus defuisset ut filios in philosophia institueret, id Ædesia omni animo curavit ut eis patris scientiam quasi heredium traderet, videturque hæc nova sed multo mitior Cornelia tunc maxime miranda fuisse, quae in iisdem semper liberalitatibus, quanquam haud magna prædita fortuna, pergeret, simulque filios, Proclo adjuvante, ad viri ætatem deduceret et ipsa Athenas, quo facilius discerent, comitaretur. De Ammonio Heliodoroque Damascii et aliorum magistris satis constat; denique de Hermiæ fratre quodam Gregorio audimus, qui et ipse philosophatus est, isque acutissimo animo, sed nondum senis et corporis et mentis usum perdidit.

Ex iis quæ Damascius de Hermia narrat apparet illum plane dignum fuisse qui Ædesiam haberet conjugem. Nam ea indole præditus esse dicitur ut eum ne Momus quidem, ut aiunt, irridere voluisset et cum aliis virtutibus ornatus, tum præsertim mansuetudine et æquitate. Exemplum affertur quod quotiescumque quid emeret — et sæpissime libros utpote diligentissimus philosophus emebat — si forte venditor vilius peteret pretium, errantem corrigebat, ne volentem quidem frustrare conatus. Domi et patris et conjugis muneribus optime functus est, non ita tamen ut pueros puerilia sineret doceri, sicut ex historiola quadam quam vide apud Damascium, illa quidem non sat perspicua, disci potest. In philosophia autem, ut diximus, summa diligentia excelluit : nam et Syriani verba memoria semper tenebat, neque cujusquam quod

1. Nam Hermias ille ad Chosroem cum Simplicio et Damascio proficiscitur, qui ambo Heliodorum, nostri Hermiæ filium, audiverunt; Heliodorus autem, cum pater interiit, adolescentulus erat. (Suid., s. v. πρέσβεις ex Agathia, II, 30).

semel in libro legerat obliviscebatur; immo dum studebat, nulli φιλοπονίᾳ, ne Proclo quidem erat inferior. Non tamen ita ingenii acumine præstitit, neque ἀγχίνους neque ὀξύς fuisse dicitur, verum prorsus in inveniendis argumentis inhabilis, ita ut vel quæ ex imo corde vera esse arbitrabatur ea adversario probare rarissimo posset. Itaque in historia scholæ Alexandrinæ nihil ejus proprium, neque quidquam de suo scripsit, totus in divi Platonis dialogis interpretandis versatus. Leges tamen in catalogo bibliothecæ Escorialensis quem ante incendium anno 1579 descripsit G. Lindanus (Milleri, p. 128) inter philosophorum codices : « Hermiæ medici mathematica et in Platonis Phædrum K-III-16; Δ-VII-17 et Θ-III-7 » ; sed, cum hi plutei igne perierint, non dijudicari potest utrum noster hæc mathematica scripserit annon, et cur hic medicus sit dictus : verisimillimum tamen est de alio vel de aliis agi, de quibus vide Fabricium. Nam qui, si Damascio credimus neque λόγων ἀποδεικτικῶν εὑρέτης, neque γενναῖος ἀληθείας ζητήτης fuit, neque in eloquendo ἀκρίβειαν adipisci potuit, is vix se mathematicis dederat.

Commentarios igitur tantum de Platonis dialogis reliquerat, eosque ex iis compositos quæ vel a Syriano vel a Proclo audiverat, aut apud priores interpretes ut Harpocrationem, vel philosophos ut Plotinum, Porphyrium, Iamblichum, legerat. Verisimile est eum plures scripsisse, sed de nullo ad nos mentio pervenit nisi de eo quem possidemus : in quo tamen interdum se nonnulla dixisse declarat, quæ frustra in præcedentibus quæras.

Postquam paucis verbis præfatus est, extemplo Hermias quod sit dialogi argumentum diligenter narrat; deinde, quod magis notatu dignum, exponit quid reprehendant in illo nonnulli Platonis inimici, a Dionysio vel Didymo, ut videtur, defluentes, et ipse philosophi causam agit. Inde usque ad finem operis Platonici textum plerumque verbatim explicat neque usquam longius disserit, nisi de Animæ immortalitate : in quibus scholiis tres libros librarii fecerunt, sed uno tenore legi possunt. In explicando utpote Alexandrinus sæpe subtilior et in simplicissimo quoque verbo reconditissima quærens et mysteriis digna, non sine fructu tamen ab iis qui historiæ philosophicæ curiosi sunt evolvetur, qui Platonicis quidem libris sit quasi imbutus, neoplatonicorum vero deorum, dæmonum, angelorum, heroum ordines

divinasque catenas immiscuerit et sæpe Platonem secundum Pseudo-Orphica sit interpretatus.

Immo maximi momenti sunt, opinor, quæ de nonnullis Platonicæ doctrinæ difficultatibus disputat, et præsertim de anima immortali. Namque ibi de mediis terminis agitur, in quibus inveniendis, ne seorsum Deus et mundus manerent, omnem fuisse scimus inde a Platone philosophorum qui eum sequebantur conatum. In Deo enim (vel Ente) nulla in id quod extra eum sit actio, nulla, ut Kantii verbis utar, *heteronomia*, nullus temporis, nullus loci respectus : nullus igitur motus, ideoque ἀκίνητον vocatur. In mundo autem phænomenorum, quorum aliud quid causa est, necessario omnia moventur, sed non sponte moventur, ideoque vocatur ἑτεροκίνητον. Quæ quasi fossa inter Deum et mundum necessaria esse philosophis visa erat, cum, ubi cum Heraclito omnia fluere arbitrati essent, nihil pro certo habere essent coacti. Sed cum nunc Deus Aristotelicus ille neque mundum neque se ipsum moveat (nam unus et æternus est, neque partes habet, neque temporis et loci notiones recipere potest), ita diversus efficitur a mundo, ut vere contrarius dici possit. Secundum ipsum igitur Aristotelem oportet inter illa contraria, velut inter omnia, medium aliquid esse, quod sicut τὸ ἑτεροκίνητον movebitur, non tamen ab alio, quodque sicut τὸ ἀκίνητον causa sui erit, neque tamen manebit immobilis : productereaque vocabitur illud αὐτοκίνητον sive anima. Neque is puerorum vel Alexandrinorum ludus : nam si recte inspexeris quæcumque etiam nunc disserunt philosophi conantes intellegere quomodo aliquid inter æternitatem et tempus, inter motum et quietem esse possit, vel quid sit liberum arbitrium, facile apud omnes invenies aliquid quod τῷ αὐτοκινήτῳ est simillimum, cum contrariorum proprietates in se simul præferat. Sed cum, dum Ens a Non-Ente separare volunt, ita id quavis qualitate spoliavissent ut ne nominare quidem possent (sicut Plato in *Parmenide* fatetur), rursus cum Non-Ente poterat confundi : nam secundum eumdem Platonem et Bonum ipsum et Malum ipsum quasi Non-Entia apparent : quod omnes postea Platoni exprobrabant. Noster autem Hermias non sine quodam acumine quid ibi arduum esset vidit, id est quomodo inter duo illa Non-Entia differentia quædam inveniri posset : quam ipso τῷ αὐτοκινήτῳ obtinemus. Nam ubi

a τῷ γιγνομένῳ proficisceris ad alterutrum Non-Ens, statim scies ad utrum contendas si in progrediendo τὸ αὐτοκίνητον repereris : itidem cum τὸ ἀκίνητον idcirco non moveri possit quod omnibus quæ moventur aut superius sit aut inferius, ideoque duo sint ἀκίνητα, nos qui semper a τῷ ἑτεροκινήτῳ proficiscimur, facile scimus utrum nobis sit propositum. Quod ex hoc schemate melius intellegi poterit :

↑ 'Ακίνητον = μὴ ὂν ὑπερούσιον (Ens = Non-Ens abundans = Deus)
Αὐτοκίνητον (anima, causa sui)
'Ετεροκίνητον = γιγνόμενον (phænomena, mobilia)
Medium aliquid, de quo non loquitur Hermias
↓ 'Ακίνητον = μὴ ὄν (Non-Ens deficiens = materia)

De quo longius disserui ut exemplo ostenderem Hermiam non ita contemnendum esse, si quis usque ad quintum sæculum velit fortunam sequi quam Platonis philosophia nacta est. Adde quod multæ explanationes in nostro commentario plenæ sunt ingenio acutissimo, nonnullæ historiolis quas alias frustra quæras ornatæ. Denique ipsius interpretis opus habemus (non ut in Olympiodoro pueri cujusdam rudes indigestasque πράξεις) cujus dicendi genus etsi copiosissimum, satis purum tamen est neque molestum. Audeant igitur philosophi accuratius Hermiam legere.

§ 2. — De Hermiæ Codicibus

Scholia Hermiæ philosophi in Platonis Phædrum, ut aiunt librarii, in multis codicibus continentur, qui nunc sunt enumerandi, ut hæc opinio confirmetur, jam a Jordanio in *Hermæ* vol. XIV, p. 262, declarata, qua omnes ad unum *Parisinum* 1810, (A) referri debere creduntur.

In Bibliotheca Nationali *Parisiensi* sex Hermiæ codices inveniuntur :

A 1° *Par.* 1810 (A) chart. in-f° xiii[i] sæculi exeuntis, olim Francisci Asulani, totus eadem manu scriptus[1], in quo continentur Platonis

1. Exceptis tamen fragmento mathematico et epistula pythagorica ; nam illud litteris minusculis scriptum, hæc cum litteris tum in charta ætatis paulo recentioris, ambo circa XVum sæculum. Vide appendicem ad calcem horum prolegomenorum.

Euthyphro, *Crito*, *Apologia*, *Phædrus* cum HERMIA, *Parmenides* cum PROCLO, X libri *de Republica*, *Convivium*, *Timæus Locrus*, dein (f° 96^r) fragmentum ineditum Nicolai mathematici recentissimi et (f° 301^r) epistula Lysidis pythagorica. Prolegomena Hermiæ ad *Phædrum* inde a f° 17^r leguntur, deinde scholia quæ proprie dicuntur circum textum Platonicum exscripta sunt usque ad f^{um} 93^r. Textum et scholia eodem tempore descripsit librarius : nam curavit ut quotiescumque illa longiora essent, paucas tantum Platonis lineas in media pagina scriberet, ita ut fere semper verba et verborum interpretatio in eadem pagina legerentur. — Sed cum humiditate vel nescio qua alia causa cujusque folii superior et exterior pars ita corrupta esset ut litteræ fere prorsus essent evanidæ, lector quidam benevolus eas nigriore atramento refecit : ille autem pristinæ scripturæ vestigia, cum etiamtum apparebant, satis apte secutus est, ubi nihil jam perspicuum erat, e sensu supplevit ipse ut potuit : nam ex multis ineptiis quas Hermiæ textui introduxit manifestum est eum nullum alium codicem adhibuisse[1]. Hujus lectoris anonymi manus xvi^i aut xvii^i sæculi videtur esse ; certe jam omnia quæ possidemus codicis A apographa descripta erant : nam nullum eas quas dixi ineptias præbet. Raro sub atramento dijudicari potest quæ prius scripta
A^a fuerint : quod ubicumque fieri non poterat, usus sum siglo (A^a), ne huic lectioni eadem fides quae reliquo codici tribueretur; cum autem prioris librarii scriptura adhuc legi poterat, lectoris manum
a siglo (a) significavi. — F^i 46^v infima pars et totum f^{um} 47^r vacua sunt quia, ut SCHANZIUS conjecit, in exemplari nonnulla interciderant : omnes vero, quod sciam, codices *eamdem præbent lacunam*, vel aliquo vel nullo spatio relicto (vid. infra ad pag. 117 edit. Astianæ).

B 2º *Par.* 1825 (B) chart. in-f^o xvi^i sæculi; olim Jac. Aug. Thuani, deinde Colbertinus, solum Hermiam continens, ineleganti manu scriptus. Pessimus codex mendis refertus, quarum tamen quasdam secunda manus ex meliore exemplari correxit.

C 3º *Par.* 1826 (C) chart. in-f^o xvi^i sæculi, olim Joh. Hur. Boistallerii, solum Hermiam continens a Johanne Murmurio (id est Peloponnesio), Cornelii ut videtur fratre, anno 1561 ex antiquo

1. Cf. SCHANZ, loc. laud. supra, p. VI.

exemplari bibliothecæ Sancti Marci Venetiarum transcriptus, emptus anno 1563[1]. Codicis B manus cum hujus Johannis manu nescio qua cognatione mihi jungi visa est. Hic autem codex C mendosissimus ; lemmata multo longiora quam in A, ex aliquo Platonis exemplari descripta. Correctus primum ab eadem manu, deinde ab altera, secundæ manui codicis B prorsus simili. Post finem libri scholiorum tertii incipit iterum liber primus eadem

C¹ manu ut videtur scriptus (C¹) et iisdem fere omnibus locis correctus : immo in primis saltem foliis lineæ totidem verbis, paginæ totidem litteris atque in C constant : sed plura menda. Codex stricta necessitudine cum B et M (vide infra) conjunctus.

D 4° *Par.* 1827 (D) chart. in-4°, ff. 153 (nam 121 iteratum) XVI[i] sæculi, manu Angeli Vergetii pulcherrime scriptus atque ornatus, ex bono antigrapho (non tamen ex A) transcriptus, solum Hermiam continens. Sed librarius non tam doctus quam habilis non semper exemplar bene legit neque intellexit.

E 5° *Par.* 1943 (E) chart. in-f° XVI[i] sæculi, manu, ut arbitratur H. OMONT, Christophori Aueri pulchre ac diligenter ex eodem quo D antigrapho descriptus, et ubicumque prima codicis A scriptura evanuit utilissimus. Insunt : ANONYMI *Scholia in priorum Analyticorum* librum secundum ; *Parecbolæ* ex DAMASCIO in librum primum *de Cælo ;* CASSII medici *Quæstiones de animalibus;* PORPHYRIUS *in Categorias ; Theologumena Arithmetices*; ADAMANTII *Physiognomica*, denique inde a f° 135 Hermiæ scholia. In marginibus nullæ fere notæ.

F 6° *Par. Suppl. gr.* 30 (F) chart. in-4°, ff. 203, XVI[i] vel XVII[i] sæculi, olim Sedaniensis ; omnium Parisinorum longe pessimus, forte ex B transcriptus, nam easdem in marginibus præbet notas, ne iis quidem exceptis quas in illo secunda manus adscripsit.

In bibliotheca *Matritensi* unus Hermiæ codex adservatur :

G *Matr.* N-127 (G) chart. in-f°, ff. 266, XVI[i] sæculi, olim cardinal. Burg[2]. (catalogi n° 137 : cf. MILLER, p. 423). Insunt HERMIÆ commentarium in *Phædrum* et OLYMPIODORI in *Phædonem*. Manu Petri Carneadis a Monembasia scriptus die 11 sept. 1549.

1. Vid. GARDTHAUSEN, *Palæogr. gr.*, p. 332, et OMONT *Fac-simil. mss. gr. XV et XVI sæc.*, p. 12.
2. Francesco de Mendoza y Bobadilla : cf. GRAUX, *Essai sur les origines du fonds grec de l'Escurial*, p. 43.

In *Hamburgensi* duo :

1° *Hamb.* phil. gr. VII (28 in *Catal. biblioth. urbium hanseat.*
H ab HENRICO OMONT composito) chart., ff. 414 (H), xv^{i} sæculi, olim Peirescii, deinde Holstenii.

h 2° *Hamb.* phil. gr. VIII (29) chart., ff. 489 (h), ejusdem sæculi, olim Holstenii. — De ambobus nihil innotuit, sed propter ætatem atque originem neglegendi mihi visi sunt.

In *Escorialensi* tres :

1° T-I-8 (n° 125, p. 107 MILLER) chart. in f° ff. 224, xvi^{i} sæ-
I culi (I), in Hispaniam ex Italia a Diego Hurtado de Mendoza, Caroli Quinti Venetiis legato, allatus : de quo sic locutus est Conr. GESNER in *Bibl. Univ.*, p. 315^{v} : « (hic commentarius) cum alibi in Italia etiamnunc servatur tum apud Diegum Hurtadum. » Transcriptus igitur Venetiis, verisimillime ex eodem quo C exemplari.

J 2° Σ-III-14 (n° 110, p. 100) chart. in-f°, ff. 186, xvi^{i} sæculi (J) de quo nihil compertum habeo.

K 3° X-I-6 (n° 345, p. 293) chart. in-f°, ff. 180, xvi^{i} sæculi (K). Ambo neglegendi.

In *Laurentiana* Florentiæ tres :

1° *Conv. Soppr.* 103 (AF 2759 : n° 103 in *Catal. codd. mss. Laur. qui non apud Band. inveniuntur* a ROSTAGNO et FESTA in
L *Studi di filol. class.* vol. I, p. 129, edito) chart. in-f°, ff. 465 (L) quem impensis J. Contostephani anno 1358 descripsit Longinus monachus[1]. Eadem eodem ordine atque A continet usque ad Procli in Parmenidem commentarium ; Hermiæ prolegomena f° 30^{r} incipiunt, scholia cum textu a f° 36^{r} ad f^{um} 188 leguntur. Ex illo codice mihi unam paginam (vide infra ad pag. 117 edit. Astianæ) benevolentissime contulit E. Pistelli, cui hic maximas ago gratias : unde patet, ut opinor, eum a codice A, fortasse nullo apographo interjecto, transcriptum esse.

2° *Conv. Soppr.* 78 (AF 2643 ; vid. ROSTAGNO et FESTA, *ibid.*)
l chart. in-f°, ff. 134, xiv^{i} sæculi (l), continens *Euthyphronem*, *Apologiam*, *Critonem* (mutilum), sex dialogos spurios, *Parmenidem*

1. Vid. VITELLI et PAOLI, *Collez. fiorentina di facsimili paleogr.* fasc. IV, part. I, tab. XXXIX.

cum PROCLO (mutil.), *Phædrum* cum HERMIA (a f° 42^{r} ad finem). Eamdem paginam mihi contulit Pistelli, unde quid valeat codex agnosci potest.

3° *Laur.* LXXXVI-4 (de quo cf. BANDINI III, 290), chart. in-f°, ff.
l' 147 (l') xv^{i} sæculi. Præstantissimus codex a Johanne presbytero Rhoso Cretensi, nobilissimo librario, impensis Laurentii de Medici Florentiæ descriptus die 28 aug. anni 1490. Eamdem paginam mihi contulit Pistelli. Codex cum prœcedenti stricte conjunctus, paulo tamen pejor. Desunt teste Bandinio (p. 65 Ast.) verba τὰ δὲ πρόσωπα — οὐσίᾳ, deinde alterum incipit procemium, et lemma ὦ φίλε Φαῖδρε tantum ante verbum εὐλόγως (p. 66 in.) reperitur. Nulla librorum distinctio.

In *Monacensi* duo :

M 1° *Mon.* 11 (I. HARDTII catal. I 86). Astii codex (M) chart. in-f°, ff. 468, xvi^{i} sæculi, titulis initialibusque miniatis, charactere minuto sat nitido, collatus cum antigrapho; subinde mutilus. Continet etiam PROCLI commentarium in *Parmenidem*. A Petro Carneade Epidaurio (Epidaurus autem eadem est quæ Monembasia) Venetiis scriptus die 4 maji 1549. Ille igitur codex quatuor mensibus ante codicem G descriptus est, et ab eodem scriba : unde patet ambos eamdem habere originem, quam etiam codicibus C et I libenter tribuerim.

m 2° *Mon.* 407 (m) chart. in-f°, ff. 189, xvi^{i} sæculi, miniatus et in margine adnotatus, cum præcedenti conjunctus, cum initio scholiorum (p. 65, Ast) idem monstrum παντοῦ pro παντοδαποῦ præbeat.

In *Vindobonensi* duo :

N 1° *Vind.* IV, VII (N) chart. in-f°, ff. 538, xvi^{i} sæculi, olim Sebast. Ericini. Continet etiam PROCLI commentarium in *Parmenidem*. A Cornelio Naupliensi Murmurio, Andreæ filio, descriptus Venetiis anno 1561 : ergo ab exemplari Venetiano (eodem quo CGIM).

n 2° *Vind.* IV, CCCXXVII (n) : selecta quædam ex primo et tertio libro a Luca HOLSTENIO, anno 1622, e codice Oxoniensi descripta.

In *Oxoniensium* tamen bibliothecarum catalogis nullum Hermiæ codicem inveni.

In *Vaticana* bibliotheca unus :

O *Ottobonianus* 35 (O) (cf. *codices msti gr. Ottob. Bibliothecæ Vat.*, p. 28), olim cardin. Sirleti (cf. MILLER, *Catal. des mss. de l'Escurial*, p. 326, et MONTEFALCONIUM in *Bibliotheca bibliothecarum*, p. 186 D), f° III : Ἑρμείου πλατωνικοῦ φιλοσόφου ὑπόμνημα εἰς τὸν Φαῖδρον. Videtur esse sæculi XVI[i].

In *Leidensi* tres :

P 1° *Voss.* 7 (P) ex quo nonnulla VAN GOENS, RUHNKENIUS, alii excerpserunt ; ex quibus facile dijudicatur eum stricte cum codice M conjunctum esse, nisi quod paulo pejor sit.

pp' 2° et 3° Duo codices (pp') ex P descripti, unus a Ruhnkenio, alter, ut videtur, a Wyttenbachio (n[i] 74 et 75, Geel).

In *Basileensi* duo :

1° *Basil.* O-II-125 (28 in Catalogo Henrici OMONT) chart. in-f°,

R ff. 130, XVI[i] sæculi (R) olim R. Fæschii qui hæc in fronte scripsit : « Huncce codicem anno circiter 1530... accepit Henricus Petri typographus celebris Basileensis ab Arnoldo Paraxylo Arlenio qui in contubernio vixit don Diego Hurtadi a Mendoza Caroli V[i] imp. ad Venetos legati. » Eadem igitur quæ I origo.

r 2° *Basil.* F-V-28 (52 OM.) chart., ff. 264, XVII[i] sæculi (r), ex præcedenti descriptus. Nam hæc in fine leguntur : « Dei gratia absolutum est ex antigrapho quod in sua bibliotheca D. Sebast. Fæsch J.U.D. et prof. Basil. possidet, die 29 sept. 1697, a S. Battierio.

In bibliotheca *Angelicana* unus :

Angel. 118 (catalogi in *Studi di filol. class.*, vol. IV, p. 159 editi)

S chart., ff. 237 (folia 10, 77[r], 91 vacua) XVI[i] sæculi (S), solum Hermiam continens.

In *Taurinensi* unus :

T *Taur.* CXXXI, c, V, 23 (T) chart., ff. 159, XVI[i] sæculi, varia philosophorum opuscula complectens : Hermiæ (Ἡρμείου *sic*) scholia a f° 20 ad f[um] 78.

In *Upsalensi* unus :

Upsal. 33 (catalogi a GRAUX et MARTIN confecti) chart. in-f°, ff.

U 232, XVII^{i} sæculi (U) ex bibliotheca Sebast. Miegii cum Scheffe-rianis emptus. In ultimo verbo ineptissima menda qua sola quid codex valeat declaratur : εὐαρίθμητα pro εὐξαίμεθα.

In *Marciana* Venetiis duo :

V 1° *Marc.* 218 (V) membr. in-8°, ff. 540, XIV^{i} (?) sæculi, continens etiam SIMPLICIUM, THEMISTIUM, PROCLI commentarium in *Timæum*.

v 2° *Marc.* 191 (v) membr. in-f°, ff. 282, XV^{i} sæculi, continens etiam PROCLI commentarium in *Parmenidem*[1]. Vel hunc vel illum et Hurtadi scriba et Arlenius et Joh. Murmurius descripserunt. Ex illis Hermiam SIEBENKEESIUS edere debebat.

De codice quodam audimus in Bibl. S^{ti} Johannis Carbon. in

X *Neapoli* servato (X), quem MONTEFALCONIUS in *Diar. ital.*, p. 310, dicit bombycinum, olim a Vinc. Ponteio Venetiis emptum. Descendere igitur a V credi potest. Ex eo codice, si fides VILLOISONIO in *Anecd. gr.*, t. II, p. 251, adn., BASSIUS quidam Hermiæ scholia debebat edere et versione notisque illustrare.

Mihi non noti sunt codices quos dicit Fabricius latere in Bibl.

Y S^{ti} Augustini (Y), et in bibliotheca urbis quæ dicitur Augusta

Z Vindelicorum (Z).


Denique de duobus codicibus audimus nunc ut videtur deperditis (nam falso GRAUX ambos cum G confundit), quorum alterum Darmarius Epidaurius Venetiis in Hispaniam anno 1572 affert[2] atque in litteris ad Antonium Augustinum[3] missis inter alios commendat, hunc exscribens titulum: Ἑρμηνεία εἰς τὸν Πλάτωνος Φαῖδρον : eumdem invenimus in Antonii Catalogo sub n° 197[4] : « Hermiæ commentarii in Platonis *Phædrum*, liber recens in charta, forma fol. » De altero Manuel Glynzunis ad eumdem scribit anno 1581[5].

Quod si nunc tot illos codices (et certo nonnullos omisi) res-

1. Ambo olim Bessarionis, n° 379 et 414 : vid. OMONT *Inventaire des mss. gr. et lat. à Saint-Marc*, etc., p. 36 et 38. — In n° 403 etiam continentur Hermiæ scholia in *Phaedrum* cum textu.
2. GRAUX, *Essai*, p. 287 sq.
3. ID., *ibid.*, p. 439, app. 15.
4. *Ibid.*, p. 293.
5. *Ibid.*, p. 297 et 442, app. 17.

pexeris, videbis ex tanto numero nullam tamen editori molestiam nasci. Prætermissis enim codicibus H, h, J, K, n, O, S, T, U, X, Y, Z, de quibus percontari mihi operæ pretium non esse visum est, quosque nemo erit qui contendat quantulivis momenti esse in textu commentarii nostri recensendo, nunc 22 codices supersunt. Ex quibus de D et E nullum dubium quin originem ex A ducant, idque tibi ex quavis lectionum quas ex iis attuli approbabis. De L, l, l' vide quæ dixi supra et quæ mihi contulit Pistelli. Codices B (et F), C (et C'), deinde G, M (et m), P (et p, p'), denique separatim I, N, R (et r), omnes a V (aut v) vel nullo vel uno vel pluribus interjectis antigraphis descendere jam supra demonstratum est. Mihi codices Marcianos conferre non contigit. Sed cum nemo neque dubitaverit neque dubitare possit quin eorum apographa B, C et M, non aliunde originem ducant nisi ex codice A (quod manifestum apparere videbis ubi unam nostræ editionis paginam inspexeris), restat ut V et v et ii ab A descendant. Reipsa igitur codex Parisinus 1810 omnium Hermianorum codicum archetypus est habendus : quod noster apparatus criticus, ut spero, etiam tibi certius faciet, modo in perpensandis lectionibus hoc memineris, eam esse codicis A manum ut ε cum η, η cum ν sæpissime confundi possint ; deinde multa verba jam cum prima apographa descripta sunt evanuisse ; denique nonnunquam (e. g. 16, 4 ; 159, 26) verba a ceteris omissa in A unam lineam constituere.

Codicum hoc stemma confeci, quod non verum esse sed verisimillimum contendo.



§ 3. — De hac Editione

In hac igitur editione textum codicis A, utpote ceterorum archetypi, secutus sum, ita tamen ut sæpe mendosas lectiones corrigere conarer e conjecturis quæ vel jam (raro) in apographis inveniuntur (sive casu sive librarii ingenio), vel ab Astio aut aliis (paucissimis) propositæ sunt, vel quas ipse proposui. Hæ autem longe plurimæ sunt, ceterum fere semper facillimæ, quasque in legendo quilibet inventurus fuisset: sed nihil molestius quam eas semper in legendo quærere; nunc saltem confido Hermiæ scholia sine nimio labore legi posse.

Cum autem codicis A scriptura obliterata aut prorsus evanida erat, codicem E, reliquorum Parisinorum optimum secutus sum, eadem corrigendi ratione servata. — Aliorum codicum lectiones nisi exempli gratia nullas attuli [1]: codicis M autem (vel potius editionis Astianæ [2]) omnes, quo facilius cerneretur et quoties verum Astius conjectura invenerit et quanto saniorem nunc nostri commentarii textus se præbeat.

Lemmata, et quæ in sua oratione vel a Platone vel ab aliis scriptoribus mutuatus est Hermias, litteris diductis distinxi. Deinde, ut mos est, quæ addenda esse censebam, obliquis, quæ delenda, rectis uncis significavi; quæ corrupta corrigere non potueram, cruce. In marginibus et codicis A folia et editionis Astianæ paginas adscripsi.

In notis primum locos ab Hermia excitatos diligenter, ut potui, indicavi, simulque et partes quas ante Astium philologi quidam ediderant, et quæ in scholiis Platonicis a nostro defluunt. Deinde titulos dedi quos vel A vel C (omnium quos vidi locupletissimus) in margine habent exscriptos. Postremo in critico apparatu eam rationem secutus sum ut lectio quæ signum (]) præcederet ea esset quæ in A (vel, ubicumque A legi non potest, in bonis apographis) legitur: ceterum monendum est me in

1. Codicem A bis contuli; omnium Parisinorum lectiones de visu inspectas apposui.

2. Nam ostendit Schanz (*loc. cit.*) non semper mira diligentia Astium codicem suum descripsisse; in Platonicis vero ego persuasum habeo eum sæpe non ea quæ in M legebat, sed ea quæ Platonis editiones præbent, typis mandavisse.

indicandis codicum Platonicorum variis lectionibus iisdem litteris usum esse quibus Schanz.

De rebus orthographicis perpauca adnotavi, de ς in voce οὕτως vel de ν quod dicitur ephelcysticon addito vel omisso nihil: plerumque in iis codicem A secutus sum. — Admoneo in nostro codice ι mutum nunquam adscriptum, perraro subscriptum inveniri. — Eorum quæ ad accentum pertinent notabiliora[1] tantum indicavi (atque e. g. cum A semper ὀπαδός scripsi); in encliticis non codicem, sed morem secutus sum. — In *Indice*, scriptorum locos ab Hermia laudatos congessi.

1. Leviora tamen, exempli gratia, a p. 81 usque ad p. 163, ex adnotationibus quas mihi A. Jacob suppeditaverat, diligenter notavi (L. B.).

APPENDIX

DE CODICE *PAR.* 1810 (A)

In primo foliorum additiciorum initio codicis : τάδ' ἔνεστι ἐνθάδε· | Πλάτωνος Εὐθύφρων, ἢ περὶ τοῦ ὁσίου· | τοῦ αὐτοῦ Κρίτων, ἢ περὶ πρακτοῦ· ἀπολογία Σωκράτους· | Ἑρμείου φιλοσόφου, εἰς τὸν Πλάτωνος Φαῖδρον, σχόλια, ἐν βιβλίοις γ'· | Πρόκλου διαδόχου ἐξήγησις εἰς τὸν Παρμενίδην, ἐν βιβλίοις ζ'· | Πλάτωνος πολιτεία, βιβλία δέκα· | τοῦ αὐτοῦ συμπόσιον, ἢ περὶ ἔρωτος. Manu Ang. Vergetii (cf. Omont, Catalogues des mss. grecs de Fontainebleau, p. 134).

F° 1 : hi varii numeri : ccccLv, 487, 20([0]. — Πλάτωνος Εὐθύφρων ἢ περὶ ὁσίου (rubr.). — Ad calcem paginæ nomen Francisci Asulani. — Inde usque ad finem folia signata (A, A1, A2,... A8, B, B1,... Aa, Aa1,... Pp1,... Pp8, Pp9. Etiam quaterniones signati ab α' (bis repetitum) ad λζ'.

F° 5 : Κρίτων ἢ περὶ πρακτοῦ (rubr.).

F° 9 : Ἀπολογία Σωκράτους (rubr.). In hac omnia turbata propter paginas interversas ; verum ordinem lector quidam et signis et admonitionibus restituit. Pauca in margine scholia.

F° 16ᵛ : vacuum.

F° 17 : Ἑρμείου φιλοσόφου κ.τ.ἑ. vide apparatum criticum.

F° 93ᵛ : Τιμαίω Λοκρῶ περὶ ψυχᾶς κόσμω καὶ φύσιος. Pauca in margine scholia.

F° 96 : Νικολάου. Ἐὰν ὀρθογωνίου τριγώνου μία τῶν περιεχουσῶν πλευρῶν τὴν ὀρθὴν δυνάμει τριπλασίων ᾖ τῆς λοιπῆς (τουτέστι μεθ' ἧς περιέχει τὴν ὀρθήν), ἔσται ἡ μὲν ὀρθὴ γωνία ἡμιόλιος μὲν τῆς γωνίας ἣν ὑποτείνει ἡ μείζων τῶν περιεχουσῶν τὴν ὀρθήν, τριπλασίων δὲ τῆς γωνίας ἣν ὑποτείνει ἡ ἐλάττων τῶν περιεχουσῶν τὴν ὀρθήν· αὐτὴ δὲ ἡ γωνία ἣν ὑποτείνει ἡ μείζων διπλασίων τῆς γωνίας ἣν ὑποτείνει ἡ ἐλάττων. — Ἔστω ὀρθογώνιον τρίγωνον τὸ $\overline{\alpha\beta\gamma}$ ὀρθὴν ἔχον τὴν πρὸς τῷ α γωνίαν, καὶ ἔστω ἡ $\overline{\alpha\gamma}$ δυνάμει τριπλασίων τῆς $\overline{\alpha\beta}$. Λέγω ὅτι ἡ μὲν πρὸς τῷ $\overline{\alpha}$ γωνία ἡμιόλιός ἐστι τῆς πρὸς τῷ $\overline{\beta}$, τριπλασίων δὲ τῆς πρὸς

τῷ γ, ἡ δὲ πρὸς τῷ β διπλασίων τῆς πρὸς τῷ γ. — Περιγεγράφθω γὰρ περὶ τὸ αβγ τρίγωνον ὀρθογώνιον τὸ βαγ ἡμικύκλιον. Καὶ ἐπεὶ ἡ αγ δυνάμει τριπλασίων ἐστὶν τῆς αβ, αἱ ἄρα αγ αβ δυνάμει τετραπλασίους εἰσὶν τῆς αβ, καὶ ἔστιν ἡ βγ δυνάμει ἴση ταῖς βα αγ, καὶ ἡ βγ ἄρα δυνάμει τετραπλασίων ἐστὶν τῆς αβ, μήκει ἄρα τῆς αὐτῆς διπλασία· ἑξαγώνου ἄρα ἰσοπλεύρου ἐστὶν ἡ αβ, καὶ ἔστιν ἡ βγ διάμετρος δυναμένη τὰς βα αγ· ἑξαγώνου οὔσης τῆς αβ, τριγώνου ἄρα ἰσοπλεύρου ἡ αγ· διπλασίων ἄρα ἡ αγ περιφέρεια τῆς αβ περιφερείας, καὶ ἐπεὶ ἡ βαγ περιφέρεια ὑποδιπλασίων ἐστὶν ὅλης τῆς τοῦ κύκλου περιφερείας, ἡ δὲ τοῦ κύκλου περιφέρεια τριπλασίων ἐστὶν τῆς αγ περιφερείας, καὶ ἐξ ὑποδιπλασίου δὲ καὶ τριπλασίου σύγκειται ὁ ἡμιόλιος, ἡ βαγ ἄρα περιφέρεια ἡμιόλιός ἐστι τῆς αβ περιφερείας· καὶ βέβηκεν ἡ μὲν πρὸς τῷ α γωνία ἐπὶ τῆς βαγ περιφερείας, ἡ δὲ πρὸς τῷ β ἐπὶ τῆς αγ· ἐν δὲ τοῖς ἴσοις κύκλοις αἱ γωνίαι τὸν αὐτὸν ἔ[χουσι ......] ταῖς περιφερείαις ἐφ' ὧν βεβήκασιν· ἡμιόλιος ἄρα ἡ πρὸς τῷ α γωνία τῆς πρὸς τῷ β· διὰ τὰ αὐτὰ δὴ καὶ ἐπεὶ διπλασία δέδεικται ἡ [αγ περιφέρεια] τῆς αβ περιφερείας, διπλασίων ἄρα καὶ ἡ πρὸς τῷ β γωνία τῆς πρὸς τῷ γ· καὶ ἐπεὶ ἡ πρὸς τῷ α γωνία ἡμιόλιος τῆς πρὸς τῷ β, ἡ δὲ πρὸς τῷ [β διπλα]σίων τῆς πρὸς τῷ [γ], καὶ ἐξ ἡμιολίου δὲ καὶ διπλασίου σύγκειται ὁ τριπλάσιος, καὶ ἡ πρὸς τῷ α ἄρα γωνία τριπλασία τῆς πρὸς τῷ γ. — Ἐὰν ἄ[ρα] ὀρθογωνίου [τρι]γώνου μία τῶν περιεχουσῶν πλευρῶν τὴν ὀρθὴν δυνάμει τριπλασίων ᾖ τῆς λοιπῆς (τουτέστι μεθ' ἧς περιέχει τὴν ὀρθὴν, ἔσται ἡ μὲν ὀρθὴ γωνία ἡμιόλιος μὲν τῆς γωνίας ἣν ὑποτείνει, καὶ τὰ ἑξῆς, ὅπερ ἔδει δεῖξαι. Cum schemate.

F° 96ᵛ : sex et triginta circuli numeros continentes.

F° 97 : Πρόκλου Πλατωνικοῦ διαδόχου τῶν εἰς τὸν Παρμενίδην τοῦ Πλάτωνος ἑπτὰ βιβλίων τὸ πρῶτον (rubr.).

F° 105 : Παρμενίδης ἢ περὶ ἰδεῶν (rubr.). In margine scholia litteris minutissimis, schemata, etc. Procli librorum initium et nonnunquam finem rubro colore in margine librarius indicavit. Textus Platonis cinnabari scriptus est.

F° 225 : Πλάτωνος πολιτειῶν πρώτη (rubr.) ; 232ᵛ δευτέρα ; 239 τρίτη ; 246ᵛ τετάρτη ; 249ᵛ πέμπτη ; 256ᵛ ἕκτη ; 263 ἑβδόμη ; 269 ὀγδόη ; 274 ἐνάτη ; 280 δεκάτη. Textus duabus columnis scriptus : paucissima in marginibus scholia. F° 286ᵛ τέλος τῶν δέκα διαλόγων τῆς Πολιτείας Πλάτωνος· τέλος τῶν Πολιτειῶν Πλάτωνος.

F° 287 : Συμπόσιον ἢ περὶ ἔρωτος (rubr.). Pauca scholia. Paginarum ordo turbatus.

F° 300^v vacuum. Librarii aut lectores varia inscripserunt, velut :

disce, puer, dum tempus adest, dum sufficit ætas :
tempora prætereunt modo labentis aquæ

(sic pro *more fluentis aquæ*). Alius : ὅσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τρισὶν ἡμέραις ἀπολλύονται· ἣν δὲ ταύτας διαφύγωσιν ὑγιέες γίνονται. Alius : ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν ὁ συντρίβων | πολέμους ἐν ὑψηλῷ βραχίονι, etc.

F° 301 : Lysidis Pythagorici epistula, quam vide apud HERCHERUM in *Epistolographis* (p. 601), cum variis lectionibus. Hanc, ut diximus, recentior manus descripsit. Ad calcem nescio quis scriptura minutissima atque etiam recentiori subscripsit : οὗτος ἐγένετο Ταραντῖνος ὁ Λύσις, Πυθαγόρου μὲν μαθητής, Ἐπαμινώνδου δὲ τοῦ Θηβαίου ἐξηγητής, ὥς φησι Παυσανίας ἐν τοῖς Βοιωτικοῖς (PAUS., IX, 13).

F° 301^v et 302 : Paschalion.

F° 302^v : varii varia inscripserunt, velut nomina Musarum, etc. In linea parum perspicua hæc apparent : *** ὁ (?) Μανουὴλ ὁ Συμεωνάκης εἰς *** γράμματα κατὰ τὴν ς′ ἰνδικτίωνα (compend.) | μηνὶ ἰουλλίῳ ιβ′.

ΕΡΜΕΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΤΩΝ ΕΙΣ ΤΟΝ ΠΛΑΤΩΝΟΣ ΦΑΙΔΡΟΝ ΣΧΟΛΙΩΝ

ΤΩΝ ΕΙΣ ΤΡΙΑ

ΤΟ ΠΡΩΤΟΝ

<ΠΡΟΟΙΜΙΟΝ>

f° 17 r° p. 59 Ὁ Σωκράτης ἐπὶ εὐεργεσίᾳ τοῦ τῶν ἀνθρώπων γένους καὶ τῶν ψυχῶν τῶν νέων κατεπέμφθη εἰς γένεσιν· διαφορᾶς δὲ οὔσης πολλῆς κατά τε τὰ ἤθη καὶ τὰ ἐπιτηδεύματα τῶν ψυχῶν, διαφόρως ἕκαστον εὐεργετεῖ, ἄλλως τοὺς νέους, ἄλλως τοὺς σοφιστάς, πᾶσι χεῖρας ὀρέγων καὶ ἐπὶ φιλοσοφίαν προτρεπόμενος. Καὶ νῦν οὖν τὸν Φαῖδρον ἐπὶ ῥητορικῇ ἐπτοημένον ἐπανάγει ἐπὶ τὴν ἀληθῆ ῥητορικήν, τουτέστι φιλοσοφίαν. Πρῶτον δὲ τὸ ὑλικὸν τοῦ διαλόγου καὶ τὸ πρόσχημα τῆς ὑποθέσεως ἐκθώμεθα· χεῖρα γὰρ ἡμῖν οὕτως ὀρέξει πρὸς τὴν θεωρητικωτέραν ἐπιβολὴν καὶ τὸν ὄντως σκοπόν.

Λυσίας ὁ ῥήτωρ ἐρῶν τοῦ Φαίδρου αἰσχρῶς, προσποιούμενος δὲ μὴ ἐρᾶν, καὶ βουλόμενος αὐτὸν ἀποστῆσαι τῶν ἄλλων ἐραστῶν, κακούργως καὶ παμπονήρως γράφει λόγον, ὡς δέον τῷ μὴ ἐρῶντι μᾶλλον ἢ τῷ ἐρῶντι χαρίζεσθαι, διότι ὃ μὲν μαίνεται, ὃ δὲ σωφρονεῖ..., καί, συνελόντι εἰπεῖν, ἐν μὲν τῷ ἐρᾶν βλαβερὸν αὐτὸν ὄντα καὶ νοσοῦντα μᾶλλον καὶ φευκτὸν διὰ τοῦτο τοῖς ἐρωμένοις ἐπιδεικνύς, ἐν δὲ τῷ μετὰ τὸ ἐρᾶν ἄπιστόν τινα καὶ ἀβέβαιον· δέον οὖν τῷ Λυσίᾳ ὡς μὴ ἐρῶντι χαρίζεσθαι ἢ τοῖς ἄλλοις ἐρασταῖς. Τοῦτον ὁ Φαῖδρος ὑπερθαυμάζων τὸν λόγον, μαθητὴς Λυσίου καὶ ἐραστής, συνέτυχε Σωκράτει ὑπὸ τὸ ἱμάτιον κατέχων τὸ βιβλίον, καὶ ἠναγκάσθη ὑπὸ τοῦ Σωκράτους, ἐρωτώμενος πόθεν τε ἔρχεται καὶ ποῖ ἄπεισιν, ἀναγνῶναι τὸν λόγον ἔξω πόλεως

12 cf. Platonis Phædri p. 227 C 13 cf. 231 D, 244 A 14 cf. 231 D 18 cf. 228 D 20 227 A

NC Titulus rubro colore descriptus in A ΠΡΟΟΙΜΙΟΝ addid 5 ῥητορικῇ C^2 E M : ῥητορικῆ A ut vid. : ῥητορικὴ C^1 D : ῥητορικὴν a ἐπτοημένον] τερπούμενον a : in margine προτετραμ[μένον a 7 χεῖρα] χεῖρας M 8 ἡμῖν om. BCC^1FM ὀρέξει quis ? desideratur substantivum 13 lacunam signavi : desideratur enim vox quædam ad quam αὐτόν referas 15 φευκτέον ? μετὰ τὸ] μὴ M et a 16 δέον] δεῖν ?

17 intellege <μᾶλλον> χαρίζεσθαι : cf. 22, 18 18 καὶ om. M (« addendum videtur καὶ » Ast) falso Ruelle τῷ Σωκράτει (sed τῷ in E legitur) fort. τῷ ἱματίῳ coll. Plat.

[59] κατὰ τὸν Ἰλισσὸν τὸν ποταμόν. Ἀναγνωσθέντος δὲ τοῦ λόγου, καὶ τοῦ Φαίδρου ὑπερθαυμάζοντος ἀξιοῦντός τε τὸν Σωκράτη ὁμολογεῖν εἰ ἔχοι τις ἄλλος πλείω τούτων καὶ καλλίω εἰπεῖν, ὁ Σωκράτης φησὶν οὐκ ἄξιον ταύτῃ ἐπαινεῖν τὸν ποιητὴν τοῦ λόγου ὡς τὰ δέοντα καὶ κάλλιστα εἰρηκότα, ἀλλὰ μόνον ὅτι σαφῆ καὶ στρογγύλα καὶ ἀποτετορνευμένα ἕκαστα τῶν ὀνομάτων εἴργασται. Αἰτιᾶται δὲ ὅτι ἀτάκτοις καὶ τοῖς χρόνοις καὶ τοῖς νοήμασιν ἐχρήσατο καὶ τοῖς λόγοις αὐτοῖς, ὅτι τε ἀπὸ τελευτῆς ἤρξατο, εἰς ὃ καταλῆξαι ὤφειλεν ἐκεῖθεν ἀρξάμενος· ἀπὸ γὰρ τοῦ μετὰ τὸν ἔρωτα χρόνου, ἀλλ' οὐκ ἀπὸ τῆς προσηκούσης ἀρχῆς· καὶ ὅτι οὐκ ἔχει ἀναγκαίαν τάξιν τὰ εἰρημένα οὐδὲ ἕνα εἱρμὸν καὶ ἓν σῶμα, ὡς τόδε μετὰ τόδε κεῖσθαι, ἀλλὰ χύδην βέβληται· καὶ ὅτι πολλάκις τὰ αὐτὰ εἶπε· [καὶ πρῶτον ὅτι οὐχ ὡρίσατο περὶ ποίου λέγει ἔρωτος· καὶ ὅτι ἄγονος τὰ αὐτὰ πλεονάκις εἰπών,] ὡς ἐξ ὑπτίας νέων· [καὶ ὅτι χύδην καὶ ἀτάκτως ἐμβέβληται τὰ εἰρημένα καὶ ἄτακτα τὰ νοήματα.] Ἀχθομένου οὖν τοῦ Φαίδρου πρὸς τοὺς ἐλέγχους τοῦ ἐραστοῦ τοῦ Λυσίου λόγου, καὶ λέγοντος [ὅτι] μηδένα ἂν ἔχειν εἰπεῖν εἰρηκότα τούτων καλλίω καὶ βελτίω, φησὶν ὁ Σωκράτης ἀκηκοέναι πλείω καὶ καλλίω εἰρηκότων τινῶν περὶ τούτων αὐτῶν, οἷον Σαπφοῦς τῆς καλῆς καὶ Ἀνακρέοντος τοῦ σοφοῦ· καὶ διὰ τοῦτο [δύνασθαι] καὶ αὐτὸς κατὰ τὰ ὑπ' αὐτῶν εἰρημένα ἔχειν εἰπεῖν βελτίω καὶ καλλίω τῶν Λυσίου λόγων. Ὃ δὲ ἀξιοῖ αὐτὸν εἰπεῖν ἀπεχόμενον ὧν εἶπε Λυσίας, καὶ οὕτω χρυσῆν αὐτοῦ εἰκόνα στήσειν. Καὶ ὁ Σωκράτης φησὶν ὡς ἀληθῶς χρυσοῦν εἶναι τὸν Φαῖδρον, εἰ οἴεται λέγειν Σωκράτη ὅτι Λυσίας τοῦ παντὸς διήμαρτεν ἐν τῷ λόγῳ· τοῦτο γὰρ μηδὲ <ἂν> τὸν φαυλότατον συγγραφέα παθεῖν. Αὐτίκα περὶ οὗ ὁ λόγος, παντὶ πρόχειρον εἰπεῖν ὅτι ὁ μὲν ἐρῶν νοσεῖ, ὁ δὲ μὴ ἐρῶν σωφρονεῖ, καὶ δεῖ τῷ σωφρονοῦντι μᾶλλον ἢ τῷ νοσοῦντι χαρίζεσθαι. Τῶν οὖν φανερῶν εὑρεῖν οὐ τὴν εὕρεσιν δεῖ ἐπαινεῖν, ἀλλὰ τὴν διάθεσιν, τῶν δὲ χαλεπῶν εὑρεῖν πρὸς τῇ διαθέσει καὶ τὴν
p. 60 εὕρεσιν. Ἄγονος οὖν καὶ κατὰ τὴν διάθεσιν, ἀπὸ τελευ|τῆς ἀρξάμενος

1 cf. 229 A 3 cf. 234 E 5 *ibid.* cf. *add. et corrig.*, 1 8 264 A 11 264 C : 264 B 13 264 A 18 235 C 21 235 D 22 *ibid.* 23 235 E 25 *ibid.* 28-30 236 A 30 264 A

NC 2 Σωκράτην M 3 καὶ] ἢ a 5 εἰρηκότα] ῥηθέντα M : εἰρηθέντα A ut vid. BCC' 8 ὤφειλλειν (*sic*) a 9 ἀλλ' om. M 12 καὶ πρῶτον — 13 εἰπών seclusi ut manifestum emblema 13 fors itan et ὡς — νέων sit expellendum νέων scripsi coll. Plat. λέγων libri 14 καὶ ὅτι — 15 νοήματα seclusi 14 ἐκβέβληται M 16 ὅτι seclusi ἔχειν] εἶχε BE 18 καλλίω Ruelle καλὰ libri (καλλὰ D) 19 δύνασθαι (= ἔχειν) seclusi 20 αὐτῶν] αὐτοῦ M καλλίω καὶ βελτίω M 20-21 τῶν τοῦ Λυσίου M 22 αὐτοῦ : fort. αὐτῷ legendum, cum apud Platonem dativus σοί legatur 23 οἴηται M (cf. *add. et corrig.*, 2) Σωκράτην M 24 διήμαρται a 25 ἂν ex Plat. addidi 26 ὁ μὲν ἐρῶν] ὁ μὲν νοῶν M (jam correxerat Ast) 28 φανερὸν M (jam correxerat Ast) 30 ἄγονος] ἄτοπος ?

[60] καὶ χύδην καὶ ἀτάκτοις τοῖς νοήμασι καὶ τοῖς λόγοις χρησάμενος. Συγκαταθεμένου οὖν τοῦ Φαίδρου (μέτρια γὰρ ἦν τὰ λεγόμενα), λέγει ὁ Σωκράτης τὸν δεύτερον λόγον, εἰς τὴν αὐτὴν ὑπόθεσιν τῷ Λυσίᾳ καθεὶς, ἐγκαλυψάμενος μέντοι τὴν κεφαλὴν, διὰ τὸ ὅπως ποτὲ κατ' Ἔρωτος μέλλειν λέγειν, ὡς οὐχ ἑκὼν ἁπτόμενος τῆς ὑποθέσεως, ἀλλ' ὑπὲρ ὠφε-
f°17v° λείας τοῦ νέου. | Καὶ πρῶτον μὲν, ἐπειδὴ ἀμφίβολον ἦν τὸ τοῦ ἔρωτος ὄνομα (ἐσήμαινε γάρ τι φαῦλον κατὰ τοὺς πολλοὺς, ἕτερον δὲ ἀγαθόν) ὁρίζεται περὶ ποίου ἔρωτος λέγει. Καὶ ἐπιθυμίαν κατὰ γένος φήσας εἶναι τὸν ἔρωτα (ἐπειδὴ ἐπιθυμοῦσι καὶ οἱ μὴ ἐρῶντες, καὶ ἴδια ὀνόματα ἐπ' αὐτοῖς κεῖται· οἳ μὲν γὰρ χρηματισταὶ, οἳ δὲ φίλοινοι ἢ φίλιπποι καλοῦνται· οἱ δὲ περὶ τὴν τῶν σωμάτων ἐπιθυμίαν ἐρρωμένως ἑλκόμενοι ἐρωτικοὶ καλοῦνται παρὰ τοῖς πολλοῖς, καὶ ἔρως ἐστὶν ὁ τοιοῦτος ἐπιθυμία ἐρρωμένως ῥωσθεῖσα ἐπὶ σωμάτων κάλλει, ὕβρις μᾶλλον [ὁ τοιοῦτος] ὀφείλων ἐπονομάζεσθαι ἢ ἔρως), εἶτα διελὼν τὸν λόγον ἑαυτοῦ ὁ Σωκράτης, ὡς καὶ ὁ Λυσίας εἰ καὶ ἀτάκτως, εἰς τὸν ἐν ᾧ ἐρᾷ χρόνον καὶ ἐν ᾧ μὴ ἐρᾷ, τὴν διαβολὴν καθ' ἑκάτερον ποιήσεται. Καὶ τὸ μὲν πρῶτον μέρος τοῦ λόγου, καθ' ὃν ἐρᾷ χρόνον, εἰς βλάβην τείνειν τῷ ἐρωμένῳ φησί· καὶ τὴν βλάβην τριχῶς, εἰς ψυχὴν, εἰς σῶμα, εἰς τὰ ἐκτός· κωλύει γὰρ τὸν ἐρώμενον ἔχεσθαι τῶν πρὸς ἀρετὴν καὶ σωφροσύνην ἀγόντων λόγων· ἀσκεῖν δὲ παραινεῖ ὅσα πρὸς τὴν αὐτοῦ ἐπιθυμίαν ἥδιστά ἐστι· βούλεται δὲ αὐτὸν ἔρημον εἶναι φίλων καὶ συγγενῶν, ἵν' ὅ τι μόνος μόνῳ συνῇ· ἔπειτα χρημάτων ἄπορον, ἵν' ἔχοι τὸν ἐρώμενον ἑαυτῷ προσέχοντα καὶ ἄλλῳ μηδενί· ἀηδῆ δὲ εἶναι καὶ τὴν συνουσίαν, διότι ὃ μὲν προκέκοφεν, ὃ δὲ νέος ἐστίν· ἧλιξ γὰρ ἥλικα τέρπει. Τὸ δὲ δεύτερον μέρος τοῦ λόγου, καθὸ μὴ ἐρᾷ, εἰς ἀπιστίαν καὶ λήθην· παυσάμενος γὰρ τοῦ ἔρωτος, ὀστράκου περιστροφῇ, ἀποφεύξεται τὸν

1 264 B 2 236 A 4 237 A 8 237 D 9 *ibid.* 10 φίλοινοι ἢ φίλιπποι cf. *Lysid.* 212 D 13 238 C : 238 A 21 239 E 24 cf. 240 C ; vide etiam DIOGENIAN. V 16, SUID. s. v., *schol. Hom.* γ 36, PLAT. *Remp.* I 329 A (παραπλησίαν ἡλικίαν ἔχοντες, διασῴζοντες τὴν παλαιὰν παροιμίαν : videtur proverbium a versu quodam epico defluxisse, a Platonis scholiasta laudato : ἧλιξ ἥλικα τέρπε, γέρων δέ τε τέρπε γέροντα 26 cf. 241 B et *Remp.* VII 521 C

NC 1 ἀτάκτοις] ἀτάκτως ? 6 ἐπειδὴ] ἐπει δι' C : ἐπὶ δι' C[1] 8 φήσας] φησὶν M 13 κάλλει : fort. κάλλος ex Plat. vel κάλλη legendum 14 ὁ τοιοῦτος seclusi, cf. l. 12 15 καὶ post ὡς om. M 18 τὴν βλάβην <διεῖλεν> ? εἰς ψυχὴν om. CC[1] τὰ om. CC[1] 19 κωλύει] καὶ λύει C[1] 20 ἀσκεῖν δὲ] ἀσκεῖ ἠδὲ M (cf. *add. et corrig.*, 3) ἀσκεῖ δὲ CC[1] παραινεῖν C[1] αὐτοῦ M 21 δὲ καὶ αὐτὸν C[1] 22 ὅ τι <μάλιστα> μόνος AST : sed forsitan ὅ τι cum μόνος idem valeat quod cum superlativo ἔχοι ex ἔχει A ἔχῃ M : cf. 5, 3 24 προκέκυφεν ME ἧλιξ M 25 μέρους CC[1] (rursus moneo me horum codicum lectiones tantum exempli gratia referre) καθ'ὃ A ἐρᾷ] ἐρεῖ CC[1] λήθην : intellege εἰς... λήθην <τείνειν φησί> (λίθην CC[1])

[60] ἐρώμενον, πολλοὺς λόγους καὶ ὑποσχέσεις καταισχύνας· ἄπιστος οὖν καὶ ἀβέβαιος. Οὕτω δὴ συμπληρώσας τὸν περὶ τοῦ οὕτως ἐρῶντος λόγον, ὅσα ἔχει κακά, καταπαύει τὸν λόγον καὶ οὐκέτι φησὶν ἐρεῖν περὶ τοῦ μὴ ἐρῶντος ὅσα ἔχει ἀγαθά· « ἐπειδή, φησί, λοιπὸν ἐνθουσιῶ, ἐὰν ἄρξωμαι περὶ αὐτοῦ λέγειν· νυμφόληπτος γάρ, φησίν, ὑπὸ τῶν Νυμφῶν γέγονα· εἰ γὰρ ψέγων τοσαῦτα εἶπον ὅσα ἔχει κακὰ ὁ ἐρῶν, τί ἂν εἰ ἐπαινῶν εἴποιμι ὅσα ἔχει ἀγαθὰ ὁ μὴ ἐρῶν· πλὴν γίνωσκε, φησίν· ὅσα ἔχει κακά, εἴπομεν, ὁ ἐρῶν, τούτων τὰ ἐναντία ἔχει ἀγαθὰ ὁ μὴ ἐρῶν. » Ταῦτα εἰπὼν ἐβουλήθη τὸν ποταμὸν διαβὰς ἀπιέναι· καὶ γίνεται αὐτῷ τὸ εἰωθὸς σημεῖον καὶ τὸ δαιμόνιον, ὥστε καί τινα ἀκοῦσαι φωνήν· τοῦτο δὲ αὐτῷ ἐπίσχεσις τοῦ παρόντος γίνεται. Συνῄσθετο οὖν ὅτι οὐ δεῖ ἀπιέναι· ἡμαρτηκέναι γὰρ τὸ ὅπως ποτὲ κατὰ Ἔρωτος εἰπεῖν, θεοῦ ὄντος· τί οὖν; καθαρσίου φησὶ πρῶτον δεῖσθαι· ἔστι δὲ τὸ καθάρσιον ἡ παλινῳδία, τὸ ὑμνῆσαι τὸν Ἔρωτα. Ἀμείνων γὰρ εἶναι κατὰ τοῦτο Ὁμήρου καὶ Στησιχόρου· ὁ μὲν γὰρ Ὅμηρος τυφλωθεὶς διὰ τὸ κακῶς εἰπεῖν τὴν Ἑλένην οὐδὲ ᾔσθετο, ὁ δὲ Στησίχορος στερηθεὶς τῶν ὀμμάτων διὰ τὴν τῆς Ἑλένης κακηγορίαν συνῄσθετο, καὶ τὴν παλινῳδίαν ᾄσας ἀνέβλεψε παραχρῆμα· ἀμείνων οὖν ἀμφοτέρων εἶναι αὐτός, Ὁμήρου μὲν ὅτι οὐδὲ τὴν ἀρχὴν ᾔσθετο, Στησιχόρου δὲ ὅτι <οὐ> πρὶν παθεῖν ᾔσθετο. Λέγει οὖν τὸν ἕτερον λόγον, τὴν παλινῳδίαν, περὶ τοῦ ἔρωτος, γυμνῇ λοιπὸν τῇ κεφαλῇ, ὅσων ἐστὶν ἡμῖν ἀγαθῶν αἴτιος. Καὶ πρῶτον μὲν καθολικώτατον καὶ ἀληθέστατον λόγον εἰπὼν ὅτι « περὶ παντός, ὦ παῖ, μία ἀρχὴ εἰδέναι περὶ οὗ ὁ λόγος, ἢ παντὸς ἁμαρτάνειν ἀνάγκη » τουτέστιν εἰδέναι τὴν οὐσίαν περὶ οὗ ὁ λόγος, τὸ δὴ δοκοῦν ἰσχυρότατον εἶναι ἐπιχείρημα ἐν τῷ προτέρῳ λόγῳ τοῦ Λυσίου, τὸ ὅτι ὃ μὲν μαίνεται ὃ δὲ σωφρονεῖ, δείκνυσιν ὅτι ἡ μανία οὐχ ἁπλοῦν ἐστιν, ἀλλ' ἔστι τις καὶ θεία μανία, καὶ διελὼν αὐτὴν τὴν μανίαν εἰς τέσσαρα μέρη, μαντικήν, τελεστικήν, ποιητικήν, p. 61 ἐρωτικήν, | ἐφόρους ἑκάστῃ δίδωσι θεοὺς Ἀπόλλωνα, Διόνυσον, Μούσας, Ἔρωτα, καταλέγων ὁπόσα ἀγαθὰ ἐκ τούτων δίδοται, τῆς μαντικῆς τε καὶ τελεστικῆς καὶ ποιητικῆς... διὸ καὶ τὸ τ̄ παρεμβεβλῆσθαι· μανικὴν γὰρ λεγομένην τὸ πρῶτον, μαντικὴν ὕστερον προσηγόρευσαν. Καὶ ταῦτα

1 240 E : cf. 1, 16 πολλοὺς... καταισχύνας *Convio.* 183 E 4 241 E 5-6 238 D : 241 E 9 cf. 241 E 10 cf. 242 B 16-17 243 A 18 243 B 20 *ibid.* 21 *ibid.* 23-24 237 BC 26 244 A 26-27 *ibid.* 27 cf. 244 A 29 cf. 265 B 31-32 cf. 244 C

NC 1 ὁρώμενον CC' 3 καταπαύειν CC' 4 ἐνθουσιῶ] ἐνθουσιᾷ BCC'M : ἐνθουσιάσω Ast 5 ἄρξωμαι] ἄρξομαι CC'M (jam correxerat Ast) 12 ἐπιέναι CC' τῷ ὅπως ποτὲ vel <διὰ> τὸ ὅπως ποτὲ coni. Ast 13 τί οὖν] τίς εἶ BCC' τίς ἦν B in margine τίς εἴη M 14 γὰρ] δὲ ? 17 κακηγορίαν scripsi coll. Plat. κατηγορίαν libri 19 ὁ αὐτὸς CC' 20 οὐ addidi 21 γυμνοῖ CC' 21-22 ἡμῖν ἐστιν M 22 ἀγαθῶν] ἀγαθὸς CC'M (jam correxerat Ast) 25 πρωτέρω C 28 αὐτὴν] ταύτην 31 nonnulla desiderantur

[61] μὲν πρὸς τὸ μὴ φαῦλον εἶναι τὸ τῆς μανίας ὄνομα. Εἶτα μέλλων λέγειν πόσα <ἀγαθὰ> ἐκ τοῦ ἔρωτος ἡμῖν ἐπιπέμπεται, πρῶτον ὁρίζεται τὸν ἔρωτα, ἵνα εἰδείημεν κατὰ ποίου σημαινομένου ταῦτα λέγει, ὡς καὶ ἐν τῷ προτέρῳ λόγῳ πεποίηκε. Καὶ ἐπειδὴ μαίνεται ὁ ἐρῶν, ὁρίζεται τὸν ἔρωτα θείαν μανίαν εἶναι κατὰ ἀνάμνησιν τοῦ αὐτοκάλλους. Ἐπεὶ οὖν ἀνάμνησις f° 18 r° οὐκ ἂν | γένοιτο τούτου, μὴ ἀθανάτου οὔσης τῆς ψυχῆς, διὰ βραχέων περὶ ἀθανασίας ψυχῆς διαλέγεται, ἐπιστημονικοὺς καὶ ἀποδεικτικοὺς λόγους περὶ αὐτῆς προφερόμενος. Ἀσωμάτου δὲ καὶ ἀοράτου αὐτῆς οὔσης, τὸ εἶδος ὑφηγεῖται λέγων ἐοικέναι αὐτὴν συμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου. Ἐπεὶ οὖν ὑπόπτερον ἡγεῖται τὴν ψυχήν, τὴν δὲ ὑπόπτερον φύσιν ποτὲ μὲν ἀποβάλλειν ἀνάγκη τὰ πτερά, ποτὲ δὲ πτεροφυεῖν, περὶ ἀνόδου καὶ καθόδου καὶ μετενσωματώσεως τῶν ψυχῶν διαλέγεται, περί τε θείων καὶ ἀνθρωπίνων, πῶς ἕπονται Διὶ τῷ μεγάλῳ ἡγεμόνι, αἳ μὲν ἀεί, αἳ δὲ ποτέ, κατὰ ἕνδεκα μέρη τῆς στρατιᾶς αὐτοῦ διῃρημένης· καὶ ὅτι αἳ μὲν ὑπερθέουσι τὰ νῶτα τοῦ οὐρανοῦ, θεωροῦσαι τὴν αὐτοδικαιοσύνην, αὐτοσωφροσύνην καὶ τὰ ἑξῆς, αἳ δὲ τότε μὲν ἦραντο, τότε δὲ ἔδυσαν, αἳ δὲ ὑποφέρονται λοιπὸν εἰς γένεσιν καὶ τοὺς ἐννέα βίους αἱροῦνται ἐκ τῆς ἐκεῖ τῶν εἰδῶν θέας. Ὁ μὲν οὖν νεοτελὴς ἀπὸ τοῦ ἐνθάδε κάλλους ἐπὶ τὸ ἐν νῷ κάλλος ὀξέως φέρεται καὶ σέβει τὸν ἐρώμενον, καὶ συνανάγει αὐτὸν μεθ' ἑαυτοῦ ἐπὶ τὸ νοητόν, μίαν κοινὴν ζωὴν ἀσπαζόμενος, ἅτε δὴ κατεχόμενος τῷ κοσμίῳ καὶ θείῳ ἔρωτι ἡγεμόνι χρώμενος [τῷ θείῳ ἔρωτι]· ὁ δὲ μὴ τοιοῦτος καὶ τὸ αἰσχρὸν τῆς ἡδονῆς ἀσπαζόμενος καὶ τὸν ἐφύβριστον ἔρωτα ἐπὶ τὸ ἀλόγιστον καὶ ἄνουν τῆς ὕλης ὑποφέρεται. Ταῦτα δὲ ἱκανῶς ἐνδείκνυται καὶ ἐμψυχότατα διὰ τῆς εἰκόνος τοῦ τε ἡνιόχου καὶ τοῖν δυοῖν ἵπποιν, τοῦ μὲν εἴκοντος τῷ κελεύσματι καὶ πειθηνίου τῷ ἡνιόχῳ, τοῦ δὲ οἰστρῶντος καὶ τῷ κέντρῳ μὴ ὑπείκοντος. Ἀποδοὺς οὖν τὴν παλινῳδίαν τῷ ἔρωτι, εὔχεται τῷ Ἔρωτι αὐτῷ ὑπέρ τε ἑαυτοῦ καὶ Λυσίου καὶ Φαίδρου, ἑαυτῷ

2 cf. 249 E 7 cf. 245 D 9-10 246 A 10 cf. 246 D 12 251 C 14 246 E : 247 A 15 cf. 247 B : C : D 16-17 248 A 18 248 D 18-19 250 E 26 cf. 251 D : 253 E

TIT 7 ἔρως A

NC 2 ἀγαθὰ addidi 3 εἰδείημεν] εἰδῆμεν M : εἰδῶμεν Ast (qui et de εἰδείημεν cogitavit) καὶ om. M 4 λόγῳ ταῦτα πεποίηκε M 6 βραχέων περὶ evanid. in A 7 ἀποδεικτικοὺς] διαλεκτικοὺς M 9 λέγων] λέγεται M (et B, suprascripto λέγων) 10 ἡνιόχου Ast ἡμιόνου libri ὑπόπτερον, sed ὁ ex emend. A 11 ἀποβάλλειν — 12 τῶν om. M 11-12 δὲ om. BC πτεροφυεῖ C 12 καὶ καθόδου om. B[1]C 13 διαλέγεται scripsi : διαλήψεται libri μεγάλῳ] μέλω M (sed μεγάλῳ in margine) 16-17 τότε... τότε] ποτὲ... ποτὲ M 17 ἦραντο scripsi coll. Plat. : ἤρξαντο libri αἳ δὲ scripsi : αἱ καὶ libri 20 συνάγει M 21 κοσμίῳ] κόσμῳ M 22 τῷ θείῳ ἔρωτι delevit Ast 25 ἐμψυχότητα M (jam correxerat Ast) τοῦ τε scripsi : διά τε τοῦ libri (sed A[a])

[61] μὲν ἵνα παραμένῃ ἣν δέδωκεν αὐτῷ ἐρωτικὴν, Λυσίᾳ δὲ καὶ Φαίδρῳ ἵνα εἰς φιλοσοφίαν τρέποιντο. Καὶ ἀξιοῖ τὸν Φαῖδρον πεῖσαι Λυσίαν ἵνα εἰς τοὐναντίον γράψῃ· ὃ δέ φησι μὴ ἂν ἐθελήσειν, ἐπειδή τις ἔναγχος ὠνείδισεν αὐτῷ καλῶν λογογράφον αὐτόν· ὃ δέ φησι μὴ ἁπλῶς ὄνειδος εἶναι τὸ γράφειν λόγους, ἀλλὰ τὸ κακῶς γράφειν· τὸ δὲ καλῶς οὐκ ὄνειδος. Καὶ οὕτως ἐπεισέρχεται ὁ περὶ τῆς ῥητορικῆς λόγος. Τί οὖν τὸ καλῶς γράφειν καὶ λέγειν ἑξῆς ζητεῖ, καί φησι τοῦτο εἶναι τὸ καλῶς γράφειν, ὅταν τις εἰδὼς τὴν ἀλήθειαν τοῦ πράγματος γράφῃ τε καὶ λέγῃ. Ὁ δὲ Φαῖδρος οὔ φησιν οὕτως ἀκηκοέναι, ἀλλὰ ἐκείνως, ὅτι οὐδὲν δεῖ τὴν ἀλήθειαν εἰδέναι, ἀλλὰ τὴν δόκησιν τῆς ἀληθείας, ὅ ἐστι τὸ πιθανόν. Καὶ τὴν ἀτοπίαν τοῦ λεγομένου ἐπιδείκνυσιν ὁ Σωκράτης ἐπὶ τοῦ ἵππου καὶ ὄνου, καὶ ὅταν μὴ εἰδώς τις αὐτοῖν τὴν διαφορὰν λέγῃ πρὸς ἕτερον ἀγνοοῦντα καὶ πείθῃ ὅτι ὁ ὄνος ἵππος ὢν τυγχάνει. Δεῖ οὖν τὸν μέλλοντα καλῶς γράφειν εἰδέναι τὴν ἀλήθειαν τῶν πραγμάτων· καὶ οὕτως ἥ τε ἀληθὴς καὶ <ἡ> δημώδης ἐξετάζεται ῥητορική, ἣ μὲν ἀληθείας ἐπήβολος οὖσα καὶ ἐπιστήμη δικαίων καὶ μὴ δικαίων, φιλοσοφίας ὀπαδὸς καὶ μόνῳ προσήκουσα φιλοσόφῳ, θεοῖς καὶ ἀνθρώποις κεχαρισμένα ποιοῦσα καὶ λέγουσα· ἡ δὲ δημώδης ψυχαγωγίας τινὸς καὶ χάριτος ἀπεργαστική, ἄτεχνός τις οὖσα τριβὴ καὶ ἀνεπιστήμων. Εἶτα ἐπὶ τοὺς τὰς ῥητορικὰς τέχνας γράψαντας τραπεὶς, ἐλέγχει ὡς περὶ ὧν οὐκ ἴσασι γράφοντας ἐπὶ τῇ τῶν νέων ἀπάτῃ· προοίμιον γὰρ καὶ διήγησιν λέγουσι, τεκμήρια καὶ πίστεις τινὰς, ἐλέγχους τε καὶ παρεπαίνους καὶ ὑποδηλώσεις καὶ παραψόγους· καί φασιν ὡς χρὴ πρὸ τῶν ἀληθῶν τοῖς εἰκόσι χρῆσθαι, ὡς ἐδόκει Γοργίᾳ καὶ Τισίᾳ· εἶτα καὶ
p. 62 Πώλου μνημονεύει | ὃς διπλασιολογίαν ᾤετο <καὶ> γνωμολογίαν εὑρηκέναι... καὶ τοῦ Χαλκηδονίου σεμνολογίας καὶ οἴκτους καὶ κηλήσεις καὶ ἐξοργίσεις· κοινῶς δὲ τὴν ἐπάνοδον καὶ <τὸ> ἐπὶ κεφαλαίων ἕκαστα ὑπομνῆσαι τοὺς ἀκούοντας. Ταῦτα δέ φησι ῥητορικῆς μὲν

1 cf. 257 A 3-4 cf. 257 C 5 cf. 258 D 6 cf. 259 E 9 cf. 260 A 19 260 E 21 266 D : E 22 cf. 266 E - 267 A 23-24 267 A 25 267 C 26 Χαλκηδονίου (i. e. Thrasymachi) *ibid.* cf. 267 D 27-28 *ibid.*

NC 5 εἶναι] ἐστὶ M (sed εἶναι in margine) 10 ποθανόν A ante emend. 12 καὶ ὅταν] ὡς ὅταν? αὐτοῖν] αὐτὴν B : αὐτοῖν suprascripto ῃ E λέγῃ scripsi : λέγοι libri (sed ο ex emend. in A) 13 πείθῃ scripsi cum E: πείθοι AB Ast: πείθει M ὁ om. M 14 καλῶς] κακῶς M (jam correxerat Ast) 15 ἡ ante δημώδης addidi ἐπίβολος M 16 ἐπιστήμης Ast ὀπαδὸς M et sic semper : rationem scribendi secutus sum quam ubique, ut opinor, consulto codicis A librarius servavit 24 καὶ post εἶτα om. M 25 Πόλου B : Πόλλου C διπλασιολογίαν scripsi coll. Plat. : διπλασίονα libri καὶ post ᾤετο addidi ex Platone 26 post εὑρηκέναι supple vocem quamdam cui σεμνολογίας etc. referas σεμνολογίαν M 27 τὸ addidi ex Platone pro ἐπὶ κεφαλαίων fort. legendum ἐν κεφαλαίῳ 28 μὲν om. M

[62] εἶναι ἀναγκαῖα μαθήματα καὶ μᾶλλον ὄντα τὰ πρὸ τῆς τέχνης· ἡ δὲ τέχνη αὐτὴ ἐν τῇ χρήσει τούτων καὶ κρίσει ἐστὶν, ὁπότε καὶ ὁπόσον καὶ πῶς ἔχουσι δεῖ λέγειν τὰ εἰρημένα. Καὶ μάρτυρας ἐπάγεται τῷ λόγῳ τὸν μελίγηρυν Ἄδραστον καὶ Περικλέα τὸν Ξανθίππου. Ὡς γὰρ ἐπὶ ἰατρικῆς, οὕτω καὶ ἐπὶ ῥητορικῆς· ὡς γὰρ ἀνάγκη τῷ ὡς ἀληθῶς ἰατρῷ εἰδέναι τὴν τῶν σωμάτων φύσιν, εἰδέναι δὲ καὶ τὴν τῶν φαρμάκων, καὶ
f°18v° πρὸς τούτοις τὰ πάθη, ἵνα τοῖς οἰκείοις σώμασι καὶ παθήμασι | τὰ οἰκεῖα φάρμακα προσφέρων ὑγιᾶ ἀποδείξῃ τὸν ἄνθρωπον· τὸν αὐτὸν τρόπον καὶ τῷ ῥήτορι, ἐπειδὴ ψυχαγωγία ἐστὶν ἡ ῥητορικὴ, ἀνάγκη εἰδέναι καὶ ψυχῆς φύσιν [τὸν ῥήτορα], εἴτε σύνθετον εἴτε ἁπλοῦν ἐστι, καὶ μετὰ ταῦτα τῶν λόγων τὰ εἴδη, καὶ ἐπὶ τούτοις παθημάτων εἴδη τε καὶ διαφοράς· οὕτω γὰρ τοὺς οἰκείους λόγους τοῖς οἰκείοις προσφέρων ποτὲ μὲν πείσει, ποτὲ δὲ ἰάσεται, κατὰ τοὺς προσήκοντας καιροὺς ἕκαστα ποιῶν. Καὶ περὶ μὲν τῆς τῶν λόγων τέχνης ταῦτά φησι. Περὶ δὲ τοῦ γράφειν αὐτοὺς ἑξῆς ζητεῖ, πῇ καλῶς ἔχει γράφειν καὶ πῇ οὐ καλῶς. Καλῶς μὲν γὰρ ἔχει ὅταν παιδιᾶς χάριν καὶ ὑπομνήσεως εἰς τὸ λήθης γῆρας, οὐ καλῶς δὲ ὅταν σπουδάζῃ τις ἐπὶ τούτοις ὡς περὶ μέγα ἀγαθόν. Καὶ λέγει μῦθόν τινα, ὃν ἤκουσε περὶ τοῦ Θεὺθ καὶ Ἄμμωνος, ὡς ἄρα ὁ Ἑρμῆς εὗρε πρὸς ταῖς ἄλλαις τέχναις καὶ τὴν τῶν γραμμάτων, καὶ αὐτὴν ᾤετο μνήμης φάρμακον εἶναι, σοφίας δὲ αἰτίαν· ὁ δὲ Θαμοῦς οὐχ οὕτως ᾤετο, ἀλλὰ τοὐναντίον λήθης μὲν φάρμακον διὰ τὸ καταφρονεῖν... ὡς γεγραμμένων (θαρσήσαντες γὰρ ὡς γραφεῖσιν ἀμελοῦσι τῆς μελέτης καὶ ἀποβάλλουσιν ἃ μεμαθήκασι), δοξοσοφίας δὲ ἀφορμήν (πολυήκοοι γὰρ γενόμενοι πολυγνώμονες δόξουσιν εἶναι, ἀγνωσίαν νοσοῦντες). Διὰ ταῦτα δὴ καὶ τὰ τοιαῦτα οὐ πολλῆς τινος σπουδῆς ἄξιοι οἱ γεγραμμένοι <λόγοι>, ἀλλ' οἱ γεγραμμένοι ἐν ταῖς ψυχαῖς τῶν ἀκουόντων μετ' ἐπιστήμης τοῦ λέγοντος καὶ γράφοντος ἐν ψυχῇ. « Ἀνάγγελλε οὖν, φησὶ, ταῦτα Λυσίᾳ, καὶ ἡμεῖς Ἰσοκράτει ἀνοίσομεν, » ἐπαινέσας αὐτοῦ τὴν φύσιν καὶ τὸ ἦθος καὶ τοὺς λόγους. <Καὶ> καταπαύων τὸν λόγον εὔχεται σοφῷ πρέπουσαν εὐχὴν Πανὶ καὶ τοῖς ἐντοπίοις θεοῖς,

1 269 B 4 269 A ex Tyrtæo 4-5 270 B 8 270 B 9 271 C 12 272 A 13 *ibid.* 15 cf. 274 B 16 274 B et D : 276 D 18 274 D 20 cf. 274 E 22 cf. 275 A 24 275 AB 25 cf. 277 E 26 278 A (ἐν ψυχῇ) 28 cf. 278 B : E 29 279 A 30 279 B

NC 10 τὸν ῥήτορα seclusit Ast 12 προφέρων A (προ ex προσ), sed cf. l. 8 et Plat. (προσφέρων suprascripto προ B) 18 Θεὺθ] θὼθ libri 19 Ἑρμῆς : cf. *add. et corrig.*, 4 τὴν om. M 20 δὲ post σοφίας suprascripo τὲ A δέ τε M Θαμοῦς scripsi : Ἄμμων libri 21 post καταφρονεῖν supple substantivum aliquid cui γεγραμμένων referas 22 θαρσήσαντι M (jam correxerat Ast) 23 δοξοσοφίας — 24 πολυγνώμονες om. B 24 δόξουσιν] δοξάζουσιν M (δοξάζουσιν suprascripto ξου B) 26 οἱ om. M λόγοι addidi ex Platone 29 καὶ addidi (potes etiam de voce εἶτα addenda cogitare)

[62] καλῶς γενέσθαι τἄνδοθεν καὶ τὰ ἐκτὸς τοῖς ἐντὸς φίλα, καὶ τὸ χρυσοῦ πλῆθος τοσοῦτον ὅσον ὁ σοφὸς δύναται φέρειν· « πλούσιον γὰρ, φησὶ, νομίζοιμι τὸν σοφόν. »

Συνελόντι οὖν τὸ ὑλικὸν τοιοῦτον... [περὶ ἔρωτος, φασὶ, προηγουμένως ὑφηγεῖται, καὶ καθ' ὃν ἄν τις τρόπον τοῦτο ὃ εἴτε φυσικὸν εἴτε θεῖον κίνημα τῆς ψυχῆς, τὸ ἐρωτικὸν λεγόμενον, ἐπιστρέψῃ ἐπὶ τὸ κρεῖττον καὶ παραπαιδαγωγήσῃ εἰς ὠφέλειαν ἑαυτοῦ καὶ τοῦ κοινωνοῦντος, καὶ πῶς χρὴ βιῶναι· δείκνυσι δὲ ὡς οὐ πάθος ἐστὶν ἀλλὰ θεὸς ὁ ἔρως σωτὴρ καὶ ἀναγωγεὺς τῶν ψυχῶν. Οἳ δὲ περὶ ῥητορικῆς καὶ προτρεπτικὸν εἶναι Φαίδρου εἰς φιλοσοφίαν, ἐπειδὴ ἑώρα αὐτὸν ἐπιτηδείως μὲν ἔχοντα πρὸς φιλοσοφίαν, ἀμελοῦντα δὲ ταύτης διὰ τὴν περὶ ῥητορικὴν σπουδὴν καὶ τὸ περὶ τοὺς πιθανοὺς σπουδάζειν λόγους, διδάσκων αὐτὸν ὡς φιλοσοφήσας ἱκανὸς ἔσται ῥήτωρ· διὸ καὶ τὴν ἀληθῆ ῥητορικὴν ἀπὸ τῆς δημώδους διακρίνει· ὠφελείας οὖν ἕνεκα τοῦ νέου καὶ ἀντιγράφει τῷ Λυσίου λόγῳ.]

Δόξαι τοῦ σκοποῦ

Οἳ μὲν περὶ ἔρωτος ἐπειδὴ καὶ ἡ ἀρχὴ καὶ ἀφορμὴ τοῦ διαλόγου ἐκ τούτου γεγένηται διὰ τὸν Λυσίου λόγον, κατὰ ἔρωτος γράψαντος· οἳ δὲ περὶ ῥητορικῆς ἀπὸ τῆς τοῦ Λυσίου λόγου προφάσεως καὶ τῆς πρὸς τοῦτον ἀντιγραφῆς καὶ ἀντιπαραθέσεως τοῦ Σωκρατικοῦ λόγου εἰς ἔλεγχον τοῦ ῥήτορος, ὡς μὴ κατορθώσαντος ἣν ἐπηγγέλλετο ῥητορικήν· διὸ ἐπὶ τέλει καὶ τῆς ἀληθοῦς μέμνηται ῥητορικῆς καὶ τί ἐστι τὸ καλῶς γράφειν. Ὡς εἰς μεγάλα οὖν μέρη τεμεῖν, εἰς δύο ταῦτα διέλοι ἄν τις τὸν σκοπόν, ἓν
p. 63 μὲν περὶ ἔρωτος, ἓν δὲ περὶ ῥητορικῆς, του|τέστι περὶ τῶν δύο κινημάτων τῆς ψυχῆς· τὸ μὲν περὶ ἔρωτος κατὰ τὴν ἐντὸς αὐτῆς διάθεσιν καὶ τὴν πρὸς τὰ ὑπερκείμενα ἔφεσιν, τὸ δὲ περὶ ῥητορικῆς κατὰ τὴν ἐκτὸς καὶ πρὸς ἄλλο καὶ ἐπὶ τάδε ῥοήν· ἄλλων τε γὰρ ἕνεκα φράζομεν καὶ πρὸς ἀλλήλους διαλεγόμεθα. Ὥστε περὶ ψυχικῆς ἀρχῆς εἴποι ἄν τις εἶναι τὸν σκοπόν. Ἔπειτα δέ εἰσί τινες οἱ καὶ πλείους λέγοντες καὶ διαφόρους τοὺς σκοπούς· οἳ μὲν εἰρήκασι περὶ ψυχῆς, διὰ τὰ περὶ ἀθανασίας αὐτῆς ἀποδεικνύμενα ἐνταῦθα καὶ τῆς ἰδέας αὐτῆς· οἳ δὲ περὶ τἀγαθοῦ, ἐπειδὴ εἶπε·

1-2 279 B : C 2 πλούσιον γὰρ (δὲ Plat.)3 — σοφόν 279 C

NC 1 καλῶς : fort. καλὸν ex Platone legendum φίλα] φίλια Plat. cod. B 4 περὶ — 14 λόγῳ seclusi, jam Astio suspecta cum eadem in sequentibus melius et plenius dicantur; ceterum in his nonnulla mutila atque corrupta 14 νέου sed ν ex emend. A τῷ] τοῦ M cf. 9, 15 15 titulus rubr. in A, om. M 16 οἵ, ο rubr. A ἡ ἀφορμὴ M cf. 10, 30 17 διὰ τοῦ Λυσίου M 21 τὸ om. M 22 οὖν εἰς μεγάλα M 25 κατὰ] καὶ M (jam correxerat Ast) 27 ψυχικῆς] ψυχῆς M 28 ἔπειτα scripsi : ἐπεὶ libri οἱ scripsi : οἵ libri καὶ om. M

[63] « τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησε... ποιητὴς [ἀξίως], οὔτε ποτὲ ὑμνήσει κατ' ἀξίαν », καὶ ἔτι· « ἡ ἀχρώματος καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ψυχῆς κυβερνητῇ μόνῳ θεατή, » διὰ ταῦτα καὶ θεολογικὸν εἰρήκασιν αὐτὸν εἶναι· οἳ δὲ περὶ τοῦ πρώτου καλοῦ διὰ τὰ ἐν τῇ παλινῳδίᾳ εἰρημένα περὶ τῶν νοητῶν εἰδῶν. Πάντες <οὖν> οὗτοι μερῶν τινων τῶν ἐν τῷ διαλόγῳ δραξάμενοι, | f° 19 r° περὶ τοῦ παντὸς ἀπεφήναντο τὸν σκοπόν· ἕνα δὲ πανταχοῦ χρὴ εἶναι τὸν σκοπὸν καὶ αὐτοῦ ἕνεκα <πάντα> παρειλῆφθαι, ἵνα ὡς ἐν ζῴῳ πάντα τῷ ἑνὶ συντάττηται. Διὸ περὶ τοῦ παντοδαποῦ καλοῦ φησιν ὁ Ἰάμβλιχος εἶναι τὸν σκοπόν, ὡς ἐφεξῆς ἐροῦμεν.

Τὰ δὲ ἐγκλήματα νῦν λέγωμεν ἅ τινες κατηγοροῦσι Πλάτωνος ἐπὶ τούτῳ τῷ συγγράμματι, ἵνα καὶ τούτων προδιευκρινημένων ἡ ἀνάγνωσις λοιπὸν ἡμῖν ἀπερίσπαστος ᾖ. Φασὶ γὰρ πρῶτον μὲν οὐ δεόντως κατ' ἔρωτος καὶ ὑπὲρ ἔρωτος πεποιῆσθαι αὐτὸν τὸν λόγον, ὥσπερ μειράκιον φιλοτιμούμενον εἰς ἑκάτερον· ἔπειτα τὸ ἀντιγράφειν τῷ Λυσίου λόγῳ καὶ ἁμιλλᾶσθαι βασκάνου τινὸς καὶ φιλονείκου νέου ἔοικεν εἶναι, κωμῳδοῦντος τὸν ῥήτορα καὶ εἰς ἀτεχνίαν αὐτὸν διαβάλλοντος· ἔπειτα δὲ καὶ τῇ λέξει κεχρῆσθαι ἀπειροκάλῳ καὶ ἐξωγκωμένῃ καὶ στομφώδει καὶ ποιητικῇ μᾶλλον, ὡς καὶ αὐτὸς ἐπεσημήνατο. Πρὸς μὲν τὸ πρῶτον λεκτέον ὅτι εἴωθε Πλάτων τῶν ἀντικειμένων λόγων ἐξέτασιν ποιεῖσθαι πρὸς εὕρεσιν καὶ βάσανον τῆς ἀληθείας· οὕτως καὶ ἐν Πολιτείᾳ κατὰ δικαιοσύνης καὶ ὑπὲρ δικαιοσύνης, <καὶ> ἐν Σοφιστῇ περὶ τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος· καὶ νῦν οὖν κατ' ἔρωτος εἶπε πρὸς τὸ ὄνομα τὸ τῶν πολλῶν ἀπομαχόμενος, δεικνὺς ὅτι οὗτος οὐκ ἔστιν ἔρως ἀλλ' ὕβρις καὶ πάθος τι ψυχῆς· ἄλλος γάρ ἐστιν ὁ ὡς θεὸς Ἔρως, πολλῶν ἀγαθῶν τοῖς ἀνθρώποις ὢν χορηγὸς καὶ ἀναγωγεὺς τῶν ψυχῶν· ἀναγκαῖον οὖν ἦν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἐπ' ἄμφω γυμνάσαι τοὺς περὶ ἔρωτος λόγους, ἐλέγχοντος τὴν

1 247 C (ὕμνησέ πω τῶν τῇδε ποιητής Plat.) 2-4 *ibid.* (ἡ γὰρ ἀχρώματός τε καὶ — οὐσία ὄντως οὖσα — θεατὴ νῷ Plat.) 10 Ἰάμβλιχος fort. in commentario ad *Phædrum* cujus nullum aliud inveni vestigium ἐφεξῆς 11, 20 19 238 D, 241 E 21 *Rep.* II 358 sqq 22 *Soph.* 237 sqq 24 238 B : 250 A

TIT 10 Ἰάμβλιχος A

NC 1 ὕμνησέτ A et rasura unius, ut videtur, litteræ capax 2 ἀξίως delevi ut glossema 3 fort. ex Platone legendum οὐσία <ὄντως οὖσα> 4 θεατή scripsi : θεατῇ libri fort. ex Platone νῷ addendum αὐτὸν sc. τὸν σκοπόν, sed hæc omnia vix sana 6 οὖν addidi cl. 11, 11 7 τοῦ παντὸς scripsi cl. 11, 12 et 11, 18 : τούτων A[a] AST e conject. : τοῦτον M χρὴ om. M, postulabat AST 8 πάντα addidi 11 λέγωμεν om. M (« *plura excidisse apparet* » AST) 12 προδιευκρινημένων scripsi : προδιευκρινομένων libri (-ηυκρ-) A ut vid. 13 δεόντως] δέοντος M 14 αὐτὸν ex αὐτῷ (quod fort. recipiendum) A 15 ἔπειτα] ἔπεισι M 16 καὶ ante φιλονείκου om. M 23 καὶ addidi 25 ἄλλος] ἄλλως M 26 σωτηρίᾳ] ἔριδι M (« *non satis clara scriptura* » AST)

[63] δόξαν τῶν πολλῶν, διὰ τὸ ἡγεῖσθαι αὐτοὺς ἐπ' ἄμφω ῥέπειν τὸν ἔρωτα. — Πρὸς δὲ τὸ δεύτερον, τὸ ἀντιγράφειν Λυσίᾳ, ῥητέον ὅτι, ὥσπερ ὁ θεωρητικὸς φιλόσοφος ὑπὲρ ὠφελείας τοῦ τῶν ἀνθρώπων γένους κατατάττει ἑαυτὸν εἰς διακόσμησιν πόλεως καὶ γίνεται πολιτικὸς καὶ δικαστής, τὸν αὐτὸν τρόπον καὶ ὁ φιλόσοφος ὁρῶν τὸν Φαῖδρον ἐπιτηδείως μὲν ἔχοντα πρὸς φιλοσοφίαν, βλαπτόμενον δὲ ὑπὸ τῆς συνουσίας τοῦ ῥήτορος καὶ εἰς τὰ τίμια βλαπτόμενον (αἰσχρῶς γὰρ αὐτοῦ ἐρῶν συνέθηκε τὸν λόγον ὁ Λυσίας, ἵνα αὐτὸν χειρώσηται), τούτου χάριν τὸ κακοῦργον αὐτοῦ τῆς ψυχῆς καὶ ἀπατηλὸν τό τε ἄθεον καὶ τὸ σκοτεινὸν ἐλέγχων ἠναγκάσθη εἰς τὴν αὐτὴν ὑπόθεσιν τῷ Λυσίᾳ καθεῖναι, ἵνα δείξῃ τὴν ἐμφωλεύουσαν ἀτοπίαν τῷ Λυσίου λόγῳ κατά τε τὰς λέξεις, ἃς ἐκπέπληκτο ὁ Φαῖδρος, καὶ κατὰ τὰ διανοήματα, ἐπανάγων αὐτὸν ἀπὸ τοῦ ἐκτὸς καὶ φαινομένου κάλλους ἐν λόγοις ψιλοῖς καὶ ἀθέοις ἐπὶ τὸ ψυχικὸν καὶ νοερὸν καλόν. — Πρὸς δὲ τὸ τρίτον, τὸ τῆς λέξεως ἔξογκον, ῥητέον ὡς οἰκείως πανταχοῦ τοῖς ὑποκειμένοις πράγμασι καὶ τῇ λέξει κέχρηται Πλάτων· πρῶτον μὲν γὰρ ἐπειδὴ λεπτὸς καὶ ἰσχνὸς ἦν ὁ τοῦ Λυσίου λόγου χαρακτὴρ, εἰκότως αὐτὸς τῷ ἀντικειμένῳ ἠθέλησε χρήσασθαι τῷ σεμνοπρεπεστέρῳ πρὸς κατάπληξιν καὶ χείρωσιν τοῦ νέου· ἔπειτα ἡ ὑποκειμένη θεολογία ἡ περὶ τοῦ ἔρωτος καὶ ἡ φυσιολογία ἡ περὶ τῆς νοητῆς οὐσίας ἀπῄτει τοιούτων λόγων ἀξίωμα· ἐπεὶ γὰρ περὶ ἀφανῶν καὶ ἀγνώστων πραγμάτων τοῖς πολλοῖς διελέγετο, προσφόρως καὶ ὑψηλοῖς ἐχρήσατο λόγοις, ὅπου ὁ πολιτικὸς ἢ καὶ ὁ πολὺς προσελθεῖν οὐχ ἠδύνατο.

p. 64 Ἔστι δὲ ὁ διάλογος διὰ μὲν τὸν Φαῖδρον ἠθικὸς καὶ καθαρτικὸς, ἐλεγκτικὸς, προτρεπτικὸς εἰς φιλοσοφίαν· διὰ δὲ τοὺς περὶ ἔρωτος λόγους φυσικὸς καὶ θεολογικός· διὰ δὲ τοὺς περὶ ῥητορικῆς λογικός.

Τίς ὁ ἀληθὴς τοῦ διαλόγου σκοπός.

Οἳ μὲν περὶ ῥητορικῆς εἶναι τὸν διάλογον ἀπεφήναντο εἰς τὴν ἀρχὴν αὐτοῦ μόνην καὶ τὰ τέλη ἀποβλέψαντες· οἳ δὲ περὶ ψυχῆς, ἐπειδὴ περὶ ἀθανασίας αὐτῆς μάλιστα ἐνταῦθα ἀποδείκνυσιν· οἳ δὲ περὶ ἔρωτος, ἐπειδὴ καὶ ἡ ἀρχὴ καὶ ἀφορμὴ τοῦ διαλόγου ἐκ τούτου γεγένηται· ἔγραψε γὰρ ὁ

5 cf. 8, 10 8 cf. *Gorg.* 465 B

NC 2 ὁ om. M 11 ἐκπέπληκτο] ἐπέπληκτο M 12 διανοήματα] νοήματα M 13 ψιλοῖς fort. corruptum : vide tamen *Theæt.* 165 A 20 πραγμάτων om. M 22 ἢ om. M 23 ἔστι, ἔ rubr. A 26 τίς — σκοπός rubr. A : om. M 27 οἵ, ο rubr. A 27 οἳ μὲν — 11, 12 σκοποῦ : hæc omnia ex præcedentibus repetita videntur esse : οἳ μὲν — ἀποβλέψαντες cf. 8, 9 et 18; οἳ δὲ — ἐπιδείκνυσιν cf. 8, 29; οἳ δὲ — γεγένηται cf. 8, 16; αὐτὸς — ἐρᾶν cf. 1, 10; βουλόμενος — ἐρῶντι cf. 1, 11; περὶ οὗ — ἀκολουθητέον a re aliena; οἳ δὲ — λεγόμενα cf. 9, 4; οἳ δὲ — οὐσία cf. 8, 30; οἳ δὲ — καλοῦ cf. 9, 5; πάντες — σκοποῦ cf. 9, 6 30 διαλόγου] λόγου M : cf. 8, 16

[64] Λυσίας λόγον περὶ τοῦ μὴ δεῖν χαρίζεσθαι τῷ ἐραστῇ ἀλλὰ τῷ μὴ ἐραστῇ, αὐτὸς μὲν σφόδρα [ὁ Λυσίας] ἐρῶν τοῦ Φαίδρου, προσποιούμενος δὲ μὴ ἐρᾶν· βουλόμενος οὖν ἀποστῆσαι αὐτὸν τῶν ἄλλων ἐραστῶν, κακούργως γράφει λόγον ὅτι δεῖ μὴ ἐρῶντι μᾶλλον χαρίζεσθαι ἢ ἐρῶντι... περὶ οὗ καὶ ὁ Σωκράτης διαλέγεται τούτου τε τοῦ ἀκολάστου ἔρωτος καὶ τοῦ σώφρονος καὶ [τοῦ] θείου καὶ ἐνθουσιαστικοῦ, ὅτι τῷ τοιῷδε ἔρωτι τῷ σώφρονι καὶ θείῳ χαριστέον καὶ ἀκολουθητέον. — Οἱ δὲ καὶ θεολογικὸν αὐτὸν εἰρήκασι διὰ τὰ ἐν μέσοις τοῦ διαλόγου λεγόμενα· οἱ δὲ ὅτι καὶ
f° 19 v° περὶ τἀγαθοῦ, ἐπειδή φησι· « τὸν δὲ ὑπερουράνιον τόπον | οὔτε τις ὕμνησε ποιητὴς ἀξίως, » καὶ ἔτι· « ἡ ἀχρώματος καὶ ἀσχημάτιστος οὐσία »· οἱ δὲ περὶ τοῦ πρώτου καλοῦ. Πάντες οὖν οὗτοι ἀπό τινος μέρους τοῦ διαλόγου περὶ τοῦ παντὸς ἀπεφήναντο σκοποῦ. Καὶ γὰρ τὸν περὶ ψυχῆς λόγον δῆλός ἐστιν ἄλλου χάριν παρεμβαλών, καὶ τοὺς περὶ τοῦ πρώτου καλοῦ· ἀπὸ γὰρ τῶν ἄλλων καλῶν ἐπ' ἐκεῖνο ἀνῆλθε καὶ τὸν ὑπερουράνιον τόπον· καὶ δὴ καὶ τοὺς περὶ τοῦ ἔρωτος λόγους δῆλός ἐστι πρὸς τὸ ἐραστὸν ἀναφέρων. Οὔτε οὖν πολλοὺς εἶναι φατέον τοὺς σκοποὺς (πρὸς γὰρ ἕν τι πάντα δεῖ τετάσθαι ἵν' ὥσπερ ἓν ζῷον ὁ λόγος ὑπάρχῃ) οὔτε ἀπὸ μέρους περὶ τοῦ παντὸς ἀποφαίνεσθαι, ἀλλὰ τὸν λόγον εἰς ἕνα συντάττειν σκοπόν. Ἔστι δὲ οὗτος, ὡς συνελόντι εἰπεῖν, περὶ τοῦ παντοδαποῦ καλοῦ [εἰπεῖν]. Διὸ ἄρχεται μὲν ἀπὸ τοῦ φαινομένου κάλλους τοῦ ἐν τῇ μορφῇ τοῦ Φαίδρου, οὗπερ ἐραστὴς ἦν ὁ Λυσίας, κατὰ ἀπόπτωσιν τοῦ ἀληθινοῦ ἐραστοῦ ἀκόλαστος ὢν ἐραστής. Εἶτα μέτεισιν ἐπὶ τὸ ἐν τοῖς λόγοις καλόν, οὗ ἐραστὴς παραδίδοται Φαῖδρος, ἐρώμενος δὲ ὁ Λυσίας ἢ ὁ Λυσίου λόγος· διὸ ἀντερῶσιν ἀλλήλων Λυσίας καὶ Φαῖδρος, καὶ ἀμφότεροι ἐρασταί εἰσι καὶ ἐρώμενοι, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν ἔρωτα· διὸ καὶ βελτίους ἄμφω κατά τι καὶ χείρους· καθὸ μὲν γὰρ ἐραστής, βελτίων ὁ Φαῖδρος, χείρων δὲ ὁ Λυσίας· ὁ μὲν γὰρ Λυσίας τοῦ σώματος ἤρα καὶ τῆς ἀκολάστου ἐπιθυμίας, ὁ δὲ Φαῖδρος τοῦ ἐν λόγοις καλοῦ καὶ τοῦ ἐν τῇ συνθέσει τῶν ῥημάτων, ὃ ἀυλότερόν πώς ἐστι· καθὸ δὲ ἐρώμενος, βελτίων ὁ Λυσίας ἐστὶ (τουτέστιν ὁ Λυσίου λόγος), χείρων δὲ ὁ Φαῖδρος, τῷ πάλιν ἐρώμενον μὲν εἶναι τοῦ Φαίδρου τὸν λόγον Λυσίου, ἐρώμενον δὲ τοῦ Λυσίου τὸν Φαῖδρον. Εἶτα ἐπαναβιβασμοῖς χρώμενος ὁ Σωκράτης ἐπάνεισιν ἀπὸ τοῦ ἐν τοῖς λόγοις καλοῦ ἐπὶ τὸ ψυχικὸν κάλλος, τουτέστι τὰς ἀρετάς τε καὶ ἐπισ-

9-11 247 C   18 ζῷον cf. 9, 9   20 παντοδαποῦ cf. 9, 9

NC 2 ὁ Λυσίας seclusi   4 lacunam signavi   5 διαλέγεται scripsi : διαλέξεται libri   6 τοῦ seclusi   10 ἔτι scripsi cl. 9, 2 : ὅτι libri   12 σκοποῦ] σκοπόν M   13 sqq. hæc rursus nova, partim ab Hermia prænuntiata 9, 9   14 καὶ] ἢ ?   15 τοῦ om. M   16 τὸ ἐραστὸν] τὸν ἐραστὴν M   17 τετάσθαι] τετάχθαι Ast   18 ὑπάρχῃ ὁ λόγος M   παντὸς om. M (unde αὐτοῦ pro τοῦ scripsit Ast)   20 εἰπεῖν post καλοῦ seclusi

[64] τήμας. Εἶτα ἐπὶ τὸ τῶν ἐγκοσμίων θεῶν ἐν τῇ παλινῳδίᾳ. Εἶτα ἐπὶ τὸ νοητὸν κάλλος καὶ αὐτὴν τὴν πηγὴν τοῦ καλοῦ καὶ τὸν θεὸν Ἔρωτα καὶ αὐτὸ τὸ καλόν. Ὅθεν πάλιν κάτεισι διὰ τῆς διαιρετικῆς ἐπὶ τὸ ψυχικὸν κάλλος καὶ τὸ τῶν ἀρετῶν καὶ ἐπιστημῶν. Εἶτ' αὖ πάλιν ἐπὶ τὸ ἐν τοῖς λόγοις καλόν, καὶ συνάπτει τελευτὴν ἀρχῇ. Καὶ συνελόντι εἰπεῖν εἰς τρία τέμοις ἂν τὴν πᾶσαν τοῦ λόγου διάνοιαν καὶ εἰς τρεῖς ζωάς· εἴς τε τὴν ἀκόλαστον ἥτις ἐν τῷ λόγῳ τοῦ Λυσίου ὁρᾶται, καὶ τὴν σώφρονα ἥτις ἐν τῷ πρώτῳ λόγῳ τοῦ Σωκράτους ὁρᾶται, καὶ τρίτην τὴν ἔνθουν ἥτις ἐν τῇ παλινῳδίᾳ καὶ τῷ τελευταίῳ λόγῳ τοῦ Σωκράτους ἐνορᾶται· ἀνάλογον δὲ ταύταις ταῖς ζωαῖς εἰσι τὰ ἐρῶντα, καὶ κατὰ τὰ ἐρῶντα λάβοις ἂν καὶ τοὺς ἔρωτας καὶ αὐτὰ τὰ ἐραστά. Οὐ πόρρω οὖν ἔβαλλον τοῦ σκοποῦ οἱ περὶ ἔρωτος εἰπόντες εἶναι τὸν διάλογον, ἐπειδήπερ ὁ ἔρως κατὰ τὴν ἀναφορὰν τὴν ἐπὶ τὸ ἐραστὸν ὁρᾶται. Καὶ δεῖ μέντοι μηδὲ τὰς σύνεγγυς διαφορὰς λανθάνειν, ἐπεὶ καὶ αὐτὸς ὁ Πλάτων οὐ τὰς τυχούσας διακρίσεις ἔρωτος καὶ ἐραστοῦ παραδέδωκεν. Ὅτι
p. 65 δὲ οὐκ ἔστιν | ἐνταῦθα ὁ προηγούμενος σκοπὸς [περὶ ἔρωτος] δῆλον· οὔτε γὰρ περὶ οὐσίας αὐτοῦ οὔτε περὶ δυνάμεως παραδίδωσιν, ἀλλὰ περὶ τῆς ἐνεργείας αὐτοῦ τῆς εἰς τὸν κόσμον καὶ τὰς ψυχὰς διαλέγεται, ὅτι δὴ πάντα ἀνάγει ἐπὶ τὸ ἐραστὸν καὶ τὸ καλόν· εἰ δέ που ὁ Πλάτων προηγούμενον <περί> τινος λόγον ποιεῖται, περὶ τριῶν τούτων διαλέγεται, περὶ οὐσίας, περὶ δυνάμεως, περὶ ἐνεργείας· διὸ ἐν τῷ Συμποσίῳ ἐπειδὴ προηγούμενος ἦν ἐκεῖ ὁ περὶ αὐτοῦ λόγος, τὴν μεσότητα αὐτοῦ καὶ τὴν τάξιν παραδιδούς, δαίμονα μέγαν αὐτὸν κέκληκεν, ὡς δέοντα τὰ δεύτερα τοῖς πρώτοις. Ἐνταῦθα δὲ ἐπειδὴ προηγεῖται ὁ περὶ τοῦ καλοῦ λόγος, εἰς ὃ ὁ Ἔρως πάντα ἀνάγει, θεὸς προσαγορεύεται.

Τὰ δὲ πρόσωπα ὁ Λυσίας, ἤτοι ὁ λόγος αὐτοῦ, καὶ ὁ Φαῖδρος καὶ Σωκράτης. [Λυσίας μὲν καὶ Φαῖδρος ἐρασταὶ ἀλλήλων ὡς προείρηται· ὁ δὲ Σωκράτης ὁ κηδεμὼν τῶν νέων καὶ προνοῶν τοῦ Φαίδρου καὶ ἐπανάγων αὐτὸν ἀπὸ τοῦ φαινομένου καὶ ἐκτὸς καλοῦ τοῦ ἐν τοῖς λόγοις ἐπὶ τὸ ψυχικὸν καὶ [τὸ] νοερὸν καλόν. Ἐπειδὴ δέ τινες ὡς στομφώδη τὸν λόγον ᾐτιάσαντο διὰ τὰ ἐν τῇ παλινῳδίᾳ εἰρημένα, ῥητέον ὅτι οἰκείως τοῖς πράγμασι καὶ τοῖς λόγοις ὁ Σωκράτης χρῆται· ἐπειδὴ γὰρ περὶ ἀφανῶν

21 *Conviv.* 202 A 23 δαίμονα μέγαν *ibid.* 202 DE 27 προείρηται 11, 24 30 ἐπειδὴ κτλ. cf. 10, 14

NC 1 τὸ om. M ἐγκοσμίων θεῶν] fort. ἐγκοσμίων καὶ θείων (nisi vocis θεῶν nominativus non sit θεός, sed θέα) 6 τέμοις ἂν] τέμνοι ἂν M : τέμνοι <τις> ἂν vel τέμνοις ἂν conj. Ast 10 ἐνορᾶται] ὁρᾶται M καὶ κατὰ τὰ ἐρῶντα om. M 14 ἐπεὶ] ἐπειδὴ M 16 περὶ ἔρωτος seclusi 18 δὴ ex δὲ A 19 ἀνάγει] ἀνάγκῃ CM (jam correxerat Ast) cf. 25 προηγούμενος C 20 περὶ addidi ποιεῖται scripsi : ποιοῖτο libri 27 Λυσίας — 13, 2 οὐσίᾳ hæc omnia e præcedentibus repetita : ἐπανάγων κτλ. cf. 10, 12; ῥητέον κτλ. cf. 10, 14; ἀφανῶν κτλ. cf. 10, 20 28 κηδαίμων C 30 τὸ seclusi ex 10, 13 31 ᾐτιάσαντο] ᾐτήσαντο CM (jam correxerat Ast)

[65] καὶ ἀγνώστων τοῖς πολλοῖς πραγμάτων διαλέγεται, προσφόρως καὶ ὑψηλοῖς ἐχρήσατο λόγοις καὶ οἰκείοις τῇ νοητῇ καὶ θείᾳ οὐσίᾳ.]

Ἐντεῦθεν

ἡ τοῦ Πλατωνικοῦ ῥητοῦ ἐξήγησις.

α΄. <ὦ φίλε Φαῖδρε>] 227 A.

f° 20 r° Ὅτι περὶ τοῦ παντοδαποῦ καλοῦ ὁ σκοπὸς, πρῶτον τοῦ ἐν αἰσθήσει καὶ τῇ φύσει, εἶτα τοῦ ἐν τοῖς λόγοις, καὶ ἀνωτέρω τοῦ ἐν ψυχῇ καὶ ἐπιστήμαις καὶ ἐπιτηδεύμασι, καὶ ἔτι ἀνωτέρω τοῦ ἐν νῷ, καὶ τελευταῖον τοῦ ἐν θεοῖς, δηλοῖ ἡ πρώτη λέξις, τὸ ὦ φίλε. Φίλον γὰρ τὸ καλὸν, κλητικὸν ὂν εἰς ἑαυτὸ καὶ ἐπιστρεπτικόν· διὸ καὶ καλὸν λέγεται παρὰ τὸ καλεῖν εἰς ἑαυτὸ τοὺς ἐρῶντας. — Τὸ δὲ ποῖ δὴ καὶ πόθεν δηλωτικόν ἐστι πάλιν τοῦ ἐν αἰσθήσει καλοῦ· ἀεὶ γὰρ ἐν κινήσει καὶ γενέσει καὶ φθορᾷ τὸ αἰσθητικὸν κάλλος. Ἐπειδὴ οὖν καὶ ὁ Φαῖδρος ἐπτόητο περὶ τὸ φαινόμενον κάλλος τὸ ἐν τοῖς λόγοις ὅπερ ἐν κινήσει καὶ ῥύσει θεωρεῖται (τῶν γὰρ ἐν τῇ ψυχῇ διανοημάτων εἰκόνες οἱ λόγοι, πᾶσα δὲ κίνησίς ποθέν ποι)· διὰ τοῦτο ἐρωτᾷ « ποῖ δὴ καὶ πόθεν. » Ἢ ὅτι ἐπειδὴ τῷ Σωκράτει ἐπιμελὲς ἦν τῶν νέων φροντίζειν, δεῖ δὲ τὸν μέλλοντά τι ἰᾶσθαι πρότερον ἐπισκέπτεσθαι αὐτοῦ πᾶσαν τὴν κατάστασιν, εἶθ' οὕτως ἐγχειρεῖν τῇ θεραπείᾳ, διὰ τοῦτο δὴ καὶ ὁ Σωκράτης ἀνερωτᾷ ἀπὸ ποίων τε συνουσιῶν ἔρχεται καὶ ἐπὶ ποίας ἐπτόηται, μὴ ἄρα καὶ διέφθαρται ὑπό τινων συνουσιῶν. — Τὸ δὲ παρὰ Λυσίου τοῦ Κεφάλου, ἐπειδὴ ὁ Κέφαλος ὀρθοδοξαστικὸς ἡμῖν παραδίδοται ἐν Πολιτείᾳ, ἤρα δὲ τοῦ Λυσίου λόγου ὁ Φαῖδρος, δηλοῖ ὅτι τὸ φαινόμενον κάλλος δόξῃ ἐστὶν μετ' αἰσθήσεως ληπτὸν καὶ οὐκ ἐπισ-

6 παντοδαποῦ cf. 9, 9 et 11, 20   10 cf. *Cratyl.* 416 D   22 *Rep.* I 328 sqq.

TIT 13 κάλλος A

NC 1 διαλέγεται] διαφέρεται (λ suprascr.) C[1]   2 post οὐσίᾳ legitur in C Σωκράτης Πλάτων Φαῖδρος ἢ περὶ καλοῦ (rubr.) : eadem in B (sed Πλάτωνος) : verba Πλάτωνος Φαῖδρος ἢ περὶ καλοῦ in A post ἐξήγησις initio f[1] 20 leguntur   3-4 Tit. rubr. AC (qui addit Ἑρμείου φιλοσόφου), deest in M : in A hoc scholium legitur quod non Hermiæ tribuendum (= schol. 227 A, p. 267 Herm.) Σωκράτης φησὶν Ὀλυμπιόδωρος ἐν τῷ εἰς τὸν Ἀλκιβιάδην ὑπομνήματι ὡς πρῶτός ἐστιν ὁ Φαῖδρος διάλογος τοῦ Πλάτωνος   5 lemma addidi numeri scholiorum in margine rubro adpicti : iidem in margine textus ad verba quæ explicantur   6 ὅτι (ο rubr.)] τι M (jam correxerat Ast) τοῦ om. M   παντοδαποῦ] παντοῦ MmBC (jam correxerat Ast)   πρῶτον scripsi : πρώτου libri   7 ἀνωτέρω a : ἀνωτέρου AM (i. e. per regressionem dialecticam : cf. 8 et 11, 33)   ἐπιστήμαις] ἐπιστήμῃ M   11 δὴ om. M   12 αἰσθιτικὸν A[a] : αἰσθητὸν M   13 ὁ om. M   Φαῖδρον C   14 τῇ om. M   16 ποθέν ποι Ast πόθεν ποῖ libri   16-17 τῶν νέων om. M   17 ἐπισκέψασθαι M   21 παρὰ Λυσίου] παραπλησίου BC (qui ex Plat. sicut M addit ὦ Σώκρατες)   23 δόξει A[a]

[65] τήμῃ. — Τὸ δὲ πορεύομαι ε... ἔξω τείχους πρὸς περίπατον δηλοῖ ὅτι πρὸς κρείττονά τινα καὶ ὑπερτέραν ... ζωὴν μέλλει ἰέναι καὶ οἷον παρὰ τοὺς πολλούς· τὸ γὰρ αὐτὸ πρὸς διάφορα π... δύναται καὶ ὡς κρεῖττον λαμβάνεσθαι κα... ...ματα καὶ κατὰ διαφόρους ἐπιβολὰς σημαίνῃ ἡμῖν τὸ σαφὲς τὸ τῇ αἰσθήσει ληπτὸ... χεῖρον· οἷον τὸ λευκὸν ἐὰν μέλαν σημαίνοι ἂν τὸ ἀσαφές, τὸ κρεῖττον τῆς αἰσ...καὶ εὔγνωστον πάνυ, τὸ βαθὺ καὶ νοήσει μόνῃ ληπτόν· ἐὰν δὲ τὸ μέλαν σημαι...θητικῆς γνώσεως, τὸ συγκεχυμένον καὶ ἀσαφὲς (ὡς χεῖρον τοῦ σαφοῦς), τότε ...ῃ τὸ σκοτεινὸν καὶ τὸ σαφὲς καὶ γνώριμον καὶ τὸ φανὸν τοῦ νοῦ καὶ διειδές. ...ὸ λευκὸν δηλοῖ ἄστυ καὶ ἡ πόλις, ἐπειδὴ οἱ πολλοὶ ἐν αὐτῇ ἀναστρέφονται, δῆ...καὶ τοίνυν τὸ Φαίδρου τὸ πορεύομαι ἔξω τείχους (ἀντὶ τοῦ· ἐκτὸς τῶν πολλ... ἐπὶ τοῦ τῆς λεωφόρου), τουτέστιν ἐπὶ ὑπερτέραν καὶ κρείττονα ζωὴν μέλλω ἰέναι ...ὶ ἐπὶ δὲ Σωκράτους σημαίνει τὸ ἄστυ (λέγει γὰρ ἑξῆς <ὁ Φαῖδρος> ὅτι « ἀτεχνῶς σὺ ξεναγουμένῳ ἔοικας, καὶ οὐκ ἐθέλεις ἀποδημεῖν

p. 66 οὐδὲ | ἐξιέναι τοῦ ἄστεος ») τὸ ἀεὶ τὸν Σωκράτην καὶ τὸν ἐπιστήμονα τῶν οἰκείων ἀρχῶν ἔχεσθαι καὶ τῶν νοητῶν, καὶ μὴ ἐξίστασθαι ἑαυτοῦ.

Εὐλόγως ἐκ προοιμίων φίλον τὸν Φαῖδρον καλεῖ ὁ κηδεμὼν τοῦ νέου Σωκράτης· ἐφ' ὅσον γὰρ ἔχθρα μεσολαβοίη καὶ διχόνοια τρόπων, οὔτε ὁ τελῶν τελεῖ οὔτε ὁ τελούμενος τελεῖται· πῶς γὰρ ἐπανάξει ὁ προνοεῖν ᾑρημένος ὃν οὐ πεφίληκε; πῶς δὲ ὁ διδάσκων διδάξει τὸν μὴ ἐπιτηδείως ἔχοντα τῆς ψυχῆς πρὸς τὴν μάθησιν; εἰ γὰρ ἐναντίον τῇ φιλίᾳ τὸ νεῖκος, τὸ δὲ νεῖκος ἀρχὴ διαστάσεως, εἰκότως ἡ φιλία ἑνώσεως· ἕνωσις δὲ διεστώτων οὐκ ἂν ἄλλως γένοιτο εἰ μὴ πρότερον τοῦ ἑτέρου θάτερον ἐπιδράξεται τὸ δραστικώτερον τοῦ ἐνδεοῦς (δηλαδὴ ὅσα καὶ πῦρ τοῦ σιδήρου)· οὕτω καὶ ἐνταῦθα ὁ Σωκράτης φίλον τὸν Φαῖδρον καλέσας διὰ τῆς προσρήσεως ἐπιδράττεται τούτου, ὡς ἂν τῆς οἰκείας αὐτὸν ποιήσῃ συνουσίας ἄξιον. Εἰ δέ τι δεῖ καὶ τὸ τοῦ Φαίδρου ὄνομα ἀναπτύξαι (οὐδὲ γὰρ καὶ περὶ ταῦτα χεῖρον οἱ παλαιοὶ διετέθησαν), ἰστέον ὡς τὸ φαινόμενον καλὸν διώκων ὁ Φαῖδρος (ἐραστὴς γὰρ ἦν τῶν τοῦ Λυσίου λόγων), τὸ ὄντως ὂν

12 ἐπὶ — ἰέναι cf. 2 14 ἀτεχνῶς γὰρ... ξεναγουμένῳ τινὶ... ἔοικας 230 C 21 ἐναντίον secundum Empedoclem

NC 1 πρὸς περίπατον ἔξω τείχους Plat. 2 κρίττονα a τινα om. C μέλλει A²E : μέλλων A¹CM : μέλλω Ast οἷον παρὰ τοὺς πολλοὺς corruptum (nisi παρὰ τοὺς πολλούς = οὐ κατὰ τοὺς πολλούς = ἐναντίως τοῖς πολλοῖς) 5 λοιπὸν a εὔγνωστον] ἄγευστον MC 7 βαθὺ A²EB in marg. : εὐθύ MBC σημαίνει M (jam correxerat Ast) 8 ἀσαφῆ M (jam correxerat Ast) 9 καὶ φανὸν C καὶ τὸ διειδές M 10 οἱ om. M αὐτῇ] αὐτῷ M δῆλον τὸ ἐπὶ M 12 λεοφόρου C μέλλω Ast : μέλλων libri 13 ὁ Φαῖδρος addidi 14 οὐκ ἐθέλεις] οὐ θέλεις M 17 εὐλόγως, εὐ rubr. A : in margine stellula rubra 18 Σωκράτης] Σωκράτους M (jam correxerat Ast) γὰρ om. M (« *nisi plura, certe* γὰρ *deest* » Ast) 20 ᾑρημένος] εἰρημένος M τὸν om. M 23 θάτερον] θᾶττον M 25 ἐνταῦθα ὁ scripsi : ὁ ἐνταῦθα A : ὁ om. M 26 αὐτὸν] αὐτοῦ M ποιήσῃ] ποιήσοι M 27 δέ τι] δ' ἔτι M τὸ om. M γὰρ καὶ om. M

[66] καὶ ἀνωτέρω παρὰ τοῦ Σωκράτους μεμάθηκε· τῷ φαινομένῳ οὖν προσέχων ἔλαθεν ἐμπεσὼν εἰς τὸ ἐπικεκαλυμμένον καὶ νοητὸν, εἴτουν κρύφιον καὶ μόλις διορώμενον (τοῦτο γὰρ τὸ Φαῖδρος δηλοῖ), καὶ ἀπὸ κάλλους εἰς κάλλος μετῆλθεν ὡς εἶναι τύπον οὗ μέλλει μαθήσεσθαι τὸ παρ' ἐκείνου γινωσκόμενον καλόν. Ἐντεῦθεν καὶ ἄλλο τι μανθάνομεν, ὡς ὁρμὴν ἔχοντες εἰς τὸ ἀγαθὸν καὶ προθυμίαν καὶ ἔφεσιν, εἰ καὶ σφαλοίμεθα πολλάκις διὰ τὸ φαινόμενον, ἀλλ' οὖν τὸ ὂν διδασκόμενοι, οὐ δυσπετῶς ἔχομεν πρὸς αὐτὸ ἅτε τῆς ψυχῆς ἡμῶν προκατεχούσης αὐτὸ, εἰ καὶ περὶ τὸ πρᾶγμα ἠπάτητο· εἰ γὰρ μὴ ὁ Φαῖδρος κάλλους ἐφίετο, οὐκ ἂν κάλλος ἐμάνθανε.

Δόξει μὲν ἀντιστρόφως ἔχειν. Ἐξαχῶς γὰρ τῆς κινήσεως οὔσης, ποθὲν... ποι τὴν φορὰν ὠνομάκασι· προηγεῖται τοίνυν τὸ πόθεν, ἐπάγεται δὲ τὸ ποῖ. Ἀλλ' ἔστιν εἰπεῖν λογικῶς μὲν ὡς ἡ μὲν κίνησις ἀρχὴν μὲν ἔχει τὸ πόθεν, τὸ δὲ ποῖ τελευτὴν, ἡ δὲ τοῦ κινουμένου πρόθεσις ὡσανεί τινα ἀρχὴν τὸ ποῖ ἔχει· εἰ γὰρ μὴ κινήσει τοῦτον ἄλλη τις ἔμφυτος ὄρεξις εἰς ἐκεῖνο, οὐκ ἂν ἐντεῦθεν ὁρμήσειε· μὴ μόνον δὲ ἐπὶ τῶν f°20v° ζῴων | ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν φυσικῶν· τὴν γὰρ εἰς ὑγείαν κίνησιν ὑγίανσίν φαμεν καὶ τὴν εἰς νόσον νόσανσιν, ὡς ἐκ τῶν τελῶν ὠνομασμένων τῶν κινήσεων. Ἠθικῶς δὲ ὅτι ἐντρέπει τὸν Φαῖδρον ὁ Σωκράτης καὶ οἱονεὶ λέγει· « ποῖ πορεύῃ; πόθεν ἐξῆλθες; ἀφῆκας τὸ ὄντως κάλλος, τὸ ἐν τοῖς θείοις, καὶ τὸ ἐν λόγοις τεθαύμακας; ὅρα δὴ ποῖ κατήντηκας καὶ οὕτως γνώσῃ πόθεν ἐξῆλθες· ὡς γὰρ, φέρε εἰπεῖν, ἐπὶ τῶν ὁδῶν ἢ ἐπὶ τῶν ἑτέρων τρόπων οὐκ ἄλλως τὰ πρότερα ζητοῦμεν, εἰ μὴ τῶν δευτέρων δυσχερεστέρων ὄντων ἐν γνώσει γενώμεθα, οὕτω δὴ καὶ ἐνταῦθα οὐκ ἄλλως ἔχεις μαθεῖν, ὦ Φαῖδρε, ἐξ οὗ συνηρπάγης, εἰ μὴ γνώσῃ ἐφ' ὅσον καὶ οὗ συνηλάθης· ἡ γὰρ παροῦσα διαμαρτία ὑπόγυος οὖσα ἱκανή ἐστιν ἀνάξαι κατά τινα ἀναποδισμὸν πρὸς τὴν ὄντως ψυχῇ πρέπουσαν κατάστασιν. » Ἔχει τις καὶ φυσικῶς εἰπεῖν ὅτι <ἐπειδὴ> τὸ μετὰ τὸν δημιουργὸν δεύτερον ποιητικὸν αἴτιον ἡ φύσις, προϋποκειμένου ὅτι καὶ

NC 2 ἐμπεσὼν] ἐκπεσὼν M   νοητὸν sed prius ν ex emend. A   εἴτουν κρύφιον] εἰ τὸ ἐγκρύφιον M   3 τὸ] αὐτὸ Ast   6 ἀγαθὸν om. M unde τε pro τὸ scribebat Ast   11 δόξει scripsi: δόξειε libri (δ rubr. A): scil. τὸ ποῖ καὶ πόθεν   ἐξαχῶς] ἐξόχως M[1]: ἐξοχῶς M[2]: ἐξέχως Ast (qui adnotat: « *conjicere possis* ἐξ ἀρχῆς)   12 sic fere supplendum: ποθὲν <τὴν ἀφορμήν,> ποῖ τὴν φορὰν   ὠνομάκασι] ὠνόμασε M   14 τὸ δὲ ποῖ scripsi: ποῖ δὲ τὴν libri   15 κινήσειε?   17 ἐπ' αὐτῶν] ἐπὶ M   18-19 ὠνομασμένων scripsi: ὀνομασμένων A[a]: ὀνομαζομένων BM   19 κινήσεων] κινημάτων M   20 καὶ πόθεν M   τὸ ὄντως | κάλλος (linea finem versus indicat) legere est in A: ὠ ἐν τω κά | (*sic*) a κάλλος: τὸ ἐν ταῖς ψυχαῖς κάλλος BEM, quæ huc non pertinent   21 δὴ] δὲ M   23 τόπων?   24 ἐν γνώσει BEM: εν γνώσειν A[a]   25 οὗ] ὧν M   26 litteræ ηλάθης evanidæ in A   ἡ] ὁ a   27 ἀναποδισμὸν] ἀποδισμὸν BM: ἀποδασμὸν Ast (qui et ἀναβαθμὸν conjecit)   πρέπουσαν non jam legitur in A   28 ἐπειδὴ addidi   29 ὅτι evan. in A

[65] τήμη. — Τὸ δὲ πορεύομαι ε ξω τείχους πρὸς περίπατον δηλοῖ ὅτι πρὸς κρείττονά τινα καὶ ὑπερτέραν πολλούς· τὸ γὰρ αὐτὸ πρὸς διάφορα π ζωὴν μέλλει ἰέναι καὶ οἷον παρὰ τοὺς δύναται καὶ ὡς κρεῖττον λαμβάνεσθαι κα ματα καὶ κατὰ διαφόρους ἐπιβολὰς σημαίνῃ ἡμῖν τὸ σαφὲς τὸ τῇ αἰσθήσει ληπτοὺς χεῖρον· οἷον τὸ λευκὸν ἐὰν μέλαν σημαίνοι ἂν τὸ ἀσαφές, τὸ κρεῖττον τῆς αἰοκαὶ εὔγνωστον πάνυ, τὸ βαθὺ καὶ νοήσει μόνῃ ληπτόν· ἐὰν δὲ τὸ μέλαν σημαιθητικῆς γνώσεως, τὸ συγκεχυμένον καὶ ἀσαφὲς (ὡς χεῖρον τοῦ σαφοῦς), τότε νη τὸ σκοτεινὸν καὶ τὸ σαφὲς καὶ γνώριμον καὶ τὸ φανὸν τοῦ νοῦ καὶ διειδές. Ὁ λευκὸν δηλοῖ ἄστυ καὶ ἡ πόλις, ἐπειδὴ οἱ πολλοὶ ἐν αὐτῇ ἀναστρέφονται, δῆλαὶ τοίνυν τὸ Φαίδρου τὸ πορεύομαι ἔξω τείχους (ἀντὶ τοῦ· ἐκτὸς τῶν πολλ. ἐπὶ τοῦ τῆς λεωφόρου), τουτέστιν ἐπὶ ὑπερτέραν καὶ κρείττονα ζωὴν μέλλω ἰέναι ·ὶ ἐπὶ δὲ Σωκράτους σημαίνει τὸ ἄστυ (λέγει γὰρ ἑξῆς <ὁ Φαῖδρος> ὅτι « ἀτεχνῶς σὺ ξεναγουμένῳ ἔοικας, καὶ οὐκ ἐθέλεις ἀποδημεῖν
p. 66 οὐδὲ | ἐξιέναι τοῦ ἄστεος ») τὸ ἀεὶ τὸν Σωκράτην καὶ τὸν ἐπιστήμονα τῶν οἰκείων ἀρχῶν ἔχεσθαι καὶ τῶν νοητῶν, καὶ μὴ ἐξίστασθαι ἑαυτοῦ.

Εὐλόγως ἐκ προοιμίων φίλον τὸν Φαῖδρον καλεῖ ὁ κηδεμὼν τοῦ νέου Σωκράτης· ἐφ' ὅσον γὰρ ἔχθρα μεσολαβοίη καὶ διχόνοια τρόπων, οὔτε ὁ τελῶν τελεῖ οὔτε ὁ τελούμενος τελεῖται· πῶς γὰρ ἐπανάξει ὁ προνοεῖν ᾑρημένος ὃν οὐ πεφίληκε; πῶς δὲ ὁ διδάσκων διδάξει τὸν μὴ ἐπιτηδείως ἔχοντα τῆς ψυχῆς πρὸς τὴν μάθησιν; εἰ γὰρ ἐναντίον τῇ φιλίᾳ τὸ νεῖκος, τὸ δὲ νεῖκος ἀρχὴ διαστάσεως, εἰκότως ἡ φιλία ἑνώσεως· ἕνωσις δὲ διεστώτων οὐκ ἂν ἄλλως γένοιτο εἰ μὴ πρότερον τοῦ ἑτέρου θάτερον ἐπιδράξεται τὸ δραστικώτερον τοῦ ἐνδεοῦς (δηλαδὴ ὅσα καὶ πῦρ τοῦ σιδήρου)· οὕτω καὶ ἐνταῦθα ὁ Σωκράτης φίλον τὸν Φαῖδρον καλέσας διὰ τῆς προσρήσεως ἐπιδράττεται τούτου, ὡς ἂν τῆς οἰκείας αὐτὸν ποιήσῃ συνουσίας ἄξιον. Εἰ δέ τι δεῖ καὶ τὸ τοῦ Φαίδρου ὄνομα ἀναπτύξαι (οὐδὲ γὰρ καὶ περὶ ταῦτα χεῖρον οἱ παλαιοὶ διετέθησαν), ἰστέον ὡς τὸ φαινόμενον καλὸν διώκων ὁ Φαῖδρος (ἐραστὴς γὰρ ἦν τῶν τοῦ Λυσίου λόγων), τὸ ὄντως ὂν

12 ἐπὶ — ἰέναι cf. 2 14 ἀτεχνῶς γάρ... ξεναγουμένῳ τινί... ἔοικας 230 C 21 ἐναντίον secundum Empedoclem

NC 1 πρὸς περίπατον ἔξω τείχους Plat. 2 κρίττονα a τινα om. C μέλλει A²E : μέλλων A¹CM : μέλλω Ast οἷον παρὰ τοὺς πολλοὺς corruptum (nisi παρὰ τοὺς πολλούς = οὐ κατὰ τοὺς πολλούς = ἐναντίως τοῖς πολλοῖς) 5 λοιπὸν a εὔγνωστον] ἄγευστον MC 7 βαθὺ A²EB in marg. : εὐθύ MBC σημαίνει M (jam correxerat Ast) 8 ἀσαφῆ M (jam correxerat Ast) 9 καὶ φανὸν C καὶ τὸ διειδές M 10 οἱ om. M αὐτῇ] αὐτῷ M δῆλον τὸ ἐπὶ M 12 λεοφόρου C μέλλω Ast : μέλλων libri 13 ὁ Φαῖδρος addidi 14 οὐκ ἐθέλεις] οὐ θέλεις M 17 εὐλόγως, εὐ rubr. A : in margine stellula rubra 18 Σωκράτης] Σωκράτους M (jam correxerat Ast) γὰρ om. M (« *nisi plura, certe* γὰρ *deest* » Ast) 20 ᾑρημένος] εἰρημένος M τὸν om. M 23 θάτερον] θᾶττον M 25 ἐνταῦθα ὁ scripsi : ὁ ἐνταῦθα A : ὁ om. M 26 αὐτὸν] αὐτοῦ M ποιήσῃ] ποιήσοι M 27 δέ τι] δ' ἔτι M τὸ om. M γὰρ καὶ om. M

[66] καὶ ἀνωτέρω παρὰ τοῦ Σωκράτους μεμάθηκε· τῷ φαινομένῳ οὖν προσέχων ἔλαθεν ἐμπεσὼν εἰς τὸ ἐπικεκαλυμμένον καὶ νοητὸν, εἴτουν κρύφιον καὶ μόλις διορώμενον (τοῦτο γὰρ τὸ Φαῖδρος δηλοῖ), καὶ ἀπὸ κάλλους εἰς κάλλος μετῆλθεν ὡς εἶναι τύπον οὗ μέλλει μαθήσεσθαι τὸ παρ' ἐκείνου γινωσκόμενον καλόν. Ἐντεῦθεν καὶ ἄλλο τι μανθάνομεν, ὡς ὁρμὴν ἔχοντες εἰς τὸ ἀγαθὸν καὶ προθυμίαν καὶ ἔφεσιν, εἰ καὶ σφαλοίμεθα πολλάκις διὰ τὸ φαινόμενον, ἀλλ' οὖν τὸ ὂν διδασκόμενοι, οὐ δυσπετῶς ἔχομεν πρὸς αὐτὸ ἅτε τῆς ψυχῆς ἡμῶν προκατεχούσης αὐτὸ, εἰ καὶ περὶ τὸ πρᾶγμα ἠπάτητο· εἰ γὰρ μὴ ὁ Φαῖδρος κάλλους ἐφίετο, οὐκ ἂν κάλλος ἐμάνθανε.

Δόξει μὲν ἀντιστρόφως ἔχειν. Ἐξαχῶς γὰρ τῆς κινήσεως οὔσης, ποθὲν... ποι τὴν φορὰν ὠνομάκασι· προηγεῖται τοίνυν τὸ πόθεν, ἐπάγεται δὲ τὸ ποῖ. Ἀλλ' ἔστιν εἰπεῖν λογικῶς μὲν ὡς ἡ μὲν κίνησις ἀρχὴν μὲν ἔχει τὸ πόθεν, τὸ δὲ ποῖ τελευτὴν, ἡ δὲ τοῦ κινουμένου πρόθεσις ὡσανεί τινα ἀρχὴν τὸ ποῖ ἔχει· εἰ γὰρ μὴ κινήσει τοῦτον ἄλλη τις ἔμφυτος ὄρεξις εἰς ἐκεῖνο, οὐκ ἂν ἐντεῦθεν ὁρμήσειε· μὴ μόνον δὲ ἐπὶ τῶν f°20v° ζῴων | ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν φυσικῶν· τὴν γὰρ εἰς ὑγείαν κίνησιν ὑγίανσίν φαμεν καὶ τὴν εἰς νόσον νόσανσιν, ὡς ἐκ τῶν τελῶν ὠνομασμένων τῶν κινήσεων. Ἠθικῶς δὲ ὅτι ἐντρέπει τὸν Φαῖδρον ὁ Σωκράτης καὶ οἱονεὶ λέγει· « ποῖ πορεύῃ; πόθεν ἐξῆλθες; ἀφῆκας τὸ ὄντως κάλλος, τὸ ἐν τοῖς θείοις, καὶ τὸ ἐν λόγοις τεθαύμακας; ὅρα δὴ ποῖ κατήντηκας καὶ οὕτως γνώσῃ πόθεν ἐξῆλθες· ὡς γὰρ, φέρε εἰπεῖν, ἐπὶ τῶν ὁδῶν ἢ ἐπὶ τῶν ἑτέρων τρόπων οὐκ ἄλλως τὰ πρότερα ζητοῦμεν, εἰ μὴ τῶν δευτέρων δυσχερεστέρων ὄντων ἐν γνώσει γενώμεθα, οὕτω δὴ καὶ ἐνταῦθα οὐκ ἄλλως ἔχεις μαθεῖν, ὦ Φαῖδρε, ἐξ οὗ συνηρπάγης, εἰ μὴ γνώσῃ ἐφ' ὅσον καὶ οὗ συνηλάθης· ἡ γὰρ παροῦσα διαμαρτία ὑπόγυος οὖσα ἱκανή ἐστιν ἀνάξαι κατά τινα ἀναποδισμὸν πρὸς τὴν ὄντως ψυχῇ πρέπουσαν κατάστασιν. » Ἔχει τις καὶ φυσικῶς εἰπεῖν ὅτι <ἐπειδὴ> τὸ μετὰ τὸν δημιουργὸν δεύτερον ποιητικὸν αἴτιον ἡ φύσις, προϋποκειμένου ὅτι καὶ

NC 2 ἐμπεσὼν] ἐκπεσὼν M   νοητὸν sed prius ν ex emend. A   εἴτουν κρύφιον] εἰ τὸ ἐγκρύφιον M   3 τὸ] αὐτὸ Ast   6 ἀγαθὸν om. M unde τε pro τὸ scribebat Ast   11 δόξει scripsi: δόξειε libri (δ rubr. A): scil. τὸ ποῖ καὶ πόθεν   ἐξαχῶς] ἐξόχως M[1]: ἐξοχῶς M[2]: ἐξέχως Ast (qui adnotat: « *conjicere possis* ἐξ ἀρχῆς)   12 sic fere supplendum: ποθὲν <τὴν ἀφορμὴν,> ποῖ τὴν φορὰν   ὠνομάκασι] ὠνόμασε M   14 τὸ δὲ ποῖ scripsi: ποῖ δὲ τὴν libri   15 κινήσειε?   17 ἐπ' αὐτῶν] ἐπὶ M   18-19 ὠνομασμένων scripsi: ὀνομασμένων A[a]: ὀνομαζομένων BM   19 κινήσεων] κινημάτων M   20 καὶ πόθεν M   τὸ ὄντως | κάλλος (linea finem versus indicat) legere est in A: ὠ ἐν τω κά | (*sic*) a κάλλος: τὸ ἐν ταῖς ψυχαῖς κάλλος BEM, quæ huc non pertinent   21 δὴ] δὲ M   23 τόπων?   24 ἐν γνώσει BEM: εν γνώσειν A[a]   25 οὗ] ὧν M   26 litteræ ηλάθης evanidæ in A   ἡ] ὁ a   27 ἀναποδισμὸν] ἀποδισμὸν BM: ἀποδασμὸν Ast (qui et ἀναβαθμὸν conjecit)   πρέπουσαν non jam legitur in A   28 ἐπειδὴ addidi   29 ὅτι evan. in A

[66] αὐτῆς τῆς φύσεως τὸ θεῖόν ἐστιν δημιουργὸν, ἐξ ὕλης ἅπαν εἰδοποιοῦσα, οὐ ζητεῖ προηγουμένως ποίας ἔσχε τὰς ἀφορμὰς ἡ ὕλη καὶ ἐξ οἵων κινήσεων, ἀλλὰ πρὸς ποῖον τέλος ἐπιτηδειότητα ἔσχηκεν· οὕτω γὰρ δοκιμαζομένης κατὰ τοὺς αὐτῆς λόγους καὶ εἰδοποιοὺς ἀριθμοὺς τελεσιουργεῖται τὸ ἀποτέλεσμα· τί γὰρ εἰ τὸ σπέρμα ἐξ ἀφορμῶν ἀγαθῶν καὶ γενέσεων, αὐτὸ δὲ οὐκ ἔστιν πρὸς τὸ τέλος εὔοδον, κατά τινα τρόπον πλημμεληθέν; Ἐπεὶ οὖν ὁ μὲν Σωκράτης ποιητικοῦ λόγον ἔχει, ὁ δὲ Φαῖδρος ὑλικοῦ, εἰκότως προηγουμένως ἐζήτησε τὴν εἰς τέλος ἐπιτηδειότητα, ὡς ἂν μὴ ματαιομοχθῇ εἴ που παρά του ἐμποδίζοιτο. Πλὴν καὶ τὸ πόθεν δευτέρως ζητεῖ· οὐδὲ γὰρ τοῦτο μικρόν· οὐδὲ γὰρ <ἂν> ἐκ πυρῆνος ἄμπελος βλαστήσειε πώποτε, οὐδέ γε ἐκ γιγάρτου δάφνη, ἀλλ' ἕκαστον ἐκ τῶν ἰδίων ἀρχῶν κατὰ τὸν λόγον τῆς φύσεως.

Ἐρωτηθεὶς ὁ νέος διπλῆν τὴν ἐρώτησιν διπλῆν καὶ τὴν ἀπόκρισιν
p. 67 δέδωκε, πλὴν τὸ μὲν φαινόμενον κατὰ ζῆλον Ὁμηρικὸν σα|φηνείας χάριν χιάσας αὐτὴν (πρὸς γὰρ τὸ πόθεν ἀπήντησε... κατὰ τὸ

... οἰμωγή τε καὶ εὐχωλή...
ὀλλύντων τε καὶ ὀλλυμένων),

τὸ δὲ νοούμενον ὅτι ἐκεῖνο δὴ τὸ δεύτερον καὶ ὁ λόγος οἶδεν ἀναγκαιότερον, ὅ ἐστι τὸ ποῖ πορεύεται; διετηρήθη γοῦν ὕστερον ἵνα ὑπανοίξῃ τῇ συνουσίᾳ τοὺς λόγους· ἴδιον δὲ τοῦτο καὶ λογογράφοις, πλέον δὲ τοῖς διαλογικοῖς καὶ αὐτῷ Πλάτωνι. Ἢ ἄλλως· τοῦ πόθεν λόγον ἔχοντος ὕλης, τοῦ δὲ ποῖ εἴδους, ἐπενέγκας τῷ πόθεν τὸ ποῖ ἔδειξε τὸ εἶδος συναγωγὸν καὶ ὁριστικὸν τῆς ὕλης εἶναι. Καὶ ὁ μὲν Σωκράτης οἷα ὑψηλὸς καὶ φιλόσοφος τὸ ποῖ προηγουμένως ἐζήτησεν ὡς εἶδος, ὁ δέ γε Φαῖδρος ἀτελὴς ὢν καὶ ἔτι τῇ ῥητορείᾳ προσέχων τῇ ταῖς τῶν μερικῶν πραγμάτων ὕλαις χρωμένῃ τὸ πόθεν ὡς ὕλην προέκρινεν.

Πορεύομαι] Τριττή τις εὑρίσκεται ἡ ἀπόκρισις, ἡ μὲν ἀναγκαία, ἡ δὲ φιλάνθρωπος, ἡ δὲ περιττή· οἷον· « ποῦ ὁ Δίων; — οὐκ ἔστιν ὧδε· » ἀναγκαῖον τοῦτο· « οὐκ ἔστιν ὧδε, ἀλλ' ἐν τῇ διατριβῇ· » τοῦτο φιλάνθρωπον· « οὐκ ἔστιν ὧδε, ἀλλ' ἐν τῇ διατριβῇ ποιήσων τὸ καὶ τό· » τοῦτο περιττόν. Τὸ γοῦν πόθεν ἀναγκαίαν [καὶ] μόνην ἔσχε τὴν ἀπόκρισιν, τὸ

16 Θ 64-65

NC 1 ἅπας A¹ M¹ 2 ἀφορμᾶς a καὶ om. M 4 καὶ — 6 ἔστιν om. M B (qui in margine præbet : *deest quid*) : hæc verba in A lineam unam constituunt 4 εἰδοποιοὺς] εἰδοποιουμένους A (v. Schanz in *Hermæ* vol. XVIII p. 132) 7 τὸ πλημμεληθέν Ast, qui deesse lineam non senserat οὖν] γοῦν M λόγον] λόγου M 9 παρά του] παρ' αὐτοῦ M 10 ἂν addidi 11 γε om. M 13 ἐρωτηθείς, ἐ rubr. A, in margine stellula rubro depicta 15 χιάσας] σχίσας Ast post ἀπήντησε deesse videntur verba τὸ παρὰ Λυσίου, nisi ea mente subaudire malueris 22 ἐπενέγκας] ἐπήνεγκε M 26 ὕλην] ὕλη M (jam correxerat Ast) 27 πορεύομαι, π rubr. A : om. M ἡ om. M 31 καὶ seclusi

[67] δὲ ποῖ καὶ φιλάνθρωπον· ἐπιφέρει γὰρ « πρὸς περίπατον » (οἱονεὶ πρὸς τὸ περιπατῆσαι· ἡ δὲ λέξις σεμνὴ ὡς ὀνομαστική, σεμνυνομένου οἷον τοῦ Φαίδρου τῷ περιπάτῳ ὡς ἀνθρώπῳ ᾑρημένῳ ὑγιαίνειν καὶ σῶμα καὶ ψυχὴν πρέποντι). Τὸ δὲ περιττὸν ἀπηξίωσεν· οὐ γὰρ ἦν... πρὸς Σωκράτην ἀποκρινόμενον ἀδολεσχίας γράφεσθαι. — Ἄλλως δὲ καὶ τὴν συνουσίαν ἐντεῦθεν προδιατίθησιν· ὁ γὰρ περίπατος ἀναγκαῖον πρὸς ὁμιλίαν καὶ χάριεν· δηλοῦντος τοῦ λόγου ὡς χρεία ἐστὶν καὶ τῆς ἡμετέρας περὶ τὰ καλὰ προαιρέσεως, ἵν' ἡ καλλοποιὸς δύναμις πρὸς ἡμετέραν εὐεργεσίαν κινηθείη. Καὶ ἄλλως τὸ πόθεν ἀναίτιον ἀφῆκε, τοῦ δὲ ποῖ τὴν αἰτίαν προτίθησιν· ἐπεὶ γὰρ τέλος τῆς κατὰ τόπον κινήσεώς ἐστι τὸ ποῖ, τὸ δὲ τέλος οὗ ἕνεκα ἵνα μὴ ματαία δόξῃ ἡ κίνησις, τὸ τελικὸν προτίθησιν αἴτιον· αἰτία γὰρ πᾶσα μᾶλλον τοῦ γίνεσθαι ἢ τοῦ ἀπογίνεσθαι. Καὶ διὰ τοῦτο τὸ πόθεν ἀφῆκεν ἀναίτιον, αἰνιξάμενος κἀκεῖσε τὴν τοῦ γενέσθαι παρὰ τὸν Λυσίαν αἰτίαν κἀντεῦθεν τὴν τοῦ ἀπογενέσθαι συναινιξάμενος. Εἰπὼν γάρ· « παρὰ Λυσίου τοῦ Κεφάλου » (υἱοῦ δηλονότι· οὕτω γὰρ καὶ δίχα τοῦ ἄρθρου Ἀττικῶς), καὶ συστήσας τὸν ῥήτορα, ἔδειξε καὶ γεγονὼς παρ' ἐκεῖνον μαθήσεως χάριν ῥητορικῆς καὶ ἀπογεγονὼς ἀπ' ἐκείνου ἀνέσεως ἕνεκα.

β'. <Συχνὸν γὰρ ἐκεῖ διέτριψα χρόνον>] 227 A.

Τὸ δὲ διέτριψα συχνὸν χρόνον καὶ τὸ καθήμενος δηλοῖ ὅτι ἡ περὶ τὰ ἔνυλα στροφὴ καὶ ἡ περὶ τὸ φαινόμενον κάλλος διατριβὴ ἐπίπονός ἐστι καὶ μοχθηρά. Καὶ τὸ καθήμενος δὲ ἐνδείκνυται ὅτι οὐχ ὑψηλὴ οὐδὲ ἀναγωγὸς ἡ τούτου θεωρία, ἀλλὰ χαμαιπετὴς καὶ κοιλοτέρα καὶ ταπεινή, καὶ ὅτι κατασπᾷ καὶ καθέλκει ἀπὸ κρείττονος ζωῆς, ὡς καὶ ὁ ἐν Φαίδωνι καθήμενος Σωκράτης.

γ'. <Σῷ καὶ ἐμῷ ἑταίρῳ>] 227 A.

f° 21 r° Πῶς τὸν Ἀκουμενὸν καὶ Σωκράτους καὶ ἑαυτοῦ καλεῖ ἑταῖρον; Ἢ Σωκράτους μὲν ἑταῖρον, ὅτι ἰατροὶ ἄμφω (ὅπερ γὰρ ὁ Σωκράτης περὶ ψυχήν, τοῦτο ὁ Ἀκουμενὸς περὶ σῶμα, ἰατρικοὶ καὶ καθαρτικοὶ τῶν αὐτοῖς ὑπο-

25 *Phæd.* 60 sq. 27 τὸν — 18, 4 σώματος = schol. Plat. *Phædr.* 227 A (p. 262 vol. VI Herm.)

NC 1 ποῖ Ast : πῇ libri 2 σεμνυνομένου A et Ast : σεμνυνομένως alii libri 3 ᾑρημένῳ] εἰρημένῳ M (jam correxerat Ast) cf. 14, 20 4 desideratur adjectivum quale est καλόν vel προσῆκον 5 δὲ M : τε A 6 ἐντεῦθεν] ἐνταῦθα M προδιατίθησιν] προστίθησιν BM 10 προτίθησιν scripsi : προστίθησιν libri 11 προτίθησιν] προστίθησιν M 15 παρὰ] περὶ M 18 ἀναίσεως A ante emend. 19 lemma addidi 20 τὸ rubr. A 21 διατριβή, sed ἡ ex emend. A 22 ἐστί ex emend. A 26 lemma addidi 27 πῶς rubr. A ἑταῖρον ὁ Φαῖδρος schol. 27-28 ἢ Σωκράτους μὲν ἑταῖρον] τοῦ μὲν Σωκράτους schol. 28 ὅπερ] ὃ μὲν schol. 29 ὁ ante Ἀκουμενὸς om. M 29 ἰατρικοὶ] ἰατροὶ M ἰατρικοὶ — ὑποκειμένων om. schol.

[67] κειμένων), τοῦ δὲ Φαίδρου ἑταῖρον, ὅτι ἀμφότεροι περὶ τὸ φαινόμενον ἐπτόηνται· καὶ γὰρ ὁ Φαῖδρος περὶ τὸ φαινόμενον κάλλος τὸ ἐν τοῖς λόγοις ἐπτόηται, καὶ ὁ Ἀκουμενὸς ἰατρός ἐστι τοῦ φαινομένου, τουτέστι τοῦ σώματος (διὸ καὶ Ἀκουμενὸς, ὡς θεραπευτικὸς τοῦ σώματος). — Δρόμοι δὲ ἦσαν τόποι τινὲς ὅπου ἔτρεχον οἱ νέοι· ἐκείνων οὖν τῶν ἐν τοῖς δρόμοις γυμνασίων ἀκοπώτεροί εἰσιν οἱ περίπατοι, ὡς κατὰ σχολὴν καὶ κατὰ βραχὺ γυμνάζοντες καὶ τὰς ἀναπαύλας ἐκ τοῦ πλήσιον ἔχοντες· ὅτε γάρ τις βούλεται, δύναται καθέζεσθαι.

δ'. Ἀτὰρ Λυσίας ἦν] 227 B.

Βουλόμενος αὐτὸν ὠφελῆσαι, οὐκ ἐᾷ ἄλλο τι αὐτὸν προφασίσασθαι, p. 68 ἀλλά | φησιν ὅτι « δῆλον οὖν ὅτι Λυσίας ἦν ἐν ἄστει καὶ ἐκεῖθεν προσέχως ἔρχῃ, καὶ εἱστία ὑμᾶς, » ὥς φησιν ἑξῆς, « τοῖς λόγοις. » — Τὸ δὲ τῇ Μορυχίᾳ τῇ ἀπὸ Μορύχου τινὸς οὔσῃ λέγει. Τινὲς μὲν οὖν ἐπεχείρησαν καὶ ἀπὸ τῆς τῶν ὀνομάτων ἀναπτύξεως Ἐπικράτους καὶ Μορύχου καὶ Φαίδρου λέγειν τι, ὡς κρατουμένου τοῦ σκοτεινοῦ καὶ τοῦ ἐνύλου ὑπὸ τοῦ λαμπροῦ τοῦ Φαίδρου· ἐπειδὴ δὲ γλίσχρον εἶναι δοκεῖ, τό γε προσφυὲς μᾶλλον πᾶσι τοῖς λεγομένοις τὸ ἀπὸ τῆς ἱστορίας λάβωμεν. Ἱστορεῖται τοίνυν ὁ μὲν Λυσίας καλλιεπείᾳ τῶν καθ' αὐτὸν ὑπερενεγκεῖν, ἐρᾶν δὲ τῶν παίδων τὸν ἀκόλαστον ἔρωτα, Φαῖδρος δὲ εὐειδὴς μὲν τὸ φαινόμενον, ἐπτοημένος δὲ περὶ τὸν ἔξω ῥέοντα λόγον· ὁ δὲ Μόρυχος γάστρις τις ἄνθρωπος καὶ ἡ κωμῳδία αὐτὸν ὡς γαστρίμαργον διαβάλλει· τὸ οὖν τὸν ἀκόλαστον Λυσίαν ἐν τῇ τοῦ γαστριμάργου οἰκίᾳ παραδοῦναι μένοντα, πολλὴν ἔχει τὴν ἀκολουθίαν.

ε'. < Πλησίον τοῦ Ὀλυμπίου >] 227 B.

Πλησίον δὲ τοῦ Ὀλυμπίου σημαίνει ὅτι καὶ τὸ φαινόμενον κάλλος ἐκ τοῦ Διὸς καὶ τῶν Ὀλυμπίων θεῶν τῇ γενέσει ἐνδίδοται. — Πῶς δὲ καὶ ἀσχολίας ὑπέρτερον ὁ Σωκράτης ποιεῖται τὴν συνουσίαν μαθεῖν;

4 δρόμοι — 8 καθέζεσθαι = schol. Plat. *ibid.* 13 Μορυχίᾳ — Μορύχου = schol. 227 B (p. 262 Herm.) 20 ὁ δὲ — 21 διαβάλλει jam ediderat Ruhnken in *Tim.* p. 131 ex P 20 γάστρις cf. schol. laud. 21 ἡ κωμῳδία Aristoph. *Vesp.* 506, 1142; *Ach.* 887; *Pac.* 1008; *Telecl.* fr. 11 Kock (I 213); Plat. fr. 106 Kock (I 629); alii

NC 1 ἑταῖρον scripsi : ἑταῖρος libri : om. schol. 3 ὁ om. schol. 4-5 δρόμοι δὲ ἦσαν τόποι τινὲς] ὅτι δρόμοι τόποι τινὲς ἦσαν schol. 6 εἰσιν om. schol. 7 ἐκ τοῦ] αὐτοῦ schol. 9 ἀτὰρ, ἀ rubr. A 10 προφασίσασθαι] προφασίζεσθαι M 12 τοῖς λόγοις] fort. τῶν λόγων coll. Plat. 13 τῇ ante ἀπὸ om. M 15 τοῦ ante ἐνύλου om. M 16 ἐπειδὴ] ἐπεὶ M γε om. M 18 αὐτὸν] αὐτὰ M (jam correxerat Ast) 21 καὶ ἡ κωμῳδία αὐτὸν] ὃν καὶ ἡ κωμῳδία schol. 21 τὸ οὖν — 23 ἀκολουθίαν] ἐν τῇ τοῦ τοιούτου οὖν οἰκίᾳ τὸν ἀκόλαστον Λυσίαν προσμένειν εἰκός schol. 24 lemma addidi

[68] Ἀσχολία μὲν οὖν λέγεται ἡ περὶ τὰ ἀνθρωπικὰ πράγματα διατριβὴ καὶ < ἐπὶ > τὸν θνητὸν βίον περιολκή, σχολὴ δὲ ἡ ἀπόθεσις τῶν ἀνθρωπικῶν καὶ ἀνθολκὴ ἡ ἐπὶ τὸν νοερώτερον καὶ καθαρώτερον βίον· διὸ καὶ σχολαστικὸς λέγεται, ὥς φησι καὶ Ἀριστοτέλης... ἡ εἰς ἑαυτὸν στροφὴ καὶ ἡ ἀπόθεσις τῶν ἀνθρωπίνων. Ἐπεὶ οὖν ἐπιμελὲς ἦν τῷ Σωκράτει τῶν ψυχῶν τῶν νέων ἐπιμελεῖσθαι, διὰ τοῦτό φησι καὶ ἀσχολίας ὑπέρτερον αὐτὸ τίθεσθαι, ἀντὶ τοῦ « τῆς σῆς ὠφελείας χάριν ἡδέως κάτειμι καὶ εἰς κοιλοτέραν ζωὴν καὶ εἰς ἐξέτασιν τοῦ Λυσίου λόγου. »

Ἀτὰρ Λυσίας ἦν] Ἀκόλουθον ῥήτορι καὶ κάλλος ζητοῦντι φαινόμενον ἐν ἄστει ὄχλου πλήθοντος διάγειν. Ὡς γοῦν τεχνίτης ῥήτωρ περὶ τὴν ὕλην τὰ πολιτικὰ πράγματα ἀναστρέφεται, ὡς δὲ τὸ φαινόμενον διώκων τὸν παρὰ πολλῶν ζητεῖ ἔπαινον· οὐκ ἔστιν ἄρα τοῦτον διάγειν ἐν ἐρημίᾳ καὶ ἡσυχίᾳ ἔστ' ἂν τοιαύτης ᾖ προαιρέσεως. Ὥσπερ γὰρ τῆς τὸ νοητὸν κάλλος ζητούσης ψυχῆς τροφή τις ὡσανεὶ ἡ ἐρημία καὶ ἡσυχία γίνεται, οὕτω τῆς τῷ φαινομένῳ προσεχούσης ὁ πλήθων ὄχλος καὶ οἱ πολιτικοὶ θόρυβοι. Καὶ ὁ κατὰ ταύτην μὲν τὴν πολιτείαν ζῶν χαῦνος λέγεται παρ' Ἀριστοτέλει, οἷα ἐπὶ δήμῳ καὶ θορύβοις ἐξογκούμενος· ὁ δὲ κατ' ἐκείνην μεγαλόψυχος, ὡς περιφρονῶν μὲν τῶν τοιούτων ἐπαίνων, ζητῶν δὲ ψῆφον ἀνδρῶν ἐπ' ἀρετῇ ἀκολάκευτον. Τῆς γοῦν προτέρας πολιτείας εἰκὼν ὁ Σωκράτης ὃς ἐπεποίθει καὶ ἐκυδροῦτο τῇ τοῦ θεοῦ μαρτυρίᾳ, τῆς δὲ δευτέρας παραφθορᾶς ὁ Λυσίας ἐν ἄστει διάγων καὶ πολιτικοῖς καλινδούμενος πράγμασιν.

Ἔτι καὶ οὕτως ῥητέον· πέντε εἰσὶν αἱ γνωστικαὶ δυνάμεις τῆς ψυχῆς· νοῦς, διάνοια, δόξα, φαντασία καὶ αἴσθησις· τούτων μέσον ἡ δόξα· ἐπεὶ γὰρ ὁ νοῦς περὶ τὰ ὄντως ὄντα ἀεὶ στρέφεται καὶ οἱονεί τινι θίξει νοεῖ ὧν δύναται ἐπιλαμβάνεσθαι, ἡ δὲ διάνοια καὶ αὐτὴ περὶ τὰ ὡσαύτως ἔχοντα, f°21v° πλὴν μετά τινος λόγου καὶ ἀποδείξεως, ἔδει καὶ | τὰ ἐν γενέσει, ἃ δὴ καὶ γινόμενα καὶ ἀπογινόμενα καὶ ἄλλως ποτὲ ἔχοντά εἰσιν, ἔχειν τινὰ ἕξιν

1 ἡ — 5 ἀνθρωπίνων = schol. 227 B (p. 263 Herm.) 4 *Eth. Nicom.* X 7, 1177 *b* 22 17 *Eth. Nicom.* IV 7, 1123 *b* 9 et 2

TIT 1 ἀσχολ[ία.] σχολὴ A 23 ψυχῆ[ς δυνάμεις] A

NC 1 ἀνθρωπικὰ] ἀνθρώπινα schol. 2 ἐπὶ addidi δὲ] γὰρ schol. τῶν ἀνθρωπικῶν] τούτων schol. 3 ἡ om. schol. βίον om. schol. 4 post Ἀριστοτέλης desunt quædam (λέγεται κατὰ τὴν εἰς ἑαυτὸν στροφὴν ἡ ἀπόθεσιν τῶν ἀνθρωπίνων ὡς καὶ Ἀριστοτέλης φησί) ἑαυτὸν M : αὐτὸν A 5 ἡ om. M 8 καὶ post κάτειμι om. M 9 ἀτὰρ. ἀ rubr. A, in margine stellula rubra 10 πλήθοντος] πλήθοντι Ast : cf. 15 11 διώκων] διώκειν M (jam correxerat Ast) 12 τοῦτον] τὸν τοιοῦτον M 13 ᾖ] ἦν M 14 τροφή τις] προφῆτις M 15 τῷ φαινομένῳ] τῶν φαινομένων M (jam correxerat Ast) 16 τὴν om. $B^{1}M$ 17 θορύβοις] θορύ—βοις B : βοις M : βοαῖς Ast ἐξογκούμενος] ὀγκούμενος M 18 ἐκείνην scripsi : ἐκεῖνον libri 19 ἀκολάκευτον] ἀκολακεύτων M 21 παραφθορᾶς] παραφορᾶς BM : παραφόρου Ast 23 ἔτι, ἔ rubr. A 27 καὶ initio folii iteravit A 28 καὶ ἀπογινόμενα om. M ἕξιν] λέξιν M

[68] τὴν γνωρίζουσαν αὐτά· καὶ ἔστιν αὕτη ἡ δόξα ἥτις, ἐπεὶ ἀσυλλογίστως τῶν συμπερασμάτων ἐπιδράττεται, ἔστιν οὗ καὶ ἐπιτυγχάνει καὶ ἀποτυγχάνει· οὐδὲ γὰρ ἀεὶ καὶ ὡσαύτως ἔχει τὸ ὑποκείμενον. Ἐπεὶ γοῦν ἡ δύναμις τῆς δόξης διττὴ εὑρίσκεται, ἐπιτυγχανούσης μὲν εἰκὼν ὁ Σωκράτης αὐτῆς οἷα τῶν πραγμάτων ἐπήβολος καὶ ἀποφαντικῶς καὶ καθόλου ἀποφαινόμενος, « περὶ πάντων » λέγων « ὦ παῖ, μία ἀρχή· » καὶ νῦν δὲ « ὡς ἔοικεν » εἰπὼν τὴν δόξαν δηλοῖ [καὶ ἀληθεύσας, περὶ οὗ ἀπεφήνατο] τὴν ἐπιτυγχάνουσαν· ἀποτυγχανούσης δὲ εἰκὼν ὁ Λυσίας ἅτε τῷ φαινομένῳ προσέχων καὶ μερικῷ περὶ ὃ καὶ ἡ καθ' ὑπόληψιν ἀπάτη γίνεται. Ὅ τι οὖν [εἰκών] ἐστιν ὁ Σωκράτης τῆς δόξης, ὁ Φαῖδρος τῆς φαντασίας ἐστί, καὶ ὁ Λυσίας τῆς αἰσθήσεως· ὁ μὲν Λυσίας ἅτε ἐν ἄστει διάγων καὶ τοῖς φαινομένοις προσέχων, ὁ δὲ Φαῖδρος ἅτε καὶ ἔξω τοῦ p. 69 τείχους, τῶν | αἰσθητῶν δηλαδή, προῃρημένος ὁδεύειν, τὴν βίβλον ἐπ' ἀριστερᾶς ἔχων καὶ τὰ ἐναπομάγματα τῆς αἰσθήσεως. Ἔχομεν οὖν ἐντεῦθεν ὡς ἡ δόξα πλέον οἰκειοῦται τῇ φαντασίᾳ ἢ τῇ αἰσθήσει· ἐκ γὰρ τῆς φαντασίας καὶ λόγους λαμβάνει (πολλάκις γὰρ ἰδών τις καὶ φαντασιούμενος ἐδόξασε καὶ περὶ τοῦ προκειμένου), τῆς δὲ αἰσθήσεως καὶ πόρρω οὔσης προνοεῖ. Ὥσπερ γὰρ εἰ μὴ ἦν ὁ Λυσίας, οὐκ ἂν οἱ καλοὶ λόγοι τοῦ Σωκράτους πρὸς τὸν Φαῖδρον ἐγεγόνεισαν, οὕτως οὐδ' αἰσθήσεως οὔσης οὐκ ἂν ἡ φαντασία λόγους τῇ δόξῃ παρέπεμπε. Καὶ οὕτω μὲν εἴπερ ὁ Σωκράτης τῆς δόξης εἰκών. Εἰ δὲ ὁ Λυσίας, πάντως δέ γε τῆς διημαρτημένης, ὁ Φαῖδρος τῆς διανοίας ἂν εἴη καὶ ὁ Σωκράτης τοῦ νοῦ· ἐκεῖνος μὲν ὅτι διὰ μέσου συλλογίζεται τοῦ βιβλίου τὸ ζητούμενον καὶ ὅτι ἔξω τείχους [τῆς περὶ τὰ αἰσθητὰ ἀπάτης] πορεύεται, τὴν διέξοδον τοῦ συλλογισμοῦ καὶ τὸ δι' ἄλλου ἄλλο συμβαῖνον ὑποδηλούσης τῆς λέξεως· ὁ δὲ κἂν ὅπου ποτ' ᾖ κἂν ἐκτὸς κἂν ἐντὸς τῶν αἰσθητῶν, ὅμως πρὸς ἑαυτὸν ἐπιστρεφόμενος. Τριττὴν γοῦν κίνησιν δίδωσιν ὁ λόγος τῷ νῷ, τὴν κυκλικήν, τὴν ἑλικοειδῆ, καὶ τὴν κατ' εὐθύ· τὴν μὲν κυκλικὴν ὅτε πρὸς ἑαυτὸν καθ' ἑαυτὸν ἐπιστρέφεται καὶ ἀκροθιγῶς τῶν ὑποκειμένων ἐπιδράττεται ὥσπερ κύκλος ἐπίπεδος· ὡς γὰρ ἐκεῖνος κατὰ πλείονα ἢ ἓν σημεῖον οὐκ ἂν ἅψεται, οὕτω νοῦς πρὸς ἑαυτὸν ἐπιστρεφόμενος οὐκ ἂν τοῖς πολιτικοῖς καλινδηθήσεται πράγμασιν· ἑλικοειδῆ δὲ ὅτε τῇ διανοίᾳ

6 237 B

TIT 27 τρ]ιττὴ τοῦ νοῦ [κι]νησις A

NC 1 γνωρίζουσαν] γνωρίζουσα a 2 οὗ ex οὖν A : οὖν M (jam correxerat Ast) 4 μὲν evan. in A 7 καὶ — 8 ἀπεφήνατο seclusi, nisi post εἰπὼν reportare hæc verba malueris 8 ἅτε] οὔτε M 10 ὅ τι scripsi : ὅ τε libri εἰκών seclusi 17 δὲ om. M 19 ἐγεγόνεισαν sic libri 20 τῇ δόξῃ λόγους M 21 τῆς post Σωκράτης om. M 23 διὰ τοῦ μέσου M 24 τῆς — ἀπάτης seclusi (nisi addere τουτέστιν malueris) 26 ᾖ ex εἰ A (?) πρὸς] περὶ M 27 αὐτόν M γοῦν] οὖν M 29-30 ἐπιστρέφηται et ἐπιδράττηται A 30 ἐπίπεδος scripsi : ἐπιπέδου A : ἐπὶ πέδου M 31 ἅψεται scripsi : ἅψηται libri (cf. 32)

[69] ἐφίησι καὶ ταύτην ἀνάγει πρὸς τὴν ἀληθῆ ἕξιν ὡς ὁ Σωκράτης τὸν Φαῖδρον· εὐθυφοροὐμενος γὰρ συντόμως πρὸς ἑαυτὸν ἐπιστρέφεται· κατ' εὐθὺ δὲ ὅτε συνάγει καὶ τὴν δόξαν οὐ πρὸς ἐκείνην ἀλλὰ περὶ τὰ ἐκείνης ἀναστρεφόμενος, ὥσπερ ἐνταῦθα ὁ Σωκράτης περὶ Λυσίου λέγει κινῶν τοὺς λόγους αὐτοῦ καὶ τὰ ἀσυλλόγιστα συμπεράσματα ἐπὶ τῆς διανοίας, ὡς ἐνταῦθα ἐπὶ τοῦ Φαίδρου, ἵνα ταῖς ἀμέσοις προτάσεσι πρὸς ἃς ὁ νοῦς ἀφορᾷ χρήσηται ἡ διάνοια πρὸς τὸ τῆς δόξης συμπέρασμα καὶ γνωσθῇ εἰ καλῶς ἢ καὶ ἠπατημένως δεδόξακε.

ϛ'. Καὶ μὴν ὦ Σώκρατες] 227 C.

Ὁ γὰρ Σωκράτης τρία ταῦτα ὡμολόγει εἰδέναι· τὴν ἐρωτικὴν τέχνην ὡς καὶ ἐν Συμποσίῳ λέγει περὶ τῆς Διοτίμας· « ἥτις με ἐδίδαξε τὰ ἐρωτικά· » τὴν μαιευτικὴν ὡς ἐν Θεαιτήτῳ· « μαιεύεσθαί με ὁ θεὸς ἐκέλευσε· » τὴν διαλεκτικὴν ὡς ἐν Κρατύλῳ· « ἐγὼ γάρ » φησὶν « οὐδὲν οἶδα πλὴν δοῦναι λόγον καὶ λαβεῖν. » Δι' ὧν τριῶν ἐπιστημῶν ὠφελεῖ τοὺς νέους.

ζ'. <Οὐκ οἶδ' ὅντινα τρόπον>] 227 C.

Τὸ οὐκ οἶδα ὅντινα τρόπον ἐρωτικός· ἐπειδὴ γέγραπτο τῷ Λυσίᾳ δεῖν χαρίζεσθαι μὴ ἐραστῇ, κατὰ τοῦτο οὖν οὐκ ἐρωτικός· καθὸ δὲ πεπλασμένως γέγραπτο καὶ καθὸ ὅλως περὶ ἐρωμένου ἦν, ἐρωτικός. — Ἢ καὶ τὸ οὐκ οἶδ' ὅπως, ἐπειδὴ ὁ περὶ τὸ φαινόμενον κάλλος ἔρως οὐ κυρίως ἐστὶν ἔρως. — Τὸ δὲ πειρώμενον παθητικῶς ἀκουστέον ἀντὶ τοῦ πειραζόμενον παρά τινος, τουτέστι προσπαιζόμενον καὶ προσβαλλόμενον. — Τὸ δὲ κεκόμψευται, ὅτι πάντα τὰ ἔνυλα κομψὰ καὶ ἀπατηλά.

Ἀνακτέον τὸ περὶ τοῦ λόγου εἰς αὐτὸν περὶ οὗ ὁ λόγος τὸν ἔρωτα, καὶ τοῦτον τὸν ὑψηλόν τε καὶ ἀναγωγόν, ἢ καὶ τὸν ἕτερον· ἔμφυτον γὰρ τὸ τοιοῦτον πάθος ψυχῇ κρυπτὰς τὰς αἰτίας ἔχον πῶς ἐφέλκεται, πῶς διεγείρει τὸ ἐπιθυμητικὸν δηλοῖ τοῦτο καὶ Πίνδαρος εἰπών·

f°22r° ...κρυπταὶ κλαΐδες εἰσὶ σοφᾶς Πειθοῦς | ἱερῶν φιλοτήτων,
...καὶ ἔν τε θεοῖς τοῦτο κἀνθρώποις ὁμῶς,

διὰ τούτων καὶ τὸν θεῖον καὶ τὸν αἰσχρὸν περιλαμβάνων ἔρωτα.

11 *Convio*. 201 D (ἣ δὴ καὶ ἐμὲ τὰ ἐρωτικὰ ἐδίδαξεν) 12 *Theæt*. 150 C 13 an *Protag*. 336 C ? 21 πειρώμενον — 23 ἀπατηλά = schol. 227 C (p. 263 Herm.) 27 *Pyth*. IX 68-69 (39-40 Bergk)

NC 1 ἀνάγη A τὸν om. M 3 περὶ τὰ] τὰ περὶ M 5 αὐτοῦ Ast; αὐτῆς libri 9 καί, κ rubr. A 11 καὶ om. M 13 ἐκέλευσε] ἀναγκάζει Plat. 14 δοῦναι] διδόναι M 16 lemma addidi 17 τό rubr. A τὸ... ἐρωτικός om. M γέγραπτο] γέγραπται M 19 πεπλασμένως] πεπλασμένος M γέγραπτο] ἐγέγραπτο M 19-20 ἐρωτικός. ἢ] ἐρωτικὸς ἦν M 20 τὸ ante οὐκ om. M 21 κυρίως scripsi : κύριος libri 22 προσπαιζόμενον] προσπιεζόμενον Ast 24 ἀνακτέον, ἀ rubr. A : in margine stellula rubra 26 τῇ ψυχῇ M 28 ἐντί et ἱερᾶν φιλοτάτων Ast ex Pindaro 29 δ' ἀνθρώποις libri

[68] τὴν γνωρίζουσαν αὐτά· καὶ ἔστιν αὕτη ἡ δόξα ἥτις, ἐπεὶ ἀσυλλογίστως τῶν συμπερασμάτων ἐπιδράττεται, ἔστιν οὗ καὶ ἐπιτυγχάνει καὶ ἀποτυγχάνει· οὐδὲ γὰρ ἀεὶ καὶ ὡσαύτως ἔχει τὸ ὑποκείμενον. Ἐπεὶ γοῦν ἡ δύναμις τῆς δόξης διττὴ εὑρίσκεται, ἐπιτυγχανούσης μὲν εἰκὼν ὁ Σωκράτης αὐτῆς οἷα τῶν πραγμάτων ἐπήβολος καὶ ἀποφαντικῶς καὶ καθόλου ἀποφαινόμενος, « περὶ πάντων » λέγων « ὦ παῖ, μία ἀρχή· » καὶ νῦν δὲ « ὡς ἔοικεν » εἰπὼν τὴν δόξαν δηλοῖ [καὶ ἀληθεύσας, περὶ οὗ ἀπεφήνατο] τὴν ἐπιτυγχάνουσαν· ἀποτυγχανούσης δὲ εἰκὼν ὁ Λυσίας ἅτε τῷ φαινομένῳ προσέχων καὶ μερικῷ περὶ ὃ καὶ ἡ καθ' ὑπόληψιν ἀπάτη γίνεται. Ὅ τι οὖν [εἰκών] ἐστιν ὁ Σωκράτης τῆς δόξης, ὁ Φαῖδρος τῆς φαντασίας ἐστὶ, καὶ ὁ Λυσίας τῆς αἰσθήσεως· ὁ μὲν Λυσίας ἅτε ἐν ἄστει διάγων καὶ τοῖς φαινομένοις προσέχων, ὁ δὲ Φαῖδρος ἅτε καὶ ἔξω τοῦ
p. 69 τείχους, τῶν | αἰσθητῶν δηλαδὴ, προῃρημένος ὁδεύειν, τὴν βίβλον ἐπ' ἀριστερᾶς ἔχων καὶ τὰ ἐναπομάγματα τῆς αἰσθήσεως. Ἔχομεν οὖν ἐντεῦθεν ὡς ἡ δόξα πλέον οἰκειοῦται τῇ φαντασίᾳ ἢ τῇ αἰσθήσει· ἐκ γὰρ τῆς φαντασίας καὶ λόγους λαμβάνει (πολλάκις γὰρ ἰδών τις καὶ φαντασιούμενος ἐδόξασε καὶ περὶ τοῦ προκειμένου), τῆς δὲ αἰσθήσεως καὶ πόρρω οὔσης προνοεῖ. Ὥσπερ γὰρ εἰ μὴ ἦν ὁ Λυσίας, οὐκ ἂν οἱ καλοὶ λόγοι τοῦ Σωκράτους πρὸς τὸν Φαῖδρον ἐγεγόνεισαν, οὕτως οὐδ' αἰσθήσεως οὔσης οὐκ ἂν ἡ φαντασία λόγους τῇ δόξῃ παρέπεμπε. Καὶ οὕτω μὲν εἴπερ ὁ Σωκράτης τῆς δόξης εἰκών. Εἰ δὲ ὁ Λυσίας, πάντως δέ γε τῆς διημαρτημένης, ὁ Φαῖδρος τῆς διανοίας ἂν εἴη καὶ ὁ Σωκράτης τοῦ νοῦ· ἐκεῖνος μὲν ὅτι διὰ μέσου συλλογίζεται τοῦ βιβλίου τὸ ζητούμενον καὶ ὅτι ἔξω τείχους [τῆς περὶ τὰ αἰσθητὰ ἀπάτης] πορεύεται, τὴν διέξοδον τοῦ συλλογισμοῦ καὶ τὸ δι' ἄλλου ἄλλο συμβαῖνον ὑποδηλούσης τῆς λέξεως· ὃ δὲ κἂν ὅπου ποτ' ᾖ κἂν ἐκτὸς κἂν ἐντὸς τῶν αἰσθητῶν, ὅμως πρὸς ἑαυτὸν ἐπιστρεφόμενος. Τριττὴν γοῦν κίνησιν δίδωσιν ὁ λόγος τῷ νῷ, τὴν κυκλικὴν, τὴν ἑλικοειδῆ, καὶ τὴν κατ' εὐθύ· τὴν μὲν κυκλικὴν ὅτε πρὸς ἑαυτὸν καθ' ἑαυτὸν ἐπιστρέφεται καὶ ἀκροθιγῶς τῶν ὑποκειμένων ἐπιδράττεται ὥσπερ κύκλος ἐπίπεδος· ὡς γὰρ ἐκεῖνος κατὰ πλείονα ἢ ἓν σημεῖον οὐκ ἂν ἅψεται, οὕτω νοῦς πρὸς ἑαυτὸν ἐπιστρεφόμενος οὐκ ἂν τοῖς πολιτικοῖς καλινδηθήσεται πράγμασιν· ἑλικοειδῆ δὲ ὅτε τῇ διανοίᾳ

6 237 B

TIT 27 τρ]ιττὴ τοῦ νοῦ [κι]νησις A

NC 1 γνωρίζουσαν] γνωρίζουσα a 2 οὗ ex οὖν A : οὖν M (jam correxerat Asr) 4 μὲν evan. in A 7 καὶ — 8 ἀπεφήνατο seclusi, nisi post εἰπὼν reportare hæc verba malueris 8 ἅτε] οὔτε M 10 ὅ τι scripsi : ὅ τε libri εἰκών seclusi 17 δὲ om. M 19 ἐγεγόνεισαν sic libri 20 τῇ δόξῃ λόγους M 21 τῆς post Σωκράτης om. M 23 διὰ τοῦ μέσου M 24 τῆς — ἀπάτης seclusi (nisi addere τουτέστιν malueris) 26 ᾖ ex εἰ A (?) πρὸς] περὶ M 27 αὐτόν M γοῦν] οὖν M 29-30 ἐπιστρέφηται et ἐπιδράττηται A 30 ἐπίπεδος scripsi : ἐπιπέδου A : ἐπὶ πέδου M 31 ἅψεται scripsi : ἅψηται libri (cf. 32)

[69] ἐφίησι καὶ ταύτην ἀνάγει πρὸς τὴν ἀληθῆ ἕξιν ὡς ὁ Σωκράτης τὸν Φαῖδρον· εὐθυφορούμενος γὰρ συντόμως πρὸς ἑαυτὸν ἐπιστρέφεται· κατ' εὐθὺ δὲ ὅτε συνάγει καὶ τὴν δόξαν οὐ πρὸς ἐκείνην ἀλλὰ περὶ τὰ ἐκείνης ἀναστρεφόμενος, ὥσπερ ἐνταῦθα ὁ Σωκράτης περὶ Λυσίου λέγει κινῶν τοὺς λόγους αὐτοῦ καὶ τὰ ἀσυλλόγιστα συμπεράσματα ἐπὶ τῆς διανοίας, ὡς ἐνταῦθα ἐπὶ τοῦ Φαίδρου, ἵνα ταῖς ἀμέσοις προτάσεσι πρὸς ἃς ὁ νοῦς ἀφορᾷ χρήσηται ἡ διάνοια πρὸς τὸ τῆς δόξης συμπέρασμα καὶ γνωσθῇ εἰ καλῶς ἢ καὶ ἠπατημένως δεδόξακε.

ϛʹ. Καὶ μὴν ὦ Σώκρατες] 227 C.

Ὁ γὰρ Σωκράτης τρία ταῦτα ὡμολόγει εἰδέναι· τὴν ἐρωτικὴν τέχνην ὡς καὶ ἐν Συμποσίῳ λέγει περὶ τῆς Διοτίμας· « ἥτις με ἐδίδαξε τὰ ἐρωτικά· » τὴν μαιευτικὴν ὡς ἐν Θεαιτήτῳ· « μαιεύεσθαί με ὁ θεὸς ἐκέλευσε· » τὴν διαλεκτικὴν ὡς ἐν Κρατύλῳ· « ἐγὼ γάρ » φησὶν « οὐδὲν οἶδα πλὴν δοῦναι λόγον καὶ λαβεῖν. » Δι' ὧν τριῶν ἐπιστημῶν ὠφελεῖ τοὺς νέους.

ζʹ. <Οὐκ οἶδ' ὅντινα τρόπον>] 227 C.

Τὸ οὐκ οἶδα ὅντινα τρόπον ἐρωτικός· ἐπειδὴ γέγραπτο τῷ Λυσίᾳ δεῖν χαρίζεσθαι μὴ ἐραστῇ, κατὰ τοῦτο οὖν οὐκ ἐρωτικός· καθὸ δὲ πεπλασμένως γέγραπτο καὶ καθὸ ὅλως περὶ ἐρωμένου ἦν, ἐρωτικός. — Ἢ καὶ τὸ οὐκ οἶδ' ὅπως, ἐπειδὴ ὁ περὶ τὸ φαινόμενον κάλλος ἔρως οὐ κυρίως ἐστὶν ἔρως. — Τὸ δὲ πειρώμενον παθητικῶς ἀκουστέον ἀντὶ τοῦ πειραζόμενον παρά τινος, τουτέστι προσπαιζόμενον καὶ προσβαλλόμενον. — Τὸ δὲ κεκόμψευται, ὅτι πάντα τὰ ἔνυλα κομψὰ καὶ ἀπατηλά.

Ἀνακτέον τὸ περὶ τοῦ λόγου εἰς αὐτὸν περὶ οὗ ὁ λόγος τὸν ἔρωτα, καὶ τοῦτον τὸν ὑψηλόν τε καὶ ἀναγωγόν, ἢ καὶ τὸν ἕτερον· ἔμφυτον γὰρ τὸ τοιοῦτον πάθος ψυχῇ κρυπτὰς τὰς αἰτίας ἔχον πῶς ἐφέλκεται, πῶς διεγείρει τὸ ἐπιθυμητικὸν δηλοῖ τοῦτο καὶ Πίνδαρος εἰπών·

f°22r° ...κρυπταὶ κλαΐδες εἰσὶ σοφᾶς Πειθοῦς | ἱερῶν φιλοτήτων,
...καὶ ἔν τε θεοῖς τοῦτο κἀνθρώποις ὁμῶς,

διὰ τούτων καὶ τὸν θεῖον καὶ τὸν αἰσχρὸν περιλαμβάνων ἔρωτα.

11 *Convio*. 201 D (ἣ δὴ καὶ ἐμὲ τὰ ἐρωτικὰ ἐδίδαξεν) 12 *Theaet*. 150 C 13 an *Protag*. 336 C ? 21 πειρώμενον — 23 ἀπατηλά = schol. 227 C (p. 263 Herm.) 27 *Pyth*. IX 68-69 (39-40 Bergk)

NC 1 ἀνάγη A τὸν om. M 3 περὶ τὰ] τὰ περὶ M 5 αὐτοῦ Ast; αὐτῆς libri 9 καί, κ rubr. A 11 καὶ om. M 13 ἐκέλευσε] ἀναγκάζει Plat. 14 δοῦναι] διδόναι M 16 lemma addidi 17 τό rubr. A τὸ... ἐρωτικός om. M γέγραπτο] γέγραπται M 19 πεπλασμένως] πεπλασμένος M γέγραπτο] ἐγέγραπτο M 19-20 ἐρωτικός. ἢ] ἐρωτικὸς ἦν M 20 τὸ ante οὐκ om. M 21 κυρίως scripsi : κύριος libri 22 προσπαιζόμενον] προσπιεζόμενον Ast 24 ἀνακτέον, ἀ rubr. A : in margine stellula rubra 26 τῇ ψυχῇ M 28 ἐντί et ἱερᾶν φιλοτάτων Ast ex Pindaro 29 δ' ἀνθρώποις libri

[69] **Προσήκουσά γέ σοι]** ἰδίως μὲν αὕτη τῷ Σωκράτει προσήκουσα ὡς ἐρωτικῷ, κοινῶς δὲ καὶ πᾶσά τις ἑτέρα λογικὴ ἀκοή· τροφὴ γὰρ τῆς ψυχῆς οἱ λόγοι. Ὡς γοῦν ἰατρῷ προσήκουσιν αἱ τροφαὶ εἰς κρίσιν τίνες τε βλα-
p. 70 βεραὶ | καὶ τίνες ὠφέλιμοι, οὕτω καὶ τῷ τῶν ψυχῶν ἰατρῷ Σωκράτει ἡ τῶν λόγων ἀκοὴ τίνες ἀληθεῖς καὶ τίνες ἀπατηλοί, τίνες ἀναγωγοὶ τῆς ψυχῆς καὶ τίνες καταγωγοί. Τί δέ; οὐχὶ καὶ ἡμεῖς ἀφ' ἑαυτῶν τοὺς ἀγαθοὺς οἴδαμεν, ὅπου γε καὶ τὰ ἄλογα ζῷα οἴδασιν ἀφ' ἑαυτῶν οὐ μόνον τίνες αἱ βλαβεραὶ βοτάναι καὶ τίνες αἱ ὠφέλιμοι, ἀλλὰ καὶ ποία ποίῳ πάθει καὶ ποίᾳ διαθέσει καὶ καθ' ὃν καιρὸν χρήσιμος; Ἢ ἐπ' ἐκείνοις κρίσις λόγου οὐκ ἔστι, μόνη δὲ ὁρμὴ φυσικὴ ἄλογος οἰκονομοῦσα τὸ συμφέρον τοῖς ζῴοις, ἐφ' ἡμῖν δὲ λόγος καὶ κρίσις· ὅπου δὲ κρίσις, ἐκεῖ καὶ ἀπάτη καὶ διαμαρτία τοῦ ὠφελίμου. Τίνες γοῦν ἔμελλον ἐπανάγειν τοὺς ἠπατημένους (οὐ γὰρ αὐτοὶ ἑαυτούς), εἰ μὴ οἱ καλῶς ἔχοντες καὶ τῶν τοιούτων ἐπιστήμονες; Νοῦς δὲ νοῒ καὶ λόγος λόγῳ ἐνδιάθετος ἐνδιαθέτῳ πῶς ἐμίγνυτο ἂν τόσης οὔσης παχύτητος; Διὰ τοῦτο λόγος ἐδόθη ὁ προφορικός· καθ' ὃν τρόπον καὶ ἡ τῶν παρόντων λόγων ἀκοὴ τῷ Σωκράτει προσήκουσα.

η'. **Ὦ γενναῖος]** 227 C.

Ἐπειδὴ παράδοξος ἦν ἡ ὑπόθεσις, ὅτι δεῖ μὴ ἐρῶντι χαρίζεσθαι ἢ ἐρῶντι (τί γὰρ καὶ δεῖται ὁ μὴ ἐρῶν ἵνα αὐτῷ χαρίζηται;) διὰ τοῦτο λέγει ὁ Σωκράτης· « εἰ ὅλως θέλει παραδόξοις ὑποθέσεσιν ἅμα καὶ κοινωφελέσιν ἐγχειρεῖν, γραφέτω μᾶλλον ὡς χρὴ πένητι χαρίζεσθαι ἢ πλουσίῳ· παράδοξον γὰρ καὶ τοῦτο. Νομίζουσι γὰρ τοῖς πλουσίοις μᾶλλον δεῖν χαρίζεσθαι ἤπερ τοῖς πένησι. Πάλιν ἐπειδὴ εὐκαταφρονητότερον τοῦ νέου ὁ πρεσβύτης, διὰ τοῦτο τὸ παράδοξον ἔδει γράφειν ὡς πρεσβυτέρῳ χαριστέον μᾶλλον ἢ νεωτέρῳ, τουτέστιν ὅσα ἐμοὶ τῷ Σωκράτει ὑπάρχει. Καὶ γὰρ πένης εἰμὶ καὶ πρεσβύτης· καὶ οὕτως ἂν ὠφέλησε μᾶλλον ἡ παράδοξος ὑπόθεσις εἰ ἐμοὶ τοὺς νέους ἐπέτρεψεν, ὃς καὶ πένης εἰμὶ καὶ πρεσβύτης. Καὶ οὕτως δὲ ἐπειδὴ οἱ πλούσιοι ὑβριστότεροί εἰσι τῶν πενήτων καὶ οἱ νέοι τῶν πρεσβυτέρων, ἐὰν γράψῃ μήτε τοῖς πλουσίοις χαρίζεσθαι μήτε τοῖς νέοις, οἳ καὶ ὑβριστότεροί εἰσιν, ἀλλὰ μᾶλλον τοῖς πένησι καὶ πρεσβυτέροις, οἳ καὶ σωφρονέστεροί εἰσι, μᾶλλον [γὰρ] ἂν ὠφέλησε τὴν πόλιν καὶ τοὺς νέους. »

Εἴθε] Ὁ μὲν Σωκράτης διασύρων λέγει τοῦτο ὡσανεὶ καὶ τούτων ὄντων τοιούτων παραδόξων· οὐ δοκεῖ δὲ τὰ τοιαῦτα πρὸς τὴν θέσιν τοῦ Λυσίου ἐξισάζειν· ὁ γὰρ Λυσίας τῷ μὲν μὴ ἐρῶντι λέγει χαρίζεσθαι ὡς δῆθεν

TIT 3 ἀπορία. λύσις A

NC 1 Προσήκουσα, π rubr. A : in margine stellula rubra μέν om. M 8 αἱ ante ὠφέλιμοι om. M ποία] ποῖα M 9 χρήσιμος] χρήσιμοι M κρίσις λόγου : fort. κρίσις λογική vel κρίσις <μετὰ> λόγου 17 ὦ rubr. A (ὦ Plat.) 19 χαρίζηται] χαρίσηται M 21 ἐγχειρεῖν] ἐγχερεῖν M 22 δεῖν] δεῖ M 27 ἐπέτρεψεν] ἐπιτρέψειε M 29 γράψῃ M : γράψαι A 31 γὰρ seclusi 32 εἴθε, εἴ rubr. A : εἴθεν M

[70] ἀπαθεῖ καὶ σωφρονοῦντι, τῷ δὲ ἐρῶντι μὴ χαρίζεσθαι ὡς ἐμπαθεῖ καὶ μαινομένῳ· τὸ δὲ παρὰ τοῦ Σωκράτους ἐπαγόμενον οὐχ οὕτως ἔχει, ἀλλὰ τῷ παντὶ διαφέρει. Τὸ γὰρ τῷ πλουσίῳ ἢ τῷ νέῳ χαρίζεσθαι, ὅπερ αὐτῷ δοκεῖ ἔνδοξον, πάγκακόν ἐστιν, ἅτε τῷ μὲν δυναμένῳ, τῷ δὲ βουλομένῳ εἰς ἅπαν ἀτάσθαλον· καὶ ὁ χαριζόμενος τούτοις οὐδὲν ἄλλο ἢ ὅλην ἐφίησι τὴν ἡνίαν αὐτοῖς· ὥστε βέλτιόν ἐστι τὸ τῷ πένητι καὶ τῷ πρεσβυτέρῳ μᾶλλον χαρίζεσθαι. Ἢ ῥητέον πρὸς ταῦτα ὡς κανὼν διαλεκτικός ἐστιν, ὥστε ἀπὸ τῶν αὐτῶν δοξῶν τοὺς προσδιαλεγομένους ἰσχυρίζεσθαι, ἢ ἀπὸ τῶν τοῖς σοφοῖς δοκούντων ἢ ἀπὸ τῶν τοῖς πολλοῖς, εἴπερ οὐκ ἐριστικῶς ἀλλὰ γυμναστικῶς μέλλουσι ποιεῖσθαι τοὺς λόγους. Ἐπεὶ γοῦν ὁ τοῦ Λυσίου λόγος ὑπενάντιος πρὸς τὸ δοκοῦν τοῖς πολλοῖς φαίνεται, τίθησι καὶ ὁ Σωκράτης τοιαῦτα ἃ καὶ αὐτὰ ὑπενάντια τῇ δόξῃ τῶν πολλῶν φαίνεται· δόξα δὲ τῶν πολλῶν, ὥσπερ ἐκεῖ τὸ τῷ ἐρῶντι χαρίζεσθαι, οὕτως ἐνταῦθα τὸ τῷ πλουσίῳ καὶ τῷ νέῳ· ὥστε πρὸς τὴν κοινὴν δόξαν ὁ Σωκράτης ἀποτεινόμενος, καὶ τὸ αἱρετὸν σκοπῶν, οὐ τὸ λυσιτελὲς, ταῦτα τίθησιν. — Ἢ καὶ ἄλλως· πρὸς τὸ χαρίζεσθαί ἐστι πᾶσα ἡ τοῦ λόγου δύναμις·

χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί·

καὶ ἡ παροιμία τὸ τοῖς ἀχαρίστοις χαρίζεσθαι ἴσα καὶ τὸ τὸν νεκρὸν μυρίζειν τίθησιν. Ἐπεὶ οὖν ὁ μὲν πένης χαριζόμενος οὐκ ἂν ἀντιχαρίσειε πώποτε (οὐ δύναται γὰρ, εἰ καὶ αἱρεῖται πολλάκις), καὶ ὁ πρεσβύτης ὁμοίως (οὐ βούλεται γὰρ, εἰ καὶ πολλάκις δύναται), διὰ τοῦτο,
f° 22 v° ὥσπερ | παρὰ τῷ Λυσίᾳ χωλεύει τὸ χαρίζεσθαι μὴ εἰς τὸν ἐρῶντα γινόμενον ἀλλ' εἰς τὸν μὴ ἐρῶντα, ὅπου γε οὐκ ἔστιν ἡ ἀντίχαρις, οὕτω καὶ παρὰ τῷ Σωκράτει ἀργὸν τὸ χαρίζεσθαι εἴπερ εἰς πένητα ἢ πρεσβύτην γίνεται, τὸν μὲν οὐ δυνάμενον ἀντιχαρίζεσθαι, τὸν δὲ οὐ βουλό | μενον. Διὰ τί δὲ ὁ πρεσβύτης οὐ βούλεται ἀντιχαρίζεσθαι; Ἢ δῆλον ὡς μὴ ἔχων ἔμπυρον καὶ ἡβῶσαν διάθεσιν· ἐπεὶ γὰρ ἀπὸ τῆς ἐμφύτου θερμότητος ἡ ἀγαπητικὴ διάθεσις τὰς ἀφορμὰς ἔχει, εἰκότως ἐκλελοιπυίας ἐκείνης συστέλλεται καὶ ἡ τοῦ πρεσβύτου διάθεσις καὶ περὶ αὐτὸν σχολάζουσα φίλαυτον μόνον ἀποκαθίστησι καὶ φιλόζωον. Οὐκ ἐτὸς γὰρ καὶ ὁ παρὰ τῷ Εὐριπίδῃ Ταλθύβιός φησι·

17 Soph. *Ai.* 522 18 cf. Apostol. IV 68 *a* (Leutsch II 323, 15) ἀχάριστον εὐεργετεῖν καὶ νεκρὸν μυρίζειν ἐνὶ σύγκειται; XII 3 (542, 7) νεκρὸν μυρίζεις· ἐπὶ τῶν ἀδυνάτων. Pro ἐνὶ σύγκειται lege cum Joh. Damasc. II 33 (Stob. Mein. IV 187) ἐν ἴσῳ κεῖται 30 οὐκ — 24, 2 ἔχρηζον jam edid. Ruhnk. ad *Tim.* p. 200 ex P 31 *Hec.* 497-98 γέρων μέν εἰμ', ὅμως δέ μοι θανεῖν | εἴη

NC 1-2 μαινομένῳ] μαργωμένῳ M : μαργομένῳ B¹ 3 τὸ γὰρ τῷ] τῷ γάρ M 5 εἰς om. M ἐφίησι] ἀφίησι BM 6 τῷ ante πρεσβυτέρῳ om. M 9-10 ἐριστικοὺς καὶ γυμναστικοὺς M 11 ὑπεναντίος] ἐναντίος M 13 τῷ ante ἐρῶντι om. M 17 γὰρ χάριν BM τίκτουσα BM 18 καὶ τὸ] τῷ M 20 αἱρεῖται] ἐρεῖται M : πειρᾶται coni. Ast εἰ om. M 27 τὴν διάθεσιν M 29 ante αὐτὸν litt. deleta in A

[71] Γέρων μέν εἰμι, ἀλλ' ὅμως θανεῖν
ἔχρῃζον·

τὸ γὰρ ὅμως ἐναντιωτικὸν ὂν παρίστησι τὸν Ταλθύβιον πολλοῦ τὴν ζωὴν τιμώμενον, ὅσα καὶ φίλαυτον γέροντα· ἐπεὶ ἄλλως νέος ἂν εἶπε τὸν λόγον· « νέος μέν εἰμι φιλοζωῶν, ἀλλ' ὅμως θανεῖν ἔχρῃζον. » Καὶ ἔτι τοῦτο ἠπόρησα, πῶς οὐ λέγομεν « οὐ δύναται ὁ πρεσβύτης ἀντιχαρίζεσθαι, » ἀλλ' « οὐ βούλεται. » Ἦ δῆλον <ὅτι> διττὴ ἡ βούλησις ὥσπερ δὴ καὶ ἡ δύναμις. Ὡς γὰρ αὕτη ἡ μέν ἐστιν ἐπαμφοτερίζουσα καὶ συνάγεται τῷ ἐνδεχομένῳ, ὡς τὸ « οὐ δύναμαι φαγεῖν », ἡ δὲ πρὸς τὸ ἀναγκαῖον ἀποτείνεται ὡς τὸ « οὐ δύναται ἡ γῆ ἄνω γενέσθαι », οὕτω καὶ ἡ βούλησις ἡ μὲν φυσική, ἥτις καὶ ἀνωτέρα πάσης προαιρέσεώς ἐστιν, ἅτε ζωτικὴ δύναμις εἰς τοῦτο ἐφελκομένη τὸ ζῷον εἰς ὃ ὀρεκτικῶς ἔχει καὶ οὗ τὸ ἐναντίον παντάπασιν ἀποτρέπεται, καθὸ καὶ λέλεκται

λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει,

ὡς τὸ « βουλόμεθα ζῆν »· ὁ γὰρ λέγων <ὡς> βούλεται θανεῖν λόγοισι χαίρει· ἡ δέ ἐστι μετὰ τὴν προαίρεσιν ἅτε κρίσεως μεσολαβησάσης <ὡς τὸ> « βουλόμεθα τοῦτο ἢ τοῦτο, βούλομαι περιπατῆσαι ». Εἰκότως τοίνυν, ὥσπερ τὸν πένητα οὐ δύνασθαι λέγοντες χαρίζεσθαι καὶ τὰς διττὰς δυνάμεις ἀναιροῦμεν, μὴ μόνον τὴν ἐπαμφοτερίζουσαν, οὕτω καὶ τὸν πρεσβύτην οὐ βούλεσθαι λέγοντες μὴ μόνον τὴν ἐπαμφοτερίζουσαν ἀναιροῦμεν βούλησιν, ἀλλὰ καὶ αὐτὴν τὴν φυσικήν, ἥτις καὶ δύναμίς ἐστι ζωτικὴ παρορμῶσα τὸ ζῷον εἰς ὃ καὶ πέφυκεν.

θ'. <Ἔγωγ' οὖν οὕτως ἐπιτεθύμηκα>] 227 D.

Ἐπιθυμεῖ Σωκράτης ἀκοῦσαι, ὅτι σφόδρα ἐρωτικῶς ἔχει θεοειδῶς ἐνεργῆσαι καὶ σῶσαι τὸν νέον. — Ὁ δὲ Ἡρόδικος ὁ Σηλυμβριανὸς ἰατρὸς ἦν καὶ τὰ γυμνάσια ἔξω τείχους ἐποιεῖτο, ἀρχόμενος ἀπό τινος διαστήματος οὐ μακροῦ ἀλλὰ συμμέτρου ἄχρι τοῦ τείχους, καὶ ἀναστρέφων, καὶ τοῦτο πολλάκις ποιῶν ἐγυμνάζετο. « Ὅπερ οὖν ὁ Ἡρόδικος ἐποίει ἔξω τοῦ τείχους, ἐὰν σὺ τοῦτο ἄχρι Μεγάρων πολλάκις ποιῇς, οὐ μή σου ἀπολειφθῶ. »

14 Eur. *Phœn.* 361 25 Ἡρόδικος — 27 ἀναστρέφων = schol. 227 D (p. 263 Herm.)

TIT 7 [διττὴ] ἡ βούλησις A

NC 3 ἐναντιωτικὸν A[a] ἐναντιωματικὸν M Θαλθύβιον A[1] 5 μέν] γάρ M 6 ἔτι scripsi : εἰ libri πῶς οὐ] πῶς οὖν οὐ M ἀντιχαρίζεσθαι] χαρίζεσθαι M 7 ὅτι addidi 11 ἅτε] καὶ M 15 βούλεται libri : βούλομαι Ast ; ὡς addidi (nisi βούλεσθαι emendes) 16-17 ὡς τὸ addidi 23 lemma addidi 24 ἐπιθυμεῖ, ἐ rubr. A 25 ὁ om. schol. ante Σηλυμβριανὸς Σηλυβριανὸς A

[71] ι'. <Πῶς λέγεις, ὦ βέλτιστε Σώκρατες>] 227 D.

Τὸ τὸν Φαῖδρον προσποιεῖσθαι καὶ τὸ τὸν Λυσίαν δεινότατον εἶναι καὶ ἐν πολλῷ χρόνῳ γεγραφέναι τὸν λόγον, πάντα ταῦτα πάλιν τῆς τριβῆς τῆς περὶ τὰ ἔνυλα καὶ φαινόμενα καλὰ ἐνδεικτικά ἐστιν, ὅτι ἐπίπονος ἡ περὶ ταῦτα σχολή. — Τὸ δὲ ἰδιώτην ὡς πρὸς τὸν Λυσίαν εἴρηται· καὶ καθόλου ὁ μὴ μετέχων ἡστινοσοῦν τέχνης ἰδιώτης ἐστὶν ὡς πρὸς ἐκείνην. — Εὖ δὲ ὁ Φαῖδρος τοῦ ἐν ὕλῃ κάλλους ὑπερορῶν καὶ τοῦ ἐν αἰσθήσει (τοῦτο γὰρ σημαίνει διὰ τοῦ χρυσίον) καὶ ἐπὶ τὸ ἐν λόγοις καλὸν ἀναχωρῶν καὶ τούτου ἐρῶν ὅ ἐστιν ἀυλότερον...

f° 23 r° ια'. Ὦ Φαῖδρε] 228 A.

Τὸ δηλούμενον τοιοῦτόν ἐστιν, ἤτοι ὅτι ὁ ἐπιστήμων καὶ τὴν τελείαν ἔχων ἕξιν οἶδε καὶ τὰς ἀτελεῖς ἕξεις, ὡσανεὶ ἔλεγεν· « εἰ τὴν σὴν ἕξιν ἀγνοῶ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι· » ὥσπερ γὰρ ὁ ἀληθὴς μάντις οὕτω καὶ ὁ ἐπιστήμων περὶ τῶν ἄλλων ἀνθρώπων ἐρεῖ

ποίους ἂν φθέγξαιτο λόγους

χρυσίου ἢ ἄλλου τινὸς τοιούτου προτεθέντος· ἢ καὶ ὅτι ὁ ἐρωτικὸς ἀπὸ τοῦ φαινομένου κάλλους ἀναπεμπόμενος εἴς τε ἑαυτὸν καὶ τὸ νοητὸν, εἰ ἀγνοοίη τὸ αἰσθητὸν κάλλος, οὐκ ἂν οὐδὲ ἑαυτοῦ ἀναμνησθήσεται οὐδὲ τοῦ νοητοῦ
p. 72 κάλλους, ἀλλὰ καὶ ἑαυτὸν καὶ ἐκεῖνο ἀγνοήσει. — Τὸ | γοῦν ἀλλὰ γὰρ οὐδέτερά ἐστι τούτων ἀντὶ τοῦ « οὔτε σε ἀγνοῶ οὔτε ἐμαυτοῦ ἐπιλέλησμαι· οἶδα γὰρ καὶ τὰ μέτρα τοῦ φαινομένου κάλλους καὶ τὴν ὑπεροχὴν τοῦ ψυχικοῦ καὶ νοητοῦ κάλλους. » Προσποιουμένου οὖν τοῦ Φαίδρου, ἐμμελῶς αὐτὸν ὁ Σωκράτης ἐλέγχει καὶ ἁπλούστερον ἀντὶ ποικιλωτέρου ποιεῖ. Τὸ οὖν τὸν Σωκράτην ἀποστρέψαι τὸν λόγον καὶ ὡς πρὸς μὴ παρόντα διαλέγεσθαι δηλοῖ ὅτι οὐ καθείλκετο ὑπὸ τοῦ φαινομένου κάλλους, ἀλλ' ὅλος ἦν ἑαυτοῦ καὶ τῶν οἰκείων καὶ νοητῶν ἀρχῶν εἴχετο, ἄτρωτος ὑπὸ τοῦ αἰσθητοῦ καὶ τοῦ ἐν σαρκὶ κάλλους. — Πάλιν δὲ τὸ μὴ ἅπαξ ἀκοῦσαι, ἀλλὰ καὶ πολλάκις τὸν ἄτρυτον πόνον τὸν περὶ τὰ φαινόμενα καλὰ δηλοῖ τῶν ἀνθρώπων.

3 πάλιν cf. 17, 20 15 nescio unde excerptum

NC 1 lemma addidi 2 τὸ rubr. A τό ante τὸν Λυσίαν om. M 5 ἰδιώτην scripsi : ἰδιώτης libri 8 χρυσίον scripsi : χρυσίου libri 9 desunt quædam 10 ὦ rubr. A 11 ὅτι om. M 12 ὡσανεὶ scripsi : ὡς οὖν εἰ libri (sed A^a) τὴν σὴν] σὴν τὴν M 14 περὶ videtur fuisse in A : ά aliquid effecit quale πῶς γὰρ. 15 ἂν] οὐ a 16 προτεθέντος ex προτιθέντος A¹ ὁ om. M 18 οὐκ ἂν] litt. οὐ evan. in A ἑαυτοῦ] αὐτοῦ M (jam correxerat Ast) ἀναμνησθήσεται] ἀναμνησθείη M 20 σε a, jam conjecerat Ast : σου M et ut videtur A 22 καὶ τοῦ νοητοῦ M 23-24 ποικιλωτέρου] τοῦ ποικιλώτερον M : τοῦ ποικιλωτέρου Ast 25 καθεῖλκε τὸ M (jam correxerat Ast) 28 καὶ adjecit A¹ supra lineam, om. Plat.

[72] ιβ'. Τὸ βιβλίον] 228 B.

Δηλοῖ ὅτι εἰκόνες εἰκόνων εἰσὶ τὰ αἰσθητὰ βιβλία, ὡς καὶ τὰ γράμματα πρώτως μὲν τῆς ψυχῆς, δευτέρως δὲ τῶν λόγων εἰσὶν ἐνδεικτικὰ τῶν ἀπὸ τῆς ψυχῆς. — Ἐπειδὴ δὲ ὁ κύων τῷ Ἑρμῇ ἀνάκειται καὶ ἔστι τελευταῖον ἔργον τῆς Ἑρμαϊκῆς σειρᾶς [ὁ κύων], περὶ δὲ λόγων ἦν ἡ παροῦσα ὑπόθεσις (τοῦ γὰρ Λυσίου λόγου ἦν ἔφορος ὁ Ἑρμῆς), εἰκότως κατὰ τοῦ κυνὸς ὄμνυσι, καὶ ὡς ἐσχάτου καὶ τελευταίου ταύτης τῆς τάξεως. Εὐλόγως καὶ τοῦτο ποιῶν καὶ ὡς δι' αὐτοῦ τὸν ἔφορον θεὸν τὸν Ἑρμῆν μαρτυρόμενος.

Οὐ λέγει « εἰ Φαῖδρον ἀγνοῶ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι » ἡ γὰρ ἄγνοια περὶ τὰ ἐκτός ἐστι· διττῆς δὲ οὔσης, τῆς μὲν κατὰ ἀπόφασιν ἕξεως καὶ ἁπλῆ λέγεται, τῆς δὲ κατὰ διάθεσιν ἕξεως καὶ διπλῆ ἐστιν, ἀγνοοῦντός τινος καὶ αὐτὸ τοῦτο ὅτι ἀγνοεῖ, ἐνταῦθα τὴν κατὰ διάθεσιν ἀναιρεῖ. Πέπεισται γὰρ ὅτι οὐκ ἀγνοεῖ τὸν Φαῖδρον. Ὅπερ γοῦν ἐρρήθη, ἡ ἄγνοια περὶ τὰ μήπω εἰς γνῶσιν ἐλθόντα ἐστίν, ἡ δὲ λήθη ἀποβολή τίς ἐστι καὶ στέρησις τῆς εἰδήσεως. Εὐλόγως γοῦν ἑαυτὸν ὁ Σωκράτης καὶ ἔμφυτον ἔχων τὴν τοιαύτην γνῶσιν καὶ οὐκ ἐκ μαθήσεως, οὐκ ἂν ἄλλως ἀγνοεῖν τὸν Φαῖδρον διατείνεται, εἰ μή γε κατά τι σύμπτωμα ἑαυτοῦ ἐπιλέλησται· ὥστε σῳζομένης τῆς περὶ ἑαυτοῦ ἐπιστήμης, οἶδε καὶ τὸν Φαῖδρον ἀναμφιβόλως ὅστις ἐστί. Θεωρητικώτερον δέ, ὅτι τὸ μὲν λόγιον « γνῶθι σαυτόν » παραινεῖ ἀνακινοῦν οἷον τὸν ἄνθρωπον, οὐχ ἵνα μὴ οὖσαν γνῶσιν λάβῃ περὶ ἑαυτοῦ, ἀλλ' ἵνα μένουσαν ἔχῃ ταύτην καὶ ἀνεπίληστον. Ὁ γοῦν μὴ ἐπιλελησμένος ἑαυτοῦ ἀλλ' εἰδὼς τίς ἐστιν, ἐκεῖνος καὶ τὰ ἐκτὸς οὐκ ἀγνοήσει, ὁ δὲ ἀγνοῶν τὰ ἐκτὸς καὶ ὡς ἑστῶτα τὰ φεύγοντα λογιζόμενος, ἐκεῖνος καὶ ἑαυτοῦ ἐπιλέλησται, οὐκ εἰδὼς τὸ Ὁμηρικὸν

οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

Ἐγένετο οὖν ἡ τῶν ἀντιθέσει ἀντιστροφὴ ἀπὸ τῆς ἀποφάσεως τὴν ἀρχὴν εἰληφυῖα. Ἐντρεπτικὸν δὲ καὶ τὸ ἐγὼ καὶ ἐμφαντικόν· « ἐγὼ ὁ Σωκράτης ὁ σοφὸς ὁ παρὰ θεοῦ μεμαρτυρημένος. »

f° 23 v° ιγ'. Δείξας πρότερον] 228 D.

Τῷ ὄντι πᾶσαν αὐτοῦ προσποίησιν βούλεται ἀφελεῖν, καὶ εἰς τὸ ἐμφανὲς

5 de Hermaïca catena v. PROCL. *in Cratyl.* p. 11 Boiss.; OLYMPIOD. *in Alcib.* I p. 20; MARIN. *vit. Procl.* 28; EUNAP. *vit. Porphyr.* p. 17; alios 24 σ 130

NC 1 τό, τ rubr. A 2 εἰκόνων εἰκόνες M 4 ἐπειδὴ] ἐπεὶ M Ἑρμῇ] Ἑρμεῖ M in margine ea manu quæ scripsit titulos exarata leguntur in A : καὶ τοῦτο δ[ρῶν] | ἐξ ἑωθινοῦ κ[αθή]|μενος ἀπειπὼ[ν εἰς] | περίπατον ἤ[ειν] (228 B) 5 ὁ κύων seclusi 8 μαρτυρούμενος M 9 οὐ rubr. A; in margine stellula rubra 10 ἐκτὸς] ἐντὸς M cf. 22 13 ἀγνοεῖ] ἀγνοῶ M ἐρρέθη A quod fort. retinendum μήπω εἰς] μὴ πρὸς M 17 περὶ ἑαυτοῦ] περὶ αὐτοῦ M 20 ἑαυτοῦ] αὐτοῦ M 24 τὸ Ὁμηρικὸν τὸ M 26 οὖν] γοῦν M 27 ἐμφαντικὸν] ἐμφατικὸν M 29 δείξας, δεί rubr. A δείξας πρότερον] δείξας γε πρῶτον Plat.

[72] αὐτοῦ πᾶσαν ἐνεγκεῖν τὴν ζωὴν ἵν' οὕτως αὐτὸν σώσῃ. Ἐξ ἀρχῆς μὲν οὖν προσεποιεῖτο ὅλως μὴ δύνασθαι ἀπομνημονεύειν· ἔπειτα ἔναγχος τὴν διάνοιαν μόνην δύνασθαι λέγειν, οὐ μέντοι τὰ ῥήματα· τελευταῖον δὲ λοιπὸν σαφῶς καὶ αὐτὸ τὸ βιβλίον ἀναγκάζεται δεῖξαι. — Τὸ οὖν ἐν τῇ ἀριστερᾷ δηλοῖ ὅτι ἡ τοιαύτη ῥητορικὴ πρὸς τὸ χεῖρον τῆς ψυχῆς, λέγω δὴ τὸ παθητικόν, ἀποτείνεται, καὶ οὐκ ἔστι τοῦ καθαροῦ καὶ ἄκρου τῆς λογικῆς ψυχῆς, τουτέστι τοῦ νοῦ, ἀλλὰ μᾶλλον τοῦ δοξαστικοῦ καὶ φανταστικοῦ. — Τὸ δὲ ὑπὸ τῷ ἱματίῳ διὰ τὸ ἐν σκότῳ εἶναι καὶ ἐκπεπτωκέναι τοῦ φωτὸς τῆς ἐπιστήμης· περὶ γὰρ τὰ δοξαστὰ καὶ ἔνυλα καὶ τὰς ἀνθρωπικὰς φλυαρίας ἡ τοιαύτη ῥητορικὴ ἀναστρέφεται.

ιδʹ. Ὡς ἐγώ σε] 228 E.

Βούλεται ὁ Σωκράτης αὐτὸν εἶναι τὸν Λυσίαν τὸν ἐλεγχόμενον, ἵνα δραστικωτέρα ἡ εἰς τὸν νεανίσκον ὠφέλεια γένηται. Ἐνδείκνυται δὲ διὰ τούτου, ὅτι ἀσπάζεται μὲν ὁ Σωκράτης καὶ τὸ ἐν αἰσθήσει καλὸν ὡς εἰκόνα φέρον
p. 73 τοῦ | αὐτοκάλλους, παρόντος δὲ τοῦ ἀυλοτέρου καὶ ὑπερτέρου κάλλους οὐ προτιμήσει τὸ ἐν αἰσθητοῖς κάλλος τοῦ ἐν λόγοις. — Τὸ δὲ καθεζομένους βούλεσθαι ἀναγινώσκειν δηλοῖ τὸ χθαμαλὸν τῆς ἐνεργείας, ὅτι οὐ περὶ σπουδαῖα καὶ ὑψηλὰ πράγματα καὶ ἐγηγερμένα μέλλουσι διατρίβειν, ἀλλὰ περὶ κοιλότερα, περὶ γὰρ τὴν ἐξέτασιν τοῦ Λυσίου λόγου.

ιεʹ. Δεῦρο ἐκτραπόμενοι] 229 A.

Τὸν ποταμὸν οἱ παλαιοὶ τῇ γενέσει εἰώθασι παραβάλλειν. Τὸ οὖν ἐκτραπόμενοι κατὰ τὸν Ἰλισσὸν ἀντὶ τοῦ· « τῆς γενέσεως ὑπερέχοντες, οὕτω θεωρῶμεν τὸ φαινόμενον κάλλος, καὶ μὴ δύνοντες ἢ καὶ βαθύνοντες ἐν αὐτῇ. » — Τὸ δὲ ἀνυπόδητος τὸ εὔλυτον καὶ ἀπέριττον σημαίνει καὶ τὸ πρὸς ἀναγωγὴν ἐπιτήδειον, ὅπερ Σωκράτει μὲν ἀεὶ ὑπῆρχε, τῷ Φαίδρῳ δὲ τότε διὰ τὸ μέλλειν ὑπὸ Σωκράτους τελειοῦσθαι. Ἐπιτήδειον δὲ καὶ τὸ θέρος καὶ ἡ μεσημβρία πρὸς ἀναγωγήν, καὶ κατὰ τὸν Ἡράκλειτον, ὅς φησιν· « αὔη [ξηρὴ] ψυχὴ σοφωτάτη. » Τὸ δὲ βρέχειν τοὺς πόδας τῷ ὑδατίῳ σημαίνει τὸ ταῖς τελευταίαις καὶ περιπεζίοις δυνάμεσι τῆς ψυχῆς, ὅπερ οἱ

21 οἱ παλαιοὶ e. g. HERACLIT. fr. 41 et 81 Bywater   27 fr. 74 Byw.

NC 1 ζωὴν A ut vid. et M : ἕξιν a   3 μόνην EBM : μὲν A[a]   4 οὖν] γοῦν M   8 σκότῳ fere evan. in A   11 ὡς, ὠ rubr. A   σε om. M   12-13 δραστικοτέρα A[a]   13 γένηται] γίνηται M   16 τὸ ante δὲ] ὅτι AST   16-17 καθεζομένους] καθεζόμενος M   17 βούλεται A, sed σθ supra versum scripsit a : βούλεται M   18 ἐγειγερμένα M   20 δεῦρο, δεῦ rubr. A   24 αὐτῇ] αὐτῷ M   ἀνυπόδητος scripsi : ἀνυπόδητον libri   28 αὔη scripsi : αὐγὴ libri : idem error apud PLUTARCH. *de esu carn.* I 6, p. 995; PHILON. ap. EUSEB. *præp. evang.* VIII 14; MUSON. ap. STOB. III XVII 42 (t. III p. 505, 8 ed. Wachsmuth-Hense, ubi vide adnotationem); alios : verum præbet e. g. STOB. III V 8   ξηρὴ seclusi, vide tamen HENS. *l. l.*

[73] πόδες δηλοῦσιν, ἐφάπτεσθαι τῆς γενέσεως αὐτοὺς ὅλους ὑπερέχοντας τῆς γενέσεως, τουτέστι τῆς λογικῆς ψυχῆς ἄνωθεν θεωρούσης τὴν γένεσιν.

f°24r° ις'. Ὁρᾷς οὖν ἐκείνην] 229 A.

Τὸν τόπον τοῦτον ἀνυμνεῖ, ὅ ἐστι τὸ φυσικὸν κάλλος τῆς φύσεως, ἔκ τε τῶν δένδρων ἔκ τε τοῦ πνεύματος καὶ τῆς πόας· τέως μὲν τὰ ἄκρα ἔλαβε τήν τε ὑψηλοτάτην πλάτανον καὶ τὸ χθαμαλώτατον τὴν πόαν· λήψεται δὲ ἐν τοῖς ἑξῆς καὶ τὸ μέσον τὴν ἄγνον· ἡ δὲ σκιὰ καὶ τὸ πνεῦμα τὰς ἀναπαύλας σημαίνει. Δύνασαι δὲ καὶ τὸ πνεῦμα τὴν προνοητικὴν τῶν θεῶν λαμβάνειν ἐπίπνοιαν, τὴν δὲ σκιὰν ἀντὶ τοῦ νοητοῦ καὶ ἀφανοῦς καὶ τῆς ἀναγώγου δυνάμεως καὶ πόρρω τοῦ αἰσθητοῦ καὶ πληκτικοῦ (τοῦτο γὰρ δηλοῖ τὸ φῶς) συναναγούσης.

ιζ'. Εἰπέ μοι ὦ Σώκρατες] 229 B.

Τοῦ μύθου τούτου διττὴν ἄν τις ποιήσαιτο τὴν ἀνάλυσιν, μίαν μὲν ἐκ τῆς ἱστορίας ἠθικωτέραν, ἑτέραν δὲ ἐπὶ τὰ ὅλα μεταφέρων. Καὶ ἔστιν ἡ μὲν προτέρα τοιαύτη. Ἐρεχθέως μὲν γενέσθαι Ὠρείθυιαν θυγατέρα, ἱέρειαν δὲ αὐτὴν γενέσθαι τοῦ Βορέου· εἶναι γὰρ καὶ ἑκάστου τῶν πνευμάτων ἔφορον θεόν, ὃν ἡ τελεστικὴ θεραπεύει· ταύτην οὖν τὴν Ὠρείθυιαν ἔχειν τὴν εὐμένειαν τοῦ θεοῦ οὕτως ἄγαν, ὥστε αὐτὸν ἐπὶ εὐετηρίαν τῆς χώρας πνεῖν· καὶ μέντοι καὶ ναυμαχοῦσι τοῖς Ἀθηναίοις συλλαβέσθαι λέγεται. Ἐνθουσιάσασαν οὖν αὐτὴν καὶ κατασχεθεῖσαν ὑπὸ τοῦ οἰκείου θεοῦ τοῦ Βορέου καὶ μηκέτι ὡς ἄνθρωπον ἐνεργοῦσαν (οὐκέτι γὰρ κατὰ τὴν ἑαυτῶν ἰδιότητα τὰ ζῷα ἐνεργεῖ καταλαμφθέντα τοῖς ὑπερτέροις αἰτίοις) καὶ ἐν τῇ κατοκωχῇ τελευτήσασαν, λεχθῆναι οὕτω αὐτὴν ὑπὸ τοῦ Βορέου ἡρπάσθαι. Καὶ αὕτη μὲν ἡ ἠθικωτέρα τοῦ μύθου ἀνάπτυξις. — Ἡ δὲ δευτέρα ἡ ἐπὶ τὰ ὅλα μεταβιβάζουσα τὸν λόγον τοιάδε τίς ἐστιν, οὐ πάντως ἀναιροῦσα τὴν προτέραν· πολλάκις γὰρ αἱ θεομυθίαι γενομένοις πράγμασί τισι καὶ ἱστορίαις ἀπεχρήσαντο ἐπὶ τὴν τῶν ὅλων διδασκαλίαν. Ἐρεχθέα τοίνυν λέγουσι τὸν τοῦ τριστοίχου ἐπάρχοντα θεόν, ἀέρος, ὕδατος, γῆς (ἔστι δὲ ὅτε καὶ τὸν μόνης τῆς γῆς, ἔστι δὲ ὅτε καὶ τὸν τὴν Ἀττικὴν μόνην εἰληχότα),

15. cf. Eustath. ad *Dionys. Perieg.* 423 (= Eudoc. *Viol.* pp. 91 et 440) Ἑρμείας δὲ ὁ Πλατωνικὸς βασιλικὴν παῖδα τὴν Ὠρείθυιαν κατὰ κρημνοῦ ὑπονοεῖ ὠσθῆναι ἀνέμῳ Βορρᾷ καὶ τούτῳ τῷ τρόπῳ λεχθῆναι ἁρπασθῆναι ὑπὸ τοῦ Βορρᾶ 15 Ἐρεχθέως — 23 ἡρπάσθαι jam edid. Ruhnken in *Tim.* p. 191 ex P 19 cf. Herod. VII 189

NC 1 αὐτοὺς — 2 γενέσεως om. BM 3 ὁρᾷς, ὁ rubr. A 7 fort. τῆς τε ἄγνου ap. Plat. legebat Hermias 8 θεῶν] θείων M cf. 29, 5 11 συναναγούσης scripsi : νῦν· ἀναγούσης libri 12 εἰπέ, εἰ rubr. A 13 ποιήσαιτο BDEM : in A vestigia tantum apparent (qualia ποιοῖ τῷ λόγῳ) : ποιήτω λό (*sic*) a 16 καὶ om. P 19 συλλαβέσθαι Ast : συμβάλλεσθαι libri 22 ἰδιότητα — 23 τελευτήσασαν om. m (v. Schanz. *Herm.* XVIII 133) 23 κατᾶκωχῇ A : κατακωχῇ MP ἡρπᾶσθαι MP

[73] οὗ θυγατέρα τὴν Ὠρείθυιαν· αὕτη δέ ἐστιν ἡ τῆς γῆς γονίμη δύναμις, δηλονότι συνεκτεινομένη τῇ ἕξει τοῦ Ἐρεχθέως· καὶ ἡ ἀνάπτυξις δὲ τοῦ ὀνόματος τοῦτο σημαίνει· ἡ γὰρ κατὰ τὰς ὥρας θάλλουσα καὶ ἀναδιδομένη γονίμη τῆς γῆς δύναμις. Βορέας δέ ἐστιν ἡ ἄνωθεν ἐπιλαμπομένη εἰς τὰ δεύτερα τῶν θεῶν πρόνοια· τὴν γὰρ πρόνοιαν τῶν θεῶν τὴν εἰς τὸν κόσμον διὰ τοῦ Βορέου δηλοῦσι, διὰ τὸ καὶ τὸν Βορέαν ἀπὸ τῶν ὑψηλῶν τόπων πνεῖν· τὴν δὲ ἀναγωγὸν τῶν θεῶν δύναμιν διὰ τοῦ Νότου, διὰ τὸ ἀπὸ τῶν χθαμαλῶν ἐπὶ τὰ ὑψηλὰ πνεῖν· αἱ δ' αὖ πρὸς Νότῳ... εἰσὶ
p. 74 θειό|τεραι· τὴν γονίμην οὖν τῆς γῆς δύναμιν ἢ τῆς Ἀττικῆς ἡ τῶν θεῶν πρόνοια ποιεῖ ἀνιέναι καὶ προιέναι εἰς τοὐμφανές.

Εἰπέ μοι ὦ <Σώκρατες>] Οἱ μὲν ποιηταὶ χοροὺς ἐπενόησαν εἰς ἀναπλήρωσιν τῶν διακένων, ὁ δὲ λόγος ἐνταῦθα, ἐπεὶ παρεισῆξε τὸν Σωκράτην ἄγοντα τὸν Φαῖδρον εἰς τὰ τῆς τελετῆς πρόθυρα, οὐ βούλεται εἰς ἄλλα τινα περισπᾶσθαι τοῦτον, ἔστ' ἂν τὸν τόπον καταλάβωσιν. Ἅπαξ γὰρ τῆς τελετῆς γεγονότα ἐκεῖσε θέλει κατέχειν αὐτὸν, ὅθεν καὶ διὰ μέσου ζητητικὸς γίνεται, καὶ ποθεῖ μαθεῖν θεωρίαν τῇ προκειμένῃ ὑποθέσει προσήκουσαν. Ὠρείθυια γὰρ εἴη ἂν ψυχὴ ἐφιεμένη τῶν ἄνω (ἀπὸ τοῦ ὀρούω καὶ τοῦ θύω κατὰ ἐπέκτασιν Ἀττικήν)· ἁρπάζεται τοίνυν ἡ τοιαύτη ψυχὴ παρὰ τοῦ ἄνωθεν καταπνέοντος Βορρᾶ· εἰ δὲ καὶ κατὰ κρημνοῦ φέρεται, καὶ τοῦτο ἁρμόδιον· τελευτᾷ γὰρ τὸν προαιρετικὸν θάνατον, τὸν φυσικὸν μὴ δεχομένη, καὶ ἀφίησι τὴν προαιρετικὴν ζωὴν, τὴν φυσικὴν ζῶσα· καὶ ἡ φιλοσοφία οὐδὲν ἄλλο ἐστὶν ἀλλ' ἢ μελέτη θανάτου. Ἔστω οὖν Ὠρείθυια καὶ ἡ τοῦ Φαίδρου ψυχὴ, ὁ δὲ Σωκράτης Βορρᾶς, ἁρπάζων αὐτὸν καὶ καταφέρων εἰς τὸν προαιρετικὸν θάνατον· « καταφέρων » εἶπον, οὐκ « ἀναφέρων », ὅτι εἰ μὴ ἐκτόπως ταπεινωθείη ψυχὴ οὐκ ἂν τὴν ἀναφορὰν δέξαιτο.

ιη'. Ἡι πρὸς τὸ τῆς ἄγρας] 229 C.

Ἀγραίας Ἀρτέμιδος ἱερὸν ἵδρυσαν Ἀθηναῖοι, διὰ τὸ ἔφορον εἶναι ταύτην τὴν θεὸν παντὸς τοῦ ἀγρίου, καὶ πᾶν τὸ ἄγριον καὶ ἀνήμερον καταστέλλειν. — Οἱ δὲ βωμοὶ καὶ τὰ ἱερὰ τῶν θεῶν τὰς λήξεις αὐτῶν σημαίνουσιν· ὡς καὶ βωμὸν καὶ ἱερὸν εἴποις ἂν τοῦ ἡλίου τὸ φαινόμενον σῶμα τοῦτο τοῦ ἡλίου, διὰ τὸ μάλιστα αὐτοῦ μετέχειν καὶ ἀπολαύειν τοῦ νοητοῦ ἡλίου καὶ

2-3 in *Etymol. Magn.* Ὠρείθυια ex ὄρει θύω ducitur, κατ' ἔκτασιν . 22 ἡ φολοσοφία — θανάτου cf. *Phædon.* 67 E 28 ἀγραίας — 29 καταστέλλειν = schol. 229 B (p. 263 Herm.) : jam edid. RUHNK. in *Tim.* p. 158 ex P

NC 2 ἕξει scripsi dubitanter : λήξει A : λέξει M 8 deest substantivum cui referas θειότεραι 9 γονίμην scripsi coll. ll. 1 et 4 : γόνιμον libri 11 εἰπέ, εἰ rubr. A : in margine stellula rubra ὦ om. M Σώκρατες addidi ex Plat. 12 διακένων] διακειμένων M 14 ἔστ' ἂν] ὡς ἂν M 16 ποθεῖ] ποιεῖ M 18 τοίνυν ἡ om. M 27 ἣ (*sic*) rubr. A 28-29 εἶναι παντὸς τοῦ ἀγρίου τὴν θεόν schol. θεάν P 31 εἴποις] ἵπποις BM (jam correx. AST) τὸ φαινόμενον — νοητοῦ ἡλίου om. BM

[74] τῆς ψυχῆς αὐτοῦ τοῦτο τὸ ἐγκόσμιον σῶμα, ὡς καὶ τὰ ἐνταῦθα ἱερὰ τῶν ϑεῶν λήξεις ἔχειν αὐτῶν τῶν ϑεῶν καὶ ἐλλάμψεις.

Αὕτη εἴη ἂν ἡ νοητὴ ϑεωρία ἡ ἀγρευτικὴ τοῦ καθόλου διὰ τῶν μερικῶν καὶ τοῦ ὄντος διὰ τοῦ δοκοῦντος· ὡς καὶ Πίνδαρος ἔφησέ που

μέριμναν ἀγροτέραν

οἱονεὶ ἀγρευτικὴν τῶν καλῶν. Ἱερὸν δὲ τῆς ϑεωρίας ταύτης ὁ νοῦς. « Διαβαίνομεν » τοίνυν εἶπε « πρὸς τὸ ἱερόν », οἱονεὶ διὰ τῶν αἰσθητῶν εἰς τὸ ἑνιαῖον.

f°24v° ιθ'. Ἀλλ' εἰ ἀπιστοίην] 229 C.

Ἐντεῦθέν τινες ᾠήθησαν τὸν Σωκράτην μὴ ἀποδέχεσθαι τὰς ἀναπτύξεις τῶν μύθων, οὐ καλῶς ἐννοήσαντες· δῆλος γάρ ἐστιν αὐτὸς πολλαχοῦ τοὺς μύθους ἀποδεχόμενος καὶ χρώμενος αὐτοῖς. Ἀλλὰ νῦν κακίζει τοὺς <εἰς> ἱστορίας τινὰς καὶ εἰκοτολογίας καὶ εἰς ὑλικὰς αἰτίας, ἀέρας καὶ γῆν καὶ πνεύματα ἀναπτύσσοντας καὶ μὴ ἐπὶ τὰ ὄντα ἀναλύοντας καὶ ἐφαρμόζοντας τοῖς ϑείοις πράγμασι τὰς ἀναπτύξεις. Ὃ καὶ νῦν φησιν, ὅτι « ἐὰν ἀναπτύσσων τοῦτον τὸν μῦθον εἰς φυσικὰς αἰτίας ἀναδράμω, καὶ εἴπω ὅτι παίζουσαν τὴν Ὠρείθυιαν τὸ πνεῦμα τοῦ Βορέου φυσῆσαν σφοδρὸν ὤθησεν [αὐτὴν] κατὰ τῶν πετρῶν καὶ οὕτως ἀποθανοῦσαν λεχθῆναι ὑπὸ τοῦ Βορέου ἀναρπασθῆναι, πῶς ἐγὼ οὐκ ἂν ἄτοπος εἰκότως λογισθείην; » Αὕτη γὰρ ἡ ἀνάπτυξις ὡς ἀναπτύσσουσιν οἱ σοφοί, τουτέστιν οἱ περὶ τὰ φυσικὰ διατρίψαντες, γλίσχρος ἐστὶ καὶ εἰκοτολογία· οὐ γὰρ ἐπὶ τὰ ὄντως ὄντα ἀνατρέχουσιν, ἀλλ' ἐπὶ φύσεις καὶ πνεύματα καὶ ἀέρας καὶ δίνας, ὡς ἐν Φαίδωνι ἔφη. Τούτους οὖν τοὺς φυσικοὺς καὶ οὕτως ἀναπτύσσοντας διαβάλλει ὡς εἰς ἀοριστίαν καὶ ἀπειρίαν ἐκπίπτοντας, καὶ μὴ ἐπὶ ψυχὴν καὶ νοῦν καὶ ϑεοὺς ἀνατρέχοντας. — Τὸ δὲ δεινοῦ καὶ ἐπιπόνου καὶ οὐ πανὺ εὐτυχοῦς ἀνδρός ἐνδεικτικόν ἐστι τοῦ περὶ τὰ αἰσθητὰ καὶ ἔνυλα διατρίβειν. — Οἱ δὲ Κένταυροι καὶ Γοργόνες καὶ Πήγασοι δυνάμεις εἰσὶν αὗται πᾶσαι τοῦ ἐνύλου προεστῶσαι καὶ τοῦ περὶ γῆν τόπου. — Τὸ δὲ κατὰ τὸ εἰκός σημαίνει τὸ μὴ ἀπὸ νοῦ γίνεσθαι αὐτοῖς τὰς ἀναπτύξεις, ἀλλὰ κατὰ τὸ φαινόμενον καὶ τὴν

4 *Ol.* II, 100 (54 Bergk) 23 *Phædon*. 98 C

NC 3 αὕτη, αὖ rubr. A : in margine stellula rubra καὶ ἡ ἀγρευτικὴ M 8 εἰς] πρὸς M 9 ἀλλ', ἀ rubr. A 10 ἀποδέχεσθαι] ἀναδέχεσθαι M 13 εἰς addidit Ast τινὰς καὶ fere evan. in A 14 ἀναπτυξονσσοντας A (sed ξον delevit A, σσοντας rescripsit a) 15 ἀφαρμόζοντας A^a 16 αἰτίας non jam legi potest in A 18 αὐτὴν seclusi οὕτως evan. A 19 λεχθῆναι] λέγουσιν A^a 23 τούτους] τούτοις M φυσικοὺς καὶ] φυσικότερον A^a ut vid. 24 ἀοριστίαν] ἀριστίαν M : ἀπιστίαν Ast 26 δεινοῦ... ἐπιπόνου scripsi ; δεινὸν... ἐπίπονον libri 27 δὲ μὲν Κένταυροι M

74] εἰκοτολογίαν, διὸ καὶ ἄγροικον σοφίαν αὐτὴν ἐκάλεσεν ὡς ἀπαίδευτον καὶ οὐ νοεράν.

κʹ. Οὐ δύναμαί πω] 229 E.

Ἆρ' οὖν οὐκ ἔγνω ἑαυτὸν ὁ Σωκράτης; Καὶ τίς ἄλλος οὕτως ἔγνω ἑαυτὸν ὡς ὁ Σωκράτης; Ἢ διχῶς ἐκδεκτέον· ἢ ὅτι « ὡς αὐτὸς ὁ Θεὸς
p. 75 οἶδε καὶ κατ' αὐτὸ τὸ Δελφικὸν γράμμα, οὐκ οἶδα | ἐμαυτὸν », ἢ ὅτι « ὡς αὐτοψυχὴ καθαρὰ οὔπω οἶδα ἐμαυτόν· ἔτι γὰρ ἐν σώματί εἰμι, καὶ ὡς μὲν ἐν σώματι ὢν οἶδα ἐμαυτὸν, ὡς δὲ αὐτοψυχὴ οὔπω ἔγνωκα ». Ἢ οὖν « ὡς ὁ Θεὸς οἶδεν οὔπω ἔγνωκα ἐμαυτὸν », ἢ « ὡς αὐτοψυχή ».

καʹ. Πειθόμενος δέ] 230 A.

Ἢ « ὡς ἔχει οὕτως ὁ μῦθος πειθόμενος καὶ κατὰ τὸ θρυλλούμενον περὶ αὐτῶν », ἢ « κατὰ τὸ ἐμοὶ νομιζόμενον καὶ ὅπερ ὁ λόγος καὶ ἡ τοῦ νοῦ διανομὴ ἐν ἐμοὶ λέγει περὶ αὐτῶν τούτῳ πειθόμενος ».

κϐʹ. Εἴτε τι θηρίον] 230 A.

Δῆλον γὰρ ὅτι ὁ ἑαυτὸν γνοὺς τὰ πάντα οἶδεν· ἐν ἑαυτῷ γὰρ πάντα ὄψεται. — Τὸ δὲ Τυφῶνος ὅτι ὁ Θεὸς οὗτος ἐπάρχει τοῦ πλημμελοῦς καὶ ἀτάκτου· καὶ τοιοῦτός τις αὐτοῦ ὁ κλῆρος, ἀεὶ μὲν ἐν τοῖς ὅλοις κοσμούμενος, πλὴν εἴ που κατά τινα μόρια ἐκφαινόμενος· ἔνθα δὴ καὶ εἰώθασι λέγειν « Τυφώνια πνεύματα » ἢ « σκηπτοὺς » ἢ « κεραυνοὺς Τυφωνίους ». Ἔστιν οὖν καὶ ἐν τῇ ψυχῇ πάντα ἀνάλογον, καὶ μάλιστα ἐπὶ τῆς μερικῆς τὸ τῆς κακεργέτιδος· προτέρας οὖν αὐτῆς μνησθεὶς ὁ Σωκράτης ὡς κατὰ τὸ καθαρτικὸν εἶδος ἐνεργῶν, οὕτω μέμνη-
f° 25 r° ται καὶ τῆς λογικῆς διὰ τοῦ ἡμέρου καὶ ἁπλοῦ καὶ θείου. — Τὸ δὲ πολυπλοκώτερον οὐκ ἐπ' αὐτοῦ τοῦ Θεοῦ δεῖ ἀκούειν, ἀλλ' ἐφ' οὗ προστατεῖ, ὡς πλημμελῶς καὶ ἀτάκτως καὶ πολυπλόκως κινουμένου τῇ οἰκείᾳ φύσει· εἰώθασι δὲ οἱ μῦθοι τὰ τῶν προνοουμένων πάθη ἐπ' αὐτὰ τὰ προνοοῦντα ἀναπέμπειν.

κδʹ. Νὴ τὴν Ἥραν] 230 B.

Τῆς μὲν Ἥρας μέμνηται ὡς γεννητικῆς καὶ κοσμητικῆς τοῦ κάλλους

16 τὸ δὲ — 20 τυφωνίους jam ediderat Ruhnken ad *Tim.* p. 186 ex P 19 τυφώνια (vel τυφωνικὰ) πνεύματα reperies ap. Harpocr. Suid. s. v. τετύφωμαι; in *Etym. M.* sub eodem verbo; *Bekk. Anecd.* I 308, 11; Marin. *vit. Procl.* 15; ceterarum locutionum nullum inveni exemplum 23 τὸ δὲ — 27 ἀναπέμπειν jam ediderat Ruhnken *l. c.* ex P

NC 1 αὐτὴν om. M 2 οὐ om. M, unde νοσερὰν pro νοερὰν conj. Ast 3 οὐ, ὁ rubr. A 4 ἔγνω ex ἐγὼ A 7 οἶδα om. M 10 πειθόμενος, π rubr. A 11 οὕτως scripsi : αὐτὸς libri 14 εἴτε, εἴ rubr. A 16 ἐπάρχει] ὑπάρχει MP 17 τίς ἐστι αὐτοῦ M : ἐστί τις αὐτοῦ P μὲν] μὴν M (jam ex P correxerat Ast) 18 κοσμούμενος] σκοτούμενος? 20 καὶ ante ἐν om. M 28 aut erravit in numeris appingendis librarius, aut deest scholium vicesimum tertium νή, ν rubr. A

[75] τῆς δημιουργίας· διὸ καὶ τὸν κεστὸν παρὰ τῆς Ἀφροδίτης λαμβάνει. Ποιεῖται δὲ τὸν ἔπαινον τοῦ τόπου οὐκ ἀντιφιλοτιμούμενος τῷ Φαίδρῳ, ὥς φησιν ὁ Ἁρποκρατίων, ἀλλὰ τοῖς ἀληθέσιν ἐπαίνοις χρώμενος· Καὶ πρῶτον μὲν ἀπὸ τῶν τριῶν στοιχείων ἐπαινεῖ τὸν τόπον, ἀέρος, ὕδατος, γῆς· ἔπειτα τὰ ἐκ γῆς φυτὰ τριχῇ διαιρεῖ, εἰς πρῶτα καὶ μέσα καὶ τελευταῖα, τουτέστιν εἰς τὰ ὑψηλὰ καὶ τὰ μέσα καὶ τὰ ἔσχατα· τοῦτο γὰρ δηλοῖ ἡ πλάτανος, καὶ ἡ ἄγνος, ὅ ἐστι θαμνῶδες, καὶ αἱ πόαι. Κατὰ πάσας δὲ τὰς αἰσθήσεις δείκνυσι τὴν εὐφροσύνην ὑπάρχουσαν, πλὴν τῆς γεύσεως. — Ἀχελῷος δέ ἐστιν ὁ ἔφορος θεὸς τῆς ποτίμου δυνάμεως τοῦ ὕδατος· διὰ γὰρ τοῦ μεγίστου τούτου ποταμοῦ τὸν ἔφορον θεὸν δηλοῦσι τοῦ ποτίμου ὕδατος. Νύμφαι δέ εἰσιν ἔφοροι θεαὶ τῆς παλιγγενεσίας ὑπουργοὶ τοῦ ἐκ Σεμέλης Διονύσου· διὸ καὶ παρὰ τῷ ὕδατί εἰσι, τουτέστι τῇ γενέσει ἐπιβεβήκασιν. Αὐτὸς δὲ ὁ Διόνυσος τῆς παλιγγενεσίας ἐπάρχει παντὸς τοῦ αἰσθητοῦ.

κε΄. <Ἀκμὴν ἔχει τῆς ἄνθης>] 230 B.

Τὸ ἀκμὴν ἔχει τῆς ἄνθης δηλοῖ τὸ μέλλειν καὶ τὸν Φαῖδρον ἐπιτήδειον εἶναι εἰς ἀναγωγὴν παρὰ τοῦ Σωκράτους ἀναγόμενον. — Ὁ δὲ ποὺς ὁ τῷ ὕδατι βρεχόμενος πάλιν δηλοῖ τὸ ταῖς τελευταίαις ἑαυτῆς δυνάμεσι τὴν Σωκράτους ψυχὴν ἐφάπτεσθαι τῆς γενέσεως. — Τὸ δὲ ὀλίγον τὴν κεφαλὴν προσάντη δύνασθαι κεῖσθαι δηλοῖ τὸ ἀνατείνεσθαι τὸ νοερὸν τοῦ Σωκράτους ἀπὸ τῆς ὕλης καὶ τῆς γενέσεως. — Κατακείμενος δὲ ἀκούει, ὡς κατιὼν ἀπὸ τῆς νοερᾶς ἑαυτοῦ ἐνεργείας εἰς ἐξέτασιν τῶν Λυσίου λόγων, καὶ περὶ κοιλότερα καὶ χθαμαλὰ μέλλων ἐνεργεῖν. — Τὸ δὲ ἄστυ καὶ τὸ μηδέποτε ἐξιέναι τοῦ ἄστεος τὸν Σωκράτη δηλοῖ τὸ ἀεὶ τῶν οἰκείων ἀρχῶν καὶ αἰτιῶν, καὶ τῶν νοητῶν καὶ οἰκείων ἑαυτοῦ θεῶν ἔχεσθαι αὐτόν· ἡ γὰρ ἀληθὴς πατρὶς τῶν ψυχῶν ὁ νοητός ἐστι κόσμος· οὐκ ἐκ τῶν οὖν ἐνύλων καὶ ἀντιτύπων ἡ μάθησις ὃ δηλοῖ τὰ χωρία καὶ τὰ δένδρα, ἀλλ' ἐκ τῶν λογικῶν καὶ νοερῶν ψυχῶν καὶ ἐξ αὐτοῦ τοῦ νοῦ. — Καὶ τὸ ἀκολουθεῖν δὲ τὸν Σωκράτη τῷ Φαίδρῳ, καὶ τὸ βιβλίον ὅ ἐστιν

1 κεστόν Homeri versibus alludit Ξ 214 sq. ubi tamen κεστός adjectivum est 3 commentarii in *Phædrum* ab Harpocratione (Lucii Veri æquali) compositi nullum apud alios vestigium : v. Fabric. III 83 ed Harl. 7 κατὰ — 14 αἰσθητοῦ jam ediderat Van Goens ad *Porph. de antro nymph.* p. 101 ex P

NC 3 ὁ fere evanid. in A 6 καὶ τὰ μέσα] εἰς τὰ μέσα M τὰ ἔσχατα] τελευταῖα M 7 ἡ ante ἄγνος om. M 8 γεύσεως] γενέσεως P 9 δὲ] δς P ποτίμου] πολυτίμου MP 10 τοῦ ante μεγίστου om. P 13 αὐτὸς scripsi : οὗτος libri ὁ om. M ἐπάρχει] ὑπάρχει MP 15 lemma addidi 16 τὸ, τ rubr. A. τὸ... ἄνθης om. M. 18 ὁ] ἐν M 20 τὴν κεφαλὴν] τῇ κεφαλῇ M προσάντη Ast : προσανάντη libri 24 Σωκράτην M 25 αἰτίων A 26 Πρις = πατρὶς A : πρὸς M cf. Schanz, *Herm.* XVIII 134 27 οὐκ ἐκ τῶν οὖν] οὐκ τῶν οὖν M : οὔκουν ἐκ τῶν Ast 29 δὲ om. M Σωκράτην M

[76] εἰκὼν εἰκόνων δηλοῖ | τὴν ὡς θεοῦ προνοητικὴν αὐτοῦ ἐνέργειαν τὴν περὶ τοὺς νέους καὶ τὸ βούλεσθαι αὐτοὺς σῴζειν. — Κατακείμενος δὲ ἀκούει ὡς εἰς κοιλότερα τέως ἐνεργῶν· δεῖ γὰρ προσφόρως ταῖς ὑποθέσεσι καὶ τὰ σχήματα ποιεῖσθαι· οὕτω γοῦν ἐν τῇ παλινῳδίᾳ ὀρθὸς καὶ γυμνῇ τῇ κεφαλῇ τοὺς περὶ τοῦ ἐνθέου καὶ θείου ἔρωτος ποιήσεται λόγους· ὡς οὖν περὶ κοιλοτέραν μέλλων ἐνεργεῖν ἀκρόασιν λόγων, διὰ τοῦτο κατακείμενος ἀκούει, συνεξομοιῶν καὶ τὸ φαινόμενον σχῆμα τοῖς λόγοις· ὡς καὶ ἐν Φαίδωνι· « ὁ δὲ Σωκράτης ἀνακαθιζόμενος ἐκ τῆς κλίνης, » ὅτε ἔμελλε τοὺς περὶ τοῦ φιλοσόφου λόγους διατιθέναι.

f°25v° κϛ'. Περὶ μὲν τῶν ἐμῶν] 230 E.

Ἐνταῦθα καιρὸς πάλιν τῆς διαιρέσεως τῆς περὶ τοῦ ἔρωτος· οἱ μὲν γὰρ ὑπέλαβον ἁπλῶς φαῦλον τὸ ἐρᾶν, ὡς Ἐπίκουρος ὁρισάμενος αὐτὸν « σύντονον ὄρεξιν ἀφροδισίων μετὰ οἴστρου καὶ ἀδημονίας », καὶ ὁ εἰπών·

πλήρει γὰρ ὄγκῳ γαστρὸς αὔξεται Κύπρις,

καὶ « οὐπώποτε » φησὶν « ἠράσθης, Γέτα; — Οὐ γὰρ ἐνεπλήσθην, » φησίν. Οἱ δὲ ἁπλῶς ἀστεῖον, ὡς Ἡρακλείδης, φιλίας λέγων εἶναι τὸν ἔρωτα καὶ οὐκ ἄλλου τινος, κατὰ συμβεβηκὸς δέ τινας ἐκπίπτειν εἰς ἀφροδίσια. Οἱ δὲ ἀπὸ τῆς Στοᾶς πρότερον μὲν ἐλέγοντο ἁπλοῦν ἡγεῖσθαι τὸ πρᾶγμα, νῦν δὲ ἤκουσα ἐκείνων ὅτι διπλοῦν φασιν εἶναι καὶ αὐτοὶ τὸν

4-5 cf. 243 B 8 *Phœdon.* 60 B 12 Ἐπίκουρος cf. ALEX. APHROD. *in Arist. Top.* II p. 75 ὅτι οὐδεὶς ἔρως ἀστεῖος τοῦτο πρόβλημά ἐστι καθόλου ἀποφαντικόν· ἀνασκευάζεται δὲ ὅτι μὴ πᾶς ἔρως φαῦλος· διαιροῦμεν γὰρ τὸν ἔρωτα εἴς τε σύντονον ὄρεξιν ἀφροδισίων, ὡς Ἐπίκουρος λέγει ὃν οὐχ οἷόν τε ἀστεῖον εἶναι, καὶ εἰς ἐπιβολὴν φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον, ὡς οἱ ἀπὸ τῆς Στοᾶς, ἢ ἀνάμνησιν τοῦ ποτε ὁραθέντος κάλλους, ὡς Πλάτων· ἀστεῖοι γὰρ οὗτοι οἱ ἔρωτες. USENER, *Epicurea*, fr. 483, p. 305, 9 14 NAUCK² *Fragm. trag. adesp.* 186 16 MENANDR. *Misum.* fr. 345 Kock 17 Ἡρακλείδης fort. in Ἐρωτικῷ, v. DIOG. LAERT. V 87 : cf. SCHANZ, l. infra cit. 19 Στοᾶς cf. ATHEN. XIII 561 C Ζήνωνα... ὑπολαμβάνειν τὸν ἔρωτα θεὸν εἶναι φιλίας καὶ ἐλευθερίας, ἔτι δὲ καὶ ὁμονοίας παρασκευαστικόν, ἄλλου δὲ οὐδενός· διὸ καὶ ἐν τῇ Πολιτείᾳ ἔφη τὸν Ἔρωτα θεὸν εἶναι συνεργὸν ὑπάρχοντα πρὸς τὴν τῆς πόλεως σωτηρίαν (ZENON. fr. 163 Pears. cf. fr. 172)

TIT 10 ἀρχὴ τοῦ λόγου Λυσίου BC

NC 1 εἰκόνων] εἰκόνος M προνοητικὴν] προνοητικοῦ M 4 ὀρθὸς] ὀρθῶς M 6 μᾶλλον μέλλω M 9 ἐκ τῆς κλίνης] ἐπὶ τὴν κλίνην Plat. 10 περὶ, π rubr. A 16 φησὶν om. M ἠράσθης] ἠράσθην M Γέτα om. M 17 ἀστεῖον] ἀστείον A^a : ἀστεῖαν vel ἀστεῖσιν M (jam correxerat AST) Ἡρακλείδης BCEM : ὁ Εὐκλείδης A^a : cf. SCHANZ, *l. l.* 131 : litteræ ηρα etiam in A legi possunt φιλίας] φιλίαν AST (non M cf. SCHANZ, *l. l.* 129 n.) 18 τινας] τινα A^a 19 ἐλέγοντο scripsi : ἔλεγον τὸ libri

[76] ἔρωτα, τὸν μὲν ἀστεῖον, τὸν δὲ φαῦλον... Ἐπιθυμίαν καὶ ὄρεξιν συνουσίας κατὰ τὸν Παυσανίαν καὶ τὸν τραγῳδὸν τὸν εἰπόντα·

δισσὰ πνεύματα πνεῖς, Ἔρως.

Ἀριστοτέλης δὲ ὅλης μὲν τῆς ψυχῆς φησι τὸν ἔρωτα πάθος εἶναι, κἂν μὲν ὁ λογισμὸς κρατήσῃ, φιλίας αὐτὸν εἶναι, ἐὰν δὲ τὸ πάθος, συνουσίας. Περὶ δὲ τῆς Πλάτωνος γνώμης εἴπομεν πρότερον. Ὁ δὴ Λυσίας νῦν τῶν φαύλων τι τὸν ἔρωτα ἁπλῶς τίθεται καὶ διὰ τοῦτο τῶν ἐρώντων κατατρέχει, φάσκων αὐτοὺς ἐν κακῷ εἶναι καὶ δεῖν αὐτῶν τὴν κοινωνίαν φυλάσσεσθαι, μᾶλλον δὲ προσεταιρίζεσθαι τοὺς μὴ ἐρῶντας. Ὁ δὲ λόγος
α' αὐτῷ διὰ τῶνδε τῶν ἐπιχειρημάτων πρόεισι. Πρῶτον μὲν γὰρ λέγει ὅτι
μεταμέλει τοῖς ἐρασθεῖσιν ὧν εὖ ἐποίησαν τὸν ἐρώμενον, ἐπειδὰν
β' παύσωνται τῆς ἐπιθυμίας. Δεύτερον ὅτι τοὺς πόνους ὑπολογίζονται οὓς ἔσχον ἐν τῷ ἐρᾶν καὶ ὅσα ἠμέλησαν τῶν οἰκείων· καὶ διὰ τούτων ἡγοῦνται τοῖς ἐρωμένοις ἱκανῶς ἀποδεδωκέναι τὴν ἀξίαν
γ' <χάριν>. Τρίτον ὅτι λέγοντες οὓς ἐρῶσι φιλεῖν ὑπὲρ πάντας, δηλονότι τοὺς πρότερον γενομένους ἐρωμένους, κακῶς διαθήσουσιν αὐτοὺς διὰ τοὺς
δ' ὕστερον. Τέταρτον ὅτι ὁμολογοῦσι καὶ αὐτοὶ νοσεῖν καὶ μὴ σωφρο-
ε' νεῖν. Πέμπτον ὅτι, εἰ τοὺς ἐπιτηδειοτέρους πρὸς φιλίαν δεῖ αἱρεῖσθαι, ἐκ τῶν μὴ ἐρώντων εὐμαρεστέρα ἡ ἐκλογὴ πλειόνων ὄντων, χαλεπωτέρα
ϛ' δὲ ἐκ τῶν ἐρώντων· ὀλιγώτεροι γάρ. Ἕκτον <ὅτι> τὴν αἰσχύνην δεδιότας χρὴ φυλάσσεσθαι τοὺς ἐρῶντας· ἀλαζονεύονται γὰρ πρὸς τοὺς
ζ' ἄλλους, δεικνύντες ὅτι οὐ μάτην ἐπόνησαν. Ἕβδομον ὅτι καὶ προστάττουσι τὰ τοιαῦτα ὥστε εἰς ὑποψίαν τοῖς ἔξωθεν ἀφικέσθαι, ὅτι γεγένηται αὐτοῖς
η' ἢ μέλλει πληρώσεσθαι ἡ ἐπιθυμία. Ὄγδοον ὅτι τῶν πρὸς τοὺς ἄλλους
θ' ἀποτρέπουσι συνουσιῶν, δεδοικότες μὴ παρευδοκιμηθῶσιν. Ἔνατον ὅτι οἱ μὴ τὸν τρόπον γνόντες, ἀλλὰ τοῦ σώματος ἐπιθυμήσαντες, ἀντι-
ι' ποιοῦνται τῶν παιδικῶν· διὸ εὐχερεῖς εἰς μεταβολήν. Δέκατον ὅτι καὶ

2 *Concio.* 180 sqq. 3 Nauck², fr. trag. adesp. 187 4 in *Eth. Eud.?* cf. 1235, 1244 10 hæc omnia ex Lysiæ oratione defluunt 231-234 10 πρῶτον — 35, 12 Πλάτων = schol. 220 E (p. 264 Herm.)

NC 1 post φαῦλον desunt quædam ἐπιθυμίαν δὲ καὶ M 4 μὲν vix legi potest in A 6 potius γνώγης legeris in A, ita perperam litteram μ descripsit librarius (quod et aliis locis accidit) εἴπομεν] εἴπωμεν A² 10 inde ad l. 27 numeri α' β'... ι' in margine appicti in A γὰρ om. schol. ὅτι] ὡς schol. 12 τῆς ἐπιθυμίας παύσωνται Plat. 13 ἔσχον] εἶχον M καὶ ὅτι παρημέλησαν schol. 14 ἱκανῶς om. schol. 15 χάριν addidi ex Plat. cl. 37, 6 16 πρότερον] πρὸ τοῦ schol. ἐρωμένους om. M 17 τέταρτον δ' ὅτι M 18 τοὺς ἐπιτηδειοτέρους] τὰς ἐπιτηδειοτέρας M (jam correxerat Ast) δεῖ αἱρεῖσθαι] διαιρεῖσθαι M : necessariam vocem δεῖ post εἰ inserebat Ast 20 ὅτι addidi 21 φυλάττεσθαι schol. 22 προστάσσουσι M 23 ὑποψίαν] ἐποψίαν M (jam correxerat Ast) τοῖς om. schol. 24 πληρωθήσεσθαι schol. 25 συνουσιῶν] συνηθῶν schol. : συνηθειῶν Hermann (Plat. VI xxxii) ἔννατον M schol.

[76] ἐπαινοῦσι καὶ ψέγουσι παρὰ τὸ προσῆκον, τὰ μὲν κακῶς κρίνοντες διὰ τὴν νόσον τὰ δὲ δεδιότες μὴ ἀπέχθωνται. Εἶτα ἀνθυποφοράς τινας ποιεῖται ὧν μία μέν ἐστιν ὅτι φιλία βέβαιος οὐ δύναται ἄνευ ἔρωτος συστῆναι· λύει δὲ αὐτὴν διὰ τοῦ καὶ πρὸς πατέρας καὶ ἀδελφοὺς καὶ ἡλικιώτας γίνεσθαι f°26r° φιλίας βεβαίους χωρὶς ἔρωτος. | Δευτέρα δέ ἐστιν ὅτι τοῖς δεομένοις μᾶλλον δεῖ παρέχειν ἢ τοῖς μή· ἐνίσταται δὲ καὶ ταύτῃ ὅτι οὕτως ἂν τοῖς αἰτοῦσι τροφὰς καὶ τὰς ἑστιάσεις παρέχοιμεν καὶ οὐ τοῖς ἀξίοις. Τρίτον εἰ δεῖ κοινῇ πᾶσι τοῖς μὴ ἐρῶσι χαρίζεσθαι· τοῦτο δέ, φησί, καὶ οἱ ἐρασταὶ οὐκ ἀξιώσουσιν ὥστε πᾶσι τοῖς ἐρῶσι παρέχειν. Ἐπὶ πᾶσι κεφάλαιον ἔθηκεν ὅτι p. 77 τοὺς ἐρῶντας | καὶ οἱ οἰκεῖοι νουθετοῦσιν ὡς κακοῦ ὄντος τοῦ ἐπιτηδεύματος, τοὺς δὲ μὴ ἐρῶντας οὐδεὶς αἰτιᾶται. Ταῦτα μὲν τὰ λεχθέντα. Αἰτιᾶται δὲ αὐτοῦ ὁ Πλάτων πρῶτον μὲν ἀταξίαν, ὡς ἐξ ὑπτίας καὶ ἀνάπαλιν ἰόντος· ἔπειτα τὸ μὴ ἡνωμένον τῶν ἐπιχειρημάτων ἅτε μηδεμίαν τῆς συντάξεως αὐτῶν ἀνάγκην ἐχούσης ὥστε τόδε μετὰ τόδε κεῖσθαι· καὶ ὅτι τὸ κοινὸν καὶ πᾶσι πρόχειρον εἴρηκεν, ὅτι ὃ μὲν νοσεῖ, ὃ δὲ σωφρονεῖ· εἶθ' ὅτι δὶς καὶ τρὶς τὰ αὐτὰ εἴρηκεν· εἶθ' ὅτι μηδὲ ταῦτα εἶπε τὰ ἐνδεχόμενα εἰπεῖν. Τούτων δὲ ἕκαστον ἐπὶ τῆς ἐξετάσεως αὐτῆς καὶ ἡμεῖς παραστήσομεν· πρὸς δὲ τούτοις δείξομεν ὅτι καὶ ἐναντία εἴρηκεν ἑαυτῷ καὶ τῇ ὑποθέσει καὶ παρὰ τὴν ἱστορίαν καὶ ψευδῆ. Εἰδέναι δὲ δεῖ ὅτι αὐτοῦ Λυσίου ὁ λόγος οὗτός ἐστι, καὶ φέρεται ἐν ταῖς ἐπιστολαῖς ταῖς ἐκείνου εὐδοκιμοῦσα καὶ αὕτη ἡ ἐπιστολή· βούλεται δὲ ἃ πρὸς παρόντα εἶπε τὸν Φαῖδρον καὶ ἀπόντα αὐτὸν ὑπομνῆσαι.

κζʹ. Ὡς ἐκείνοις μὲν τότε μεταμέλει ὧν ἂν εὖ ποιήσωσι] 231 A.

Τοῦτ' αὐτὸ πρῶτον τῆς ἀταξίας τὸ ἐν ἀρχῇ ἐπιχείρημα. Μὴ εἰπὼν γὰρ οἷός ἐστιν ἐρῶν ὁ ἐραστής, λέγει τίς ἐστιν ἐπειδὰν παύσηται ἐρῶν· « τοὺς πόδας » φαίη ἄν τις « πρώτους τέθεικε, τὴν δὲ κεφαλὴν ὑστέραν. » Ὡς γὰρ

12-13 264 A 14 cf. 264 B 16 235 A 20 ἐπιστολαῖς quas septem esse Suidas ait, quarum quinque ad adulescentes : sed solus Hermias inter eas hunc ἐρωτικὸν λόγον dicit numerari 26-27 abest a parœmiographorum syllogis a Leutschio editis

NC 1-2 τὸ μὲν... τὸ δὲ schol. 3 οὐ δύναται om. schol. : addidit Hermann ex Hermia 4-5 φιλίας om. schol. 5 βεβαίους] βεβαίαν schol. τὴν χωρὶς schol. ἐστιν scripsi : αὕτη libri et schol. 6 καὶ ταύτῃ] ἐνταῦθα schol. 7 παρέχοιμεν scripsi scholia Platonica secutus : παρέχωμεν A : παρέχομεν M τρίτον, intelleg. ἀπορεῖ εἰ δεῖ κοινῇ scripsi : εἰ δεῖ κοινῶς schol. : κοινῇ εἰ δεῖ (δὴ M : correxerat Ast) libri 10 οἱ om. M ὄντος κακοῦ Plat. τοῦ om. schol. 12 δὲ αὐτοῦ om. schol. (quod post Πλάτων desinit) ἀταξίαν] ἀταξίας M 14 ἀνάγκην] ἀνάγκη M (jam correxerat Ast) 16 μὴ δὲ A 21 αὕτη] αὐτή? 23 ὡς, ὦ rubr. A ποιήσωσιν Plat. 25 αὐτὸ scripsi cl. 36, 12, 19 al. : αὐτοῦ libri 27 ὑστέραν] ὕστερον M

77] αὐτὸς ὁ Πλάτων ἔφη, ζῴῳ δεῖ τὸν λόγον ἐοικέναι· ποῖον ἂν οὖν ζῷον εἴη τὰ μὲν κάτω ἄνω ἔχον, τὰ δὲ ἄνω κάτω; Ἔπειτα τοῦτο αὐτὸ ὃ νῦν εἴρηκε, καὶ μετ' ὀλίγον πάλιν ἐρεῖ· εἰπὼν γὰρ νῦν ὅτι μεταμέλει αὐτοῖς ἐπειδὰν παύσωνται τῆς ἐπιθυμίας, εὐθὺς ἐρεῖ· « ὥστε ἄδηλον εἰ ἔτι αὐτοῖς φίλοι ἔσονται ἐπειδὰν τῆς ἐπιθυμίας παύσωνται, » καὶ ταῖς αὐταῖς λέξεσι χρησάμενος ὡς οὐ λέξεως εὐπορῶν. Καὶ πάλιν τὸ αὐτὸ τοῦτο τρίτον λέγει ἐν τῇ ἀνακεφαλαιώσει. Ταῦτα μὲν αὐτὸς ἐπεσημήνατο <ὁ> Πλάτων. Ἐρεῖς δὲ καὶ σὺ ἐναντίον αὐτὸ εἶναι· ὁμολογεῖ γὰρ ὁπωσοῦν εὖ ποιεῖν τοὺς ἐραστὰς καὶ χάριτας παρέχειν τοῖς ἐρωμένοις καὶ ὑπὲρ τὴν ὑπάρχουσαν δύναμιν.

κη'. Ἔτι δὲ οἱ μὲν ἐρῶντες σκοποῦσιν] 231 A.

f°26v° Τοῦτο καὶ αὐτὸ ἀτάκτως κεῖται· ἔδει γὰρ αὐτὸ εἴπερ ἄρα πρὸ τοῦ προειρημένου κεῖσθαι, ἵνα τὴν οἰκείαν τάξιν εἶχε. Δεῖ γὰρ λογίσασθαι τοὺς πόνους αὐτούς, εἶθ' οὕτως μηκέτ' εἶναι φίλους μεταμεληθέντας ἐφ' οἷς ἔπαθον. Εἰς ταῦτ' οὖν ἀποβλέψας ὁ Σωκράτης ἔφη καὶ τὰ ἐπιχειρήματα χύδην εἰρῆσθαι καὶ σὺν οὐδεμιᾷ τάξει ἀναγκαίᾳ, ἀλλὰ τοῦ ἐπιγράμματος μηδὲν διαφέρειν τοῦ Μίδου.

κθ'. Ἔτι εἰ διὰ τοῦτο ἄξιον τοὺς <ἐρῶντας> 231 B.

Τοῦτο αὐτὸ τὸ ἐπιχείρημα ἀτάκτως κεῖται· ἔδει γὰρ εἴπερ ἄρα ἀπὸ τούτου ἦρχθαι, εἴπερ ἔδει ἀπὸ τοῦ μείζονος ἄρχεσθαι. Ἐν τούτῳ γὰρ λέγει ὅτι οὐ μόνον φίλοι οὐκ ἔσονται, ἀλλὰ καὶ κακῶς ποιοῦσι. Πρὸς δὲ τούτοις καὶ ἐναντίωμα λέγει· φησὶ γὰρ καὶ ἔργῳ καὶ λόγοις καὶ πᾶσι τρόποις τοῖς ἐρωμένοις χαρίζεσθαι τοὺς ἐραστάς, καὶ πάντας τοὺς ἄλλους κακῶς ποιεῖν, ἐὰν τοῖς ἐρωμένοις δοκῇ.

λ'. Καὶ γὰρ αὐτοὶ ὁμολογοῦσι νοσεῖν μᾶλλον ἢ σωφρονεῖν] 231 D.

Τοῦτο κοινὸν μὲν καὶ ὑπὸ παντὸς λεχθῆναι δυνάμενον, παρέρριπται δὲ ὑπὸ τούτου καὶ οὐκ ἐν δέοντι κεῖται. Ἔδει γὰρ αὐτὸ προειρῆσθαι, ὥσπερ καὶ ὁ Πλάτων ἀποδείξει, ὅτι νοσεῖ ὁ ἐρῶν, καὶ τοῦτο προθεὶς οὕτως τὰ

1 264 C (δεῖν πάντα λόγον ὥσπερ ζῷον συνεστάναι Plat.) 4 232 E 5 234 A (παυόμενοι τῆς ἐπιθυμίας Plat.) 16 264 B-D

NC 1 ποῖον scripsi : οἷον libri 4 τῆς ἐπιθυμίας παύσωνται Plat. 4-5 αὐτοῖς φίλοι ἔσονται] βουλήσονται φίλοι εἶναι Plat. 5 ταῖς αὐταῖς scripsi : αὐταῖς ταῖς libri 7 ὁ addidi 8 ποιεῖν] ποιεῖ M (jam correxerat Ast) 9 ὑπάρχουσαν] ὑπερέχουσαν M 11 ἔτι, ἕ rubr. A 15 ταῦτ' οὖν] τοῦτο νῦν 16 ἀναγκαίᾳ] ἀνατιθησι (sic) a; prioris scripturæ nunc videre est ἀναγκαί 18 ἔτι, ἕ rubr. A ἔτι δὲ εἰ A 19 τὸ scripsi : ὃν libri 22 καὶ ante ἐναντίωμα om. M 24 ἐὰν τοῖς] ἑαυτοῖς M (jam correxerat Ast) 25 καί, κ rubr. A ὁμολογοῦσιν Plat. 28 προειρῆσθαι] προσρῆσθαι M 29 προθεὶς scripsi : προσθεὶς libri

[77] λοιπὰ ἐπάξει. Ἐρεῖ γάρ· « νοσοῦντι πᾶν ἡδὺ τὸ μὴ ἀντιτεῖνον, κρεῖττον δὲ καὶ ἰσούμενον ἐχθρόν. »

λα'. Ὥστε πῶς] 231 D.

Καὶ τοῦτο ταὐτὸν τῷ δευτέρῳ ἐν ᾧ ἔφη· « τοὺς πόνους ὑπολογίζονται καὶ τὴν τῶν οἰκείων ἀμέλειαν, καὶ ἡγοῦνται τὴν ἀξίαν πάλαι ἀποδεδωκέναι χάριν. » Καὶ τῷ μετανοεῖν δὲ ταὐτόν.

λβ'. Καὶ μὲν δή] 231 D.

Τοῦτο [μὲν] καταγέλαστον εἰς τοὺς πλείστους ὁρᾶν ἐκλεγόμενόν τι καὶ μὴ εἰς τοὺς ὀλιγωτέρους. Καὶ γὰρ ἰατρὸν δέοι ἂν ἐκ τῶν ἀνιάτρων ἐκλέγεσθαι, καὶ τέκτονα καὶ μουσικὸν <ἐκ τῶν> μουσῶν καὶ τεκτονικῆς
p. 78 ἀπείρων. Ψεῦδος οὖν ὅλον τὸ ἐπιχείρημα καὶ καταγέλα|στον. Διὸ οὐδὲ προσποιήσεται αὐτὸ <ὁ> Πλάτων ἐν τῷ οἰκείῳ λόγῳ· δέοι γὰρ ἂν καὶ ῥήτορος χρείαν ἔχοντας ἐκ τῶν συρφετῶν ἐκλογὴν ποιεῖσθαι.

λγ'. Εἰ τοίνυν τὸν νόμον] 231 E.

f° 27 r° Λέγει τὸν νόμον εἶναι τοιοῦτον, ὡς νενομισμένου αἰσχροῦ τοῦ χαρίζεσθαι· τοῦτο δὲ πρῶτον μὲν παρ' ἱστορίαν ἐστίν, ἔτι δὲ καὶ ἐναντίωμα ἔχει. Εἰ γὰρ αἰσχρόν ἐστι τὸ χαρίζεσθαι κατὰ τὸν νόμον, οὐδενὶ χαριστέον οὔτε τῷ ἐρῶντι οὔτε τῷ μὴ ἐρῶντι· τὸ γὰρ αἰσχρὸν πρὸς οὐδένα ποιητέον οὐδὲ λεκτέον. Ὅτι δὲ παρ' ἱστορίαν ἐκ τῶνδε μαθεῖν ἔστι· καὶ γὰρ παρ' Ἀθηναίοις ἐφεῖτο ἐρᾶν καὶ τοῦ Ἔρωτος βωμοὶ καὶ ἀγάλματα ἦσαν καὶ Ἀντέρωτος, ὡς καὶ ἐπιγράμματά τε ἐπὶ τῶν ἀγαλμάτων ἐγέγραπτο ἐπαινοῦντα τὸ ἐρᾶν καὶ ὁ δρόμος γε ὁ μακρὸς τοῖς Παναθηναίοις ἀπὸ τοῦ βωμοῦ τοῦ Ἔρωτος ἐγίνετο· ἐντεῦθεν γὰρ ἅψαντες οἱ ἔφηβοι τὰς λαμπάδας ἔθεον καὶ τοῦ νικήσαντος τῇ λαμπάδι ἡ πυρὰ τῶν τῆς θεοῦ ἱερῶν ἐφήπτετο. Καὶ ἐν τῷ δήμῳ

1 238 E 14-24 ἐφήπτετο = schol. 231 E (p. 265 Herm.) 19 καὶ γὰρ — 24 ἐφήπτετο jam edid. Valckenaer in *Diatr. in Eur. perd. dram. rel.* 157 BC ex P 20 Ἔρωτος cf. Athen. XIII 561 d e 22 de Panathenæorum lampadephoria (τῇ τρίτῃ φθίνοντος) v. Aristoph. *Ran.* 1087 et schol.; Plut. *Sol.* 1 τὸ ἄγαλμα τοῦ Ἔρωτος ἐν Ἀκαδημίᾳ... ὅπου τὸ πῦρ ἀνάπτουσιν οἱ τὴν ἱερὰν λαμπάδα διαθέοντες; Serv. *in Æneid.* IV 520
24 de hoc nihil inveni : jocus est nescio quis ad similitudinem ψηφισμάτων expressus

NC 1 νοσοῦντι δὲ πᾶν Plat. μὴ om. Plat. cod. B 2 ἰσούμενον] ἴσον Plat. 3 ὥστε, ὤ rubr. A 4 ταυτὸν A, sic et 6 5 πάλαι τὴν ἀξίαν Plat. 6 τῷ] τὸ BM μετανοεῖν] κατανοεῖν BM 7 καί, κ rubr. A 8 μὲν seclusi 10 ἐκ τῶν addidit Ast 11 ψεῦδος] ψευδὲς M οὐδὲ] οὔτε M 12 ὁ addidi 13 ἔχοντας] ἔχοντος M 14 εἰ rubr. A εἰ τοίνυν (quod lemma esse intellexit Ast) τὸν νόμον λέγει τοιοῦτον schol. 15 λέγειν B νενομισμένος BC 16 τοῦτον BC 20 ἐφεῖτο τὸ ἐρᾶν F¹MP (ἐφοῖτο C) 21 τε] γε BFMP schol. ἐπαινοῦντα Ast : ἐπαινούντων libri 22 γε om. B¹MP 23 ἐγένετο P schol. ἅψαντες Valck. : ἁψάμενοι libri, sed in A non prima manu

[78] δὲ ἀπεφαίνοντο δύο ἐρῶντε οὕτω καὶ Ἐπιχάρης ἐρῶν εἶπεν Εὔδημον καλὸν εἶναι ἀναφανδόν. Κλεινόμαχος ἐρῶν εἶπε τὰ μὲν ἄλλα κατὰ τὰ αὐτὰ καθάπερ Ἐπιχάρης, Τιμόμαχον δὲ καλλίω εἶναι. Καὶ Αἰσχίνης δὲ Τίμαρχον ἑταιρήσεως διώκων ἔφη· « οὐκ ἐξαρνοῦμαι ἐρωτικὸς γεγονέναι καὶ ἔτι νῦν εἶναι καὶ τὰς ἐκ τοῦ πράγματος γιγνομένας ἀπεχθείας ὁμολογῶ κἀμοὶ γεγονέναι, ὁρίζομαι δὲ τὸ μὲν ἐρᾶν εἶναι τῶν καλῶν καὶ σωφρόνων φιλανθρώπου ἤθους [καὶ] πάθος καὶ ψυχῆς εὐγνώμονος, τὸ δὲ ἀσελγαίνειν ἀργυρίου τινὰ μισθούμενον ὑβριστοῦ καὶ ἀπαιδεύτου ἀνδρὸς εἶναι ἔργον. » Ὁ δὲ Σόλων ἐν τοῖς νόμοις καὶ πόσους πήχεις ἀπέχοντα ἀκολουθεῖν δεῖ τὸν ἐραστὴν τῷ ἐρωμένῳ δεδήλωκε, καὶ τοῖς ἐλευθέροις τὸ ἐπιτήδευμα τετήρηκε, δοῦλον κωλύσας ἐρᾶν ξηραλοιφεῖν τε, καὶ τὸν ἀστράτευτον καὶ τὸν λιπόντα τὴν τάξιν καὶ τὸν μὴ θρέψαντα τοὺς γονεῖς μηδὲ θάψαντα καὶ τὸν φρούριον προδεδωκότα. Καὶ ἐν τοῖς ποιήμασιν ὡς καλοῦ τοῦ ἐρᾶν μνημονεύει λέγων·

ὄλβιος ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
καὶ κύνες ἀγρευταὶ καὶ ξένος ἀλλοδαπός·

καὶ ἔτι·

f° 27 v° ἔργα δὲ | Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσῶν ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

Τὰ δὲ περὶ Κρητῶν ἢ Λακώνων ἢ Βοιωτῶν ἢ τῶν ἄλλων Ἑλλήνων, ὅπως εἶχον περὶ τὸ ἐρᾶν, μακρὸν ἂν εἴη λέγειν.

Εἰκότως ἂν μᾶλλον τοὺς ἐρῶντας φοβοῖο· πολλὰ γάρ ἐστιν

3 *in Timarch*. 136-7 9-19 εὐφροσύνας = schol. cit. 12 cf. ÆSCH. *l. c.* et PLUT. *l. c.* 14 fr. 23 et 24 Bergk[4] 20 ATHEN. *l. c.* de Cupidinis cultu loquitur apud Lacedæmones, Cretenses, Bœotos

NC 1 δύο ἐρῶντε AST : δυ' ἐρῶεν AB[2]CF (pro δυ' spat. vac. in E) : locus corruptus 2 ἀναφανδὸν dubitanter scripsi : ἀνα (lac. circa sex litt.) ὸν AE : ἀναὸν BCF : ἀνατὸν AST Κληνόμαχος et Αἰσχύνης F 3 Τίμαρχον] Τίμαχον BC : Τιμόμαχον F 4 ἑτερήσεως EF οὐκ] οὔτ' αὐτὸς Æsch. μὴ οὐ γεγονέναι ἐρωτικὸς Æsch. ἐρωτικὸν a 5 καὶ ἔτι καὶ νῦν Æsch. καὶ τὰς] τάς τε Æsch. τοῦ om. BM γενομένας M 6 ὁμολογῶ Æsch. οἶμαι λόγῳ libri κἀμοὶ] καλὸν BM εἶναι τὸ μὲν ἐρᾶν Æsch. 7 ἤθους πάθος scripsi : ἤθους καὶ πάθους libri : πάθος Æsch. εὐγνώμονος ψυχῆς Æsch. (εὐγνώμονα E) 8 ἀσελγένειν F 9 ἔργον εἶναι ἡγοῦμαι Æsch. 10 πήχης BC δεῖ om. BM τὸν ex των ut videtur A 11 κολύσας C 12 τε schol. : δὲ libri καὶ τὸν — τάξιν om. schol. 13 γωνεῖς C τὸν] τὸ M δεδωκότα BMC (jam correxerat AST) 14 καὶ ἐν τοῖς in rasura a, ut videtur μνημονεύειν λόγων BC 15 ὄλβιοι BECF ᾧ AST : ὦ libri 16 ἀλλοδαπῶς B[1] 18 ἔργα] ἔρα BC : ἐρᾶ F δὲ] τὰ AST errans (SCHANZ *Herm*. XVIII 129, n.) 19 Μουσῶν ἃ AST : Μουσάων libri : Μουσέων schol. τίθησιν libri εὐφροσύνης F 20 κριτῶν E βιωτῶν B[1]F ἢ τῶν] καὶ τῶν M 21 λέγειν] ἐκλέγειν M 22 εἰκότως, εἰ rubr. A ἂν libri : δὴ SCHANZ μᾶλλον τοὺς ἐρῶντας] τοὺς ἐρῶντας μᾶλλον M Plat. μᾶλλον ἂν Plat. cod. B ἐστιν αὐτοὺς] αὐτούς ἐστι Plat.

[78] αὐτοὺς τὰ λυποῦντα] Ταῦτ' ἦν ἅπερ ἔδει προειρῆσθαι· ταῦτα γὰρ λέγει οἷός ἐστιν ὁ ἐρῶν ὁπόταν ἐρᾷ, τὰ δὲ προειρημένα οἷος μετὰ τὸ παύσασθαι τοῦ ἔρωτος.

λδ'. Καὶ μὲν δὴ τῶν μὲν ἐρώντων πολλοὶ πρότερον] 232 E.

Τοῦτο ψεῦδος· μάλιστα γὰρ οἱ ἐρῶντες φιλίας ἀντιποιοῦνται· οὐδεὶς δὲ φιλίας ἀντιποιεῖται ὅστις τὸν τρόπον οὐ θέλει μαθεῖν τῶν πρὸς οὓς ἡ φιλία γενήσεται...

λε' Δαιμονίως] 234 D.

Ἀντὶ τοῦ ὑπερφυῶς, ὅτι ὑπὲρ τὴν φύσιν καὶ τὸ αἰσθητὸν κάλλος ἐστὶ τὸ ἐν λόγοις καλόν, ἀυλότερον ὂν καὶ καθαρώτερον τοῦ ἐν τῇ φύσει καλοῦ. Τὸ δὲ « δαιμονίως » φησὶν ὁ Σωκράτης ἐκπληττόμενος τὴν πανουργίαν καὶ τὸ δόλιον καὶ κεκρυμμένον τοῦ σοφιστοῦ. Σημαίνοι δ' ἂν τὸ δαιμονίως πολλά· πρῶτον μὲν [ὅτι], ἐπειδὴ δεύτεροί εἰσι μετὰ τοὺς θεοὺς οἱ δαίμονες, σημαίνοι ἂν ὅτι οὐ θείως καὶ ἐπιστημονικῶς εἶπεν ὁ ῥήτωρ, ἀλλὰ ὑφειμένως καὶ δευτέρως· σημαίνοι δ' ἂν καὶ ὅτι μέσως εἶπε· μέσον γὰρ τὸ δαιμόνιον τῶν τε θεῶν καὶ ἀνθρώπων. Ἔπειτα πρῶτον τὸ δαιμόνιον μετέχει τοῦ ἀγαθοῦ καὶ κακοῦ· οὐ γὰρ θεοὶ οὐδὲ ἄγγελοι· δηλοῖ οὖν ὅτι καὶ ἀγαθόν τι ἔχει καὶ κακὸν ὁ τοῦ Λυσίου λόγος· ἀγαθὸν μὲν φαινόμενον,
p. 79 τὴν γὰρ συνθήκην | τῶν ῥημάτων, κακὸν δὲ κεκρυμμένον, τὴν γὰρ ἀκόλαστον αὐτοῦ ἐπιθυμίαν ἐδείκνυ. Ἔπειτα καὶ ὁ Ἔρως δαίμων μέγας ἐν Συμποσίῳ ἐρρήθη. Δηλοῖ δὲ καὶ τὸ μεμερισμένως αὐτὸν ἀντιλαβέσθαι τοῦ καλοῦ καὶ οὐχ ἡνωμένως οὐδὲ ἑνιαίως· δαίσασθαι γὰρ τὸ μερίσασθαι. Τοσαῦτα οὖν ἂν ἡμῖν σημαίνοι τὸ δαιμονίως. — Τὸ δὲ ὥστε με ἐκπλαγῆναι δηλοῖ μὲν τὴν ἀπόνοιαν τοῦ σοφιστοῦ, ὅτι ἐσχηματίζετο τὸ μὴ ἐρᾶν ἐρῶν· διὸ ἐκπλήττεται αὐτοῦ τὴν ἀπόνοιαν ὁ Σωκράτης καὶ κακουργίαν. Θεωρητικῶς δ' ἂν εἴποις ὅτι καὶ τὰ τελευταῖα ἴχνη τοῦ καλοῦ ἐκπλήττεται ὁ Σωκράτης ὡς ἴνδαλμα ἔχοντα τοῦ αὐτοκαλοῦ, καὶ ἅπερ ἂν κατάσχῃ
f°28 r° τὸ καλόν, καλὰ ἐκεῖνα δεικνύει· | ὅπερ εἶχε καὶ ἡ συνθήκη τῶν ῥημάτων τοῦ Λυσίου. — Τὸ δὲ ἡγούμενός σε μᾶλλον ἢ ἐμὲ ἐπαΐειν δηλοῖ

12 cf. schol. 234 D (p. 265 Herm.) : δαιμονίως] πανούργως, δολίως, κεκρυμμένως 21 *Conviv.* 202 D 22 δαίσασθαι aliter *Crat.* 398 B

TIT 12 τὸ δαιμονίως σημαίνει πολλά C

NC 1 ἦν] αὖ M λέγει] λόγου M : λέγου B 2 οἷός scripsi : ὅς a et libri ὁπότ' ἂν A[a] 4 καί, κ rubr. A 5 καὶ μάλιστα BC 7 desunt scholia in alteram Lysianæ orationis partem 8 δαιμονίως, δ rubr. A 12 σημαίνοι] σημαίνει BM 13 ὅτι seclusi 14 σημαίνει BC 15 σημαίνει EB[1] 16 τε om. E 17 καὶ τοῦ καλοῦ E ἄγγελοι] ἄγγελος M 18 καὶ ante ἀγαθόν om. M 19 καλὸν E 21 ἐρρέθη AE 23 ἡμῖν om. M ὥς τέ με A 26 θεωρικῶς E δ' om. M 27 ἅπερ scripsi : ὅπερ libri 29 ἡγούμενος γάρ σε Plat.

[79] ὅτι μᾶλλον προστετήκει τῷ φαινομένῳ κάλλει ὁ Φαῖδρος. — Τὸ δὲ σοὶ εἰπόμην ἀντὶ τοῦ « σοῦ προυνοούμην. » — Τὸ δὲ συνεβάκχευσα ἀντὶ τοῦ « μεμερισμένως ἐνήργησα. » Βάκχαι γὰρ ἔφοροι τῆς μερικῆς δημιουργίας· ἀντὶ τοῦ « συνεμερίσθην κἀγὼ περὶ τὸν Λυσίου λόγον καὶ κατέβην ἀπ' ἐμαυτοῦ. » — Τὸ δὲ τῆς θείας κεφαλῆς τὸ ἀκρότατον αὐτοῦ καὶ τὸ ἓν τῆς ψυχῆς δηλοῖ περὶ ὃ καὶ ὁ ἐνθουσιασμὸς γίνεται. — Τὸ δὲ παίζειν δηλοῖ μὲν καὶ τὴν Σωκράτους περὶ τὸν λόγον ἐνέργειαν· καὶ γὰρ παιδιὰ θεῶν ὁ αἰσθητὸς κόσμος εἴρηται, διότι ὡς πρὸς τὰς προηγουμένας αὐτῶν ἐνεργείας τὰς πρὸς τὰ οἰκεῖα αἴτια παιδιά ἐστιν ὁ αἰσθητὸς κόσμος, σπουδῆς μέντοι ἐχόμενος, καθότι ὡς οἷόν τε ἄριστα ἔχειν οὕτως ἔχει. Τὸ δ' αὐτὸ καὶ περὶ τὴν θεωρίαν τοῦ Λυσίου λόγου πάσχει ὁ Σωκράτης· κάτεισι γὰρ ἀπὸ τῆς ἑαυτοῦ νοερᾶς θεωρίας εἰς τὴν τοῦ λόγου ἐξέτασιν, καθὸ καὶ δοκεῖ παίζειν· καὶ μέντοι καὶ σπουδάζειν καθὸ σῴζει καὶ διορθοῦται τὸν νέον.

λϛʹ. Ἀλλ' ὡς ἀληθῶς εἰπὲ πρὸς Διὸς φιλίου] 234 E.

Οὐχ ὡς εἰς μονάδα τὸν Δία πάντα ἀνάγεται τὰ ὀνόματα· καὶ γὰρ φίλιος ὁ Ζεὺς λέγεται καὶ ξένιος καὶ κτήσιος· ἄλλοι δὲ ἄλλας δυνάμεις αὐτοῦ ἐμερίσαντο. Καὶ γὰρ δαίμων λέγεται ξένιος, καὶ θεός· « ὁ ξένιος ἑκάστου δαίμων, φησὶν ἐν Νόμοις, τῷ ξενίῳ συνεπόμενος. » Ὁμοίως καὶ φίλιος δαίμων. Μόνον δὲ ἐνταῦθα ὁ Φαῖδρος τὸν Σωκράτην φίλιον προσεῖπεν ὡς μέλλων λοιπὸν πρὸς αὐτὸν ἐπιστρέφειν.

λζʹ. Ὡς τὰ δέοντα] 234 E.

Τὰ μὲν δέοντα λέγει ἀντὶ τοῦ τἀγαθά· δέον γὰρ τὸ ἀγαθόν· παρὸ δεσμεῖ ἐκεῖνο ὃ ἂν κατάσχῃ· ἑνώσεως γὰρ πᾶσι μεταδίδωσι τὸ ἀγαθόν, τουτέστι τὸ ἕν. Ποῦ δὲ εἶπεν ὁ Φαῖδρος δέοντα εἰρηκέναι τὸν ῥήτορα, ἐπειδὴ ὁ Σωκράτης ὡς αὐτοῦ εἰρηκότος ἐχρήσατο; Ἢ ἐπειδὴ εἶπε μηδένα τῶν Ἑλλήνων ἔχειν εἰπεῖν πλείω καὶ μείζω κατὰ τὴν δύναμιν, ὁ δὲ

8 εἴρηται cf. *add. et corrig.*, 5 19 *Leg.* V, 730 A 23 δεσμεῖ aliud in *Crat.* 418 E

NC 1 προστετήκει] προστέτηκε M 2 προυνοούμην] προνοούμην M (προΰνοούμην sic A[1]) 3 τοῦ ante μεμερισμένως om. M 5 ἐμαυτοῦ] αὐτοῦ M 10 μέντοι] γάρ τοι E οἷόν τε] εἶέν τι E 12 τῆς] τῶν M νοερᾶς] ἱερᾶς a sed prioris scripturæ νο nunc legere est 13 δοκεῖ παίζειν pro lectione codicis T in Plat. pugnat fort. σπουδάζει legendum 15 ἀλλ', ἀ rubr. A 16 Οὐχ om. M (junge οὐχ... ἀνάγεται) 17 λέγεται] ἐστι A[a] (vel potius aliquod compendium quod nihili est) ἄλλοι] ἄλλα M ἄλλας] ἄλλαν A[a] per compendium αὐτοῦ om. E 18 ὁ ξένιος scripsi coll. Plat. : ξένιος· ὁ libri 19 ἑκάστου] ἑκάστων Plat. δαίμων φησίν M φησὶ δαίμων A δαίμων καὶ θεός Plat. τῷ om. E συνεπόμενοι Plat. post συνεπόμενος inseruit τῷ Διί M (Διί Plat.) 22 ὡς, ὠ rubr. A 23 τἀγαθὰ] ἀγαθὰ M 24 τοῦτο ἔστι libri 26 εἰρηκότως E 27 μείζω καὶ πλείω Plat. κατὰ τὴν δύναμιν πλείω καὶ μείζω M

[79] μήτε πλείω μήτε μείζονα ἔχων εἰπεῖν τὰ δέοντα εἴρηκε, τούτου χάριν καὶ ὁ Σωκράτης αὐτῷ ἐχρήσατο. — Ποιητὴν δὲ κοινότερον λέγει τὸν ῥήτορα· ποιεῖ γὰρ καὶ οὗτος λόγους. — Διὰ δὲ τοῦ εἰπεῖν σαφῆ καὶ στρογγύλα καὶ ἀποτετορνευμένα δηλοῖ ὅτι φαινόμενον μὲν ἔχει κάλλος ὁ λόγος καὶ αἰσθητόν, τὸ δὲ ἀεὶ ὂν καὶ ἀσώματον καὶ καθαρόν τε καὶ νοητὸν οὐκ ἔχει. Τὸ μὲν οὖν σαφὲς τὸ φανερὸν καὶ εὔληπτον τῇ αἰσθήσει δηλοῖ· τὸ δὲ στρογγύλον τὸ ἐσχηματισμένον καὶ περιγεγραμμένον· τὸ δὲ ἀποτετορνευμένον τὸ ἀντίτυπον καὶ σκληρόν. Δηλοῖ οὖν διὰ τούτων ὅτι ὃ μὲν ἂν κάλλος ἔχοι [ἢ] τὸ αἰσθητὸν καὶ ἔνυλον τοῦτο ἔχει ὁ λόγος, οὐκ οἶδε δὲ ὁ Λυσίας τὸ ἀσαφὲς κάλλος, τουτέστι τὸ νοητὸν καὶ νῷ μόνῳ ληπτόν, οὐδὲ τὸ ἀσχημάτιστον καὶ ἀχρώματον οὐδὲ τὸ ἀσώματον καὶ ἀναφές.

λη'. Ἐπεὶ ἐμέ γε ἔλαθεν] 234 E.

Ἆρ' οὖν ἔλαθε τὸν Σωκράτην, ἢ προσποιεῖται μὲν κατὰ τὴν εἰωθυῖαν
p. 80 αὐτῷ εἰρωνείαν, ἔλαθε δὲ λέγει; καὶ τοῦτο σημαίνει παρὰ τοῖς θεολό|γοις τὸ ἔλαθε τὸ κατὰ τὴν οἰκείαν ἰδιότητα ἐνεργεῖν καὶ μὴ κατὰ τὴν τῶν ὑπερκειμένων αἰτίαν σύμπνοιαν· τοῦτο γὰρ δηλοῖ καὶ τὸ μίγνυσθαι τοὺς θεοὺς |

f° 28 v° φίλους λήθοντε τοκῆας

τὸ κατὰ τὴν οἰκείαν ἑαυτῶν οὐσίαν καὶ ἰδιότητα ἐνεργεῖν μὴ ἀνατεινομένους ἐπὶ τὰ αἴτια αὐτῶν μηδὲ ἐκεῖθεν δυναμένους. Λέγοι ἂν οὖν ὁ Σωκράτης ὅτι « ὁ Λυσίας καθ' ἑαυτὸν ὡς εἶχε δυνάμεως διατιθεὶς τὸν λόγον ἐμὲ περὶ τὰ ὑπέρτερα ἐνεργοῦντα ἔλαθε. » — Τὸ τῆς οὐδενείας οὐκ ἀσθένειαν ἀλλὰ δυνάμεως ὑπερβολὴν σημαίνει· τὸ γὰρ δύναμιν ἔχον περὶ τὰ νοητὰ ἐνεργεῖν ἀδυναμίαν ἔχει τοῦ προσέχειν τοῖς αἰσθητοῖς· φαινομένη γάρ ἐστιν αὕτη ἡ δύναμις ἡ περὶ τὰ ἔνυλα οὖσα, ὡς καὶ φαινομένη λέγεται δύναμις ἡ τοῦ τυράννου· ἡ γὰρ δύναμίς ἐστι τῶν ἀγαθῶν καὶ ἀρίστων.

λθ'. Τοῦτο ἐγώ σοι οὐκέτι] 235 B.

Ἐξ ἀρχῆς μὲν εἶπεν ὁ Φαῖδρος ὅτι οὐδεὶς τῶν Ἑλλήνων τοιαῦτα ἂν εἴποι· καὶ τὸ μὲν πάντη οὐ συνεχώρησεν ὁ Σωκράτης, τὸ δὲ πῇ μὲν συνε-

11 cf. 247 C   18 Hom. Ξ 296 (partim a Platone laudatum *Rep.* III 390 C)   28 ἐξ ἀρχῆς 234 E

NC 1 εἰπεῖν om. M   2 αὐτῷ] ἂν M   3 τοῦ] τὸ M   4 καὶ ἀκριβῶς... ἀποτετόρνευται Plat., cf. 2, 5   κάλλος ἔχει M   7 τὸ ἐσχηματισμένον : τὸν ἐσχηματισμένον AE   8 ἀντίτυπον A ut vid. ἀντίλυπον M (jam correxerat Ast)   τούτων] τοῦτο M   9 ἢ seclusi   ἔχει M : ἔχοι A   οἶδε A   10 μόνῳ] μόνον M   12 ἐπεί, ἐ rubr. A   14 ἐρωνείαν B   15 τὸ ἔλαθε om. M (καὶ τὸ ἔλαθε BD)   οἰκίαν E   καὶ μὴ — 19 ἰδιότητα ἐνεργεῖν om. B'DFM   16 τοῦτο] τὸ E   γὰρ ex γοῦν A   18 λήθοντο A[a]   20 αὐτῶν M : ἑαυτῶν A   μὴ δὲ A   μηδὲν B'   21 ὡς εἶχε vix legi potest in A   22 οὐδενίας Plat. cod. T   24 προσέχειν τοῖς vix legi potest in A : προσεγγ... a   27 τοῦτο, τ rubr. A

[80] χώρησε, πῇ δὲ οὐ συνεχώρησε. Τὸ γὰρ σαφῆ καὶ στρογγύλα καὶ ἀποτετορνευμένα αὐτὸν εἰρηκέναι συνεχώρησε, τὸ δὲ τὰ δέοντα εἰρηκέναι ἐξ ἀρχῆς μὲν πάντῃ ἠρνήσατο, ἔπειτα συνεχώρησεν εἰς χάριν Φαίδρου· ὥστε πῇ μὲν συνεχώρησε, πῇ δὲ οὐ συνεχώρησεν. Ἐπειδὴ δὲ νῦν εἶπεν ὁ Φαῖδρος « μηδ' ἂν ἕνα ποτὲ ἀνθρώπων δύνασθαι εἰπεῖν ἄλλα πλείω, » διὰ τοῦτο οὐκέτι αὐτῷ συγχωρεῖ ὁ Σωκράτης· οὐ γὰρ πάντων ἀνθρώπων ἀμείνω ὁ Λυσίας εἶπεν· ὅλως γὰρ τὸν ψυχικὸν καὶ σωφρονικὸν ἔρωτα οὐκ οἶδεν.

μ'. Παλαιοὶ γὰρ καὶ σοφοί] 235 B.

Πρὸ τοῦ εἰπεῖν τί ἐστιν ὁ ψυχικὸς καὶ σώφρων ἔρως βούλεται αὐτῷ δοξαστικῶς ἐπιδεῖξαι ὅτι ἔστι πρῶτον τοιοῦτος ἔρως σώφρων καὶ κόσμιος, καὶ παράγει Σαπφὼ καὶ Ἀνακρέοντα οἱ ἐκ τῶν ἐξ ἀιδίου ἐνυπαρχόντων ἐν ταῖς ψυχαῖς αὐτῶν κατ' οὐσίαν λόγων ἐκ τοῦ δημιουργοῦ προβαλόντες αὐτοὺς κατ' ἐνέργειαν, κατεκόσμησαν τὴν ἑαυτῶν ζωήν. Ἐπεὶ οὖν οἱ θεολόγοι εἰς ἄρρεν καὶ θῆλυ διαιροῦσι τοὺς θεοὺς καὶ τῶν ψυχῶν αἳ μὲν τοῖσδε αἳ δὲ τοῖσδε προσήκουσι τῶν θεῶν, ὡς καὶ ἐν Συμποσίῳ εἴρηκεν ἐν τῷ Ἀριστοφάνους λόγῳ, διὰ τοῦτο καὶ αὐτὸς Σαπφὼ καὶ Ἀνακρέοντα παρέλαβε, τὴν μὲν τῷ θήλει πρέπουσαν, τὸν δὲ τῷ ἄρρενι. — Τὸ δὲ παλαιοί τὸ ἀίδιον καὶ πρὸ χρόνου παντὸς σημαίνει· (« παλαιὸς μὲν οὖν ἐστί τις λόγος, » φησὶν ἐν Φαίδωνι) ὅτι ἐξ ἀιδίου ἐστὶν ἐν ταῖς ψυχαῖς ὁ σώφρων ἔρως. Καὶ ὁ μὲν Φαῖδρος ἅτε τῇ αἰσθήσει καὶ τοῖς ἀτόμοις συντεθραμμένος ἐρωτᾷ· « τίνες οὗτοι καὶ ποῦ; » Ὁ δὲ Σωκράτης εἰδὼς ὅτι πρὸ χρόνου παντός ἐστιν ἡ τοιαύτη οὐσία καὶ δύναμις τῆς ψυχῆς ἡ κατὰ τὸν μέσον τέως ἔρωτα τὸν ψυχικὸν καὶ σώφρονά φησι· « νῦν μὲν οὕτως οὐκ ἔχω σοι εἰπεῖν· » οὐ γὰρ ἔστιν ἀνενεγκεῖν χρόνον ἐξ οὗ ταῦτα ἔχομεν· διὸ καὶ ὁ Ἀλκιβιάδης οὐκ ἔχει χρόνον εἰπεῖν ἐν ᾧ ἔμαθε τὰ δίκαια, διὰ τὸ ἐξ ἀιδίου πρὸ χρόνου παντὸς εἰληφέναι αὐτὰ παρὰ τοῦ δημιουργοῦ τὴν ψυχήν. Ἐπεὶ δὲ ἐν τοῖς ἑξῆς « τὸ θεῖον » φησὶν « ἅπαν ἐστὶ καλόν, σοφόν, ἀγαθόν, » πάντων δὲ ἡ ἀναγωγὴ ἐπὶ τὸ ἓν καὶ τἀγαθὸν γίνεται διὰ τοῦ καλοῦ καὶ τοῦ σοφοῦ, τουτέστι δι' ἐρωτικῆς καὶ φιλοσοφίας (τὸ γὰρ σοφὸν τὸ γνωστικὸν σημαίνει τῶν θεῶν, ὥσπερ τὸ καλὸν τὴν καλλονήν), διὰ τοῦτο εἶπε « Σαπφοῦς τῆς

16 *Convio.* 190 B 20 *Phædon.* 70 C 26 *Alcib.* I 109-110 28 246 D

NC 2 καὶ ἀποτετορνευμένα cf. 41, 4 4 δὲ post ἐπειδὴ om. M 5 μηδ' ἂν ἕνα] μηδένα Plat. codd. (sed μηδ' ἂν marg. t) : μηδέν' ἂν Ald. et edd. : Hermiæ lectio præferenda : cf. 2, 16 ἀνθρώπων om. Plat. 6 αὐτοῦ E οὐ γὰρ] οὐδὲ M 9 παλαιοί, π rubr. A 10 εἰπεῖν] ἐρεῖν M 13 ἐκ τοῦ δημιουργοῦ λόγων M 16 καὶ ante ἐν om. M 17 λόγῳ om. M 19 παντὸς] πολλοῦ E[1] 20 incertum an post λόγος Hermias οὗτος legerit ἐστὶν om. E 24 σώφρονα φησὶ A 25 σοι om. Plat. 27 διὰ scripsi : καὶ libri. 28 τὸ δὲ θεῖον καλὸν κτέ Plat. 32 καλονὴν E

[80] καλῆς ἢ Ἀνακρέοντος τοῦ σοφοῦ. » Ἴσως δὲ καλὴν τὴν Σαπφὼ εἶπεν ὡς μάλιστα περὶ Ἀφροδίτης ἐγκώμια καὶ ὕμνους διατρίψασαν· Ἀφροδίτη f° 29 r° δέ ἐστιν ἡ ἔφορος θεὸς τοῦ κάλλους | καὶ ἐπιλάμπουσα πᾶσι τὸ καλόν. Ἀνακρέων δὲ σοφὸς ὡς φιλόσοφος καὶ ἐπιστήμων· πάντες δὲ πάντα εἰσί, προλάμπει δὲ κατὰ τόδε. Πάντες οὗτοι οἱ ποιηταὶ τὸν σώφρονα ἐνεκωμίασαν ἔρωτα.

μα'. Πλῆρές πως ὦ δαιμόνιε τὸ <στῆθος>] 235 C.

Ἆρ' οὐκέτι ἐν τῷ ἐγκεφάλῳ τὸ φρονοῦν; Ἢ ὃ αἰνίττεται, τοῦτο ἔστιν· ἐπειδὴ ὁ Σωκράτης εἶχε καὶ ἄκρας ἐνθουσιαστικὰς ἐνεργείας καὶ μέσας καὶ τελευταίας, τὰς μὲν τελευταίας διὰ τοῦ ποδὸς δηλοῖ· « ὥς γε τῷ ποδὶ τεκμήρασθαι· » τὰς δὲ μέσας καὶ ψυχικὰς διὰ τοῦ στήθους· τὰς p. 81 δὲ νοερὰς καὶ θείας διὰ | τῆς κεφαλῆς· « μετὰ σοῦ θείας κεφαλῆς· » φησὶ καὶ ἑξῆς· « ὑπερῆρεν εἰς τὸν ἔξω τόπον τὴν τοῦ ἡνιόχου κεφαλήν. » Ἐπεὶ οὖν νῦν βούλεται ἐνεργῆσαι ὁ Σωκράτης κατὰ τὸν ψυχικὸν ἔρωτα τὸν σώφρονα καὶ αὐτῆς τῆς ψυχῆς, διὰ τοῦτο πλῆρες ἔφατο ἔχειν τὸ στῆθος τῶν τοιούτων λόγων, τὸ μέσον τοῦ ἔρωτος [τοῦ σώφρονος] διὰ τοῦ μέσου μέρους τοῦ σώματος παριστάς. Οὐκ οἴεται δὲ οὐδὲ τὸν Ἀνακρέοντα καὶ Σαπφὼ τὸν ἄκρον καὶ ἀναγωγὸν καὶ ἐνθουσιαστικὸν ἔρωτα ἐπιτηδεῦσαι, ἀλλ' οὐδὲ τὸν ἀποπεπτωκότα τὸν ἀκόλαστον, περὶ δὲ τὸν μέσον ἐσπουδακέναι τὸν σωφρονικὸν καὶ κόσμιον καὶ αὐτὴν πᾶσαν τὴν ψυχὴν καὶ πάντα τὸν ἄνθρωπον κατακοσμοῦντα. Διὸ καὶ αὐτὸς ὁ Σωκράτης ἔξωθεν εἰσδέξασθαι αὐτά φησι καὶ οὐκ ἀπὸ τῆς ἄκρας ἑαυτοῦ οὐσίας αὐτὰ προβάλλειν· ἡ γὰρ οἰκεία αὐτοῦ ἐνέργεια ἡ ἔνθους καὶ ἀναγωγός ἐστι. — Καὶ ἡ ἀμαθία δὲ πάλιν οὕτως εἴρηται ὡς ἡ οὐδένεια ἡ κρείττων μαθήσεως, καὶ ἡ νώθεια κρείττων ταύτης τῆς αἰσθητῆς γνώσεως, καὶ τὸ ἐπιλελῆσθαι τὸ μὴ ἔχειν χρόνον εἰπεῖν ἀφ' οὗ τὴν γνῶσιν τούτων εἰλήφαμεν. — Τὸ δὲ πεπληρῶσθαι δίκην ἀγγείου ὅτι ὡς εἴρηται ὡς πρὸς τὴν ἀναγωγὸν καὶ ἐνθουσιαστικὴν αὐτοῦ ἐνέργειαν, ἥτις ἐν τῷ ἄκρῳ τῆς ψυχῆς αὐτοῦ ἐγγίνεται, οἷον ἐπίκτητα καὶ ἀλλότρια αὐτοῦ δοκεῖ εἶναι ἃ μέλλει λέγειν ἐπαινῶν τὸν σώφρονα ἔρωτα.

10 230 B 12 234 D 13 248 A 24 εἴρηται cf. 41, 22

NC 2 ὕμνους καὶ ἐγκώμια M 3 καὶ vix legitur in Aa 4 πάντες δὲ πάντα εἰσὶ] πάντα δὲ πάντα εἰσὶ M : πάντα δὲ πάντῃ ἐστὶ Ast : fort. <ὃ> πάντες [δὲ] ποιηταί εἰσι 5 ἐνεγκωμίασαν M 7 πλῆρες, π rubr. A πλῆρες πῶς A 10 διὰ τοῦτο δὸς E ὡς etiam Aristænetus (I 3 p. 14 Boisson.) : ὥστε Plat. codd. 11 τεκμήρασθαι] τεκμαίρεσθαι a 12 οερὰς A : ν addidit a μετὰ — κεφαλῆς om. M 17 τοῦ σώφρονος seclusi παριστάς] παριστᾶν M (jam correxerat Ast) 20 τὸν ante μέσον EM : τὸ Aa 21 ἄνθρωπον BM : ἄνον E, fort. A : ἄνω Aa 24 ἐστι vix legi potest in A 28 αὐτοῦ EBM : ἂν ut vid. Aa (αὐ etiam nunc cernitur)

[81] μϐ΄ Καὶ σοὶ ἐγώ] 235 D.

Τὸ μὲν λεγόμενον τοιοῦτον· οἱ ἐννέα ἄρχοντες παρ᾽ Ἀθηναίοις ὅ τε πολέμαρχος καὶ ὁ βασιλεὺς καὶ ὁ ἐπώνυμος τοῦ ἐνιαυτοῦ καὶ οἱ θεσμοθέται κατ᾽ ἐνιαυτὸν καθιστάμενοι ὤμνυον μηδὲν παρὰ τὸ ὀρθὸν πρᾶξαι· εἰ δὲ φωραθέντες ἔτυχον, τῷ Ἀπόλλωνι [ἐκ καταδίκης] ἐν Δελφοῖς ἔπεμπον χρυσῆν εἰκόνα, ἐπὶ καταδίκῃ μὲν τοῦ ἄρχοντος, χαριστήριον δὲ τῷ θεῷ παρὰ τῆς πόλεως. Αἰνίττεται δὲ διὰ τούτου ὅτι « ἐάν μοι καλλίονα τοῦ Λυσίου λόγου ἄλλον εἴπῃς, πᾶν τὸ εἰκονικὸν καὶ ἐμφανὲς τοῦ κόσμου κάλλος ἐξάψω τῆς ἡλιακῆς σφαίρας· » οἱ γὰρ Δελφοὶ καὶ ἡ Πυθὼ σύμϐολόν ἐστι τῆς ἡλιακῆς σφαίρας. Τοῦτο οὖν δηλοῖ ὅτι τὸ ἐπιτήδειον εἰς κατακόσμησιν ὅπερ ἐστὶ τὸ πλημμελῶς κινούμενον, ἀνατεινόμενον ἐπὶ τὸν χορηγὸν τοῦ κάλλους, ὅς ἐστιν ὁ βασιλεὺς ἥλιος ἐν ᾧ καὶ ὁ Ἀπόλλων, ἐντεῦθεν κατακοσμεῖται. Πᾶσα γὰρ ἡ γένεσις καὶ ὁ αἰσθητὸς κόσμος, ὅς ἐστιν εἰκὼν τοῦ νοητοῦ, καλλύνεται καὶ λαμπρύνεται ἐκ τοῦ δεσπότου ἡλίου. — Τὸ δὲ ἰσομέτρητον ἐπειδὴ ὁμοιότητά τινα ἔχει τὸ ἐμφανὲς καὶ τὸ εἰκονικὸν κάλλος πρὸς τὸ νοητὸν καὶ οἷον ἴσον ἐστὶν αὐτῷ κατὰ ἀναλογίαν· οὐ γὰρ πάντῃ ἀπέσχισται.

μγ΄. Καὶ τῶν μὲν τοιούτων οὐ τὴν εὕρεσιν] 236 A.

Τοιαῦτα μὲν καὶ τοιούτων λέγει <περὶ> τῶν ἀναγκαίων, ὧν χωρὶς οὐ δυνατὸν εἶναι. Τρία γάρ ἐστι ταῦτα· ἀναγκαῖα, αἱρετά, φευκτά.
f°29v° Τὰ μὲν οὖν φευκτὰ οὐ βουλόμεθα· τὰ δὲ αἱρετὰ εὑρεῖν | βουλόμεθα καὶ εὑρόντες χρῆσθαι αὐτοῖς δεόντως· τὰ δὲ ἀναγκαῖα ἐξ ἀνάγκης ἔχομεν καὶ οὐ δυνάμεθα μὴ θέλειν αὐτά· διὸ οὐ μεμφόμεθα τὸν ἔχοντα αὐτά, ἀλλὰ τὸν κακῶς αὐτοῖς χρώμενον καὶ κακῶς διατιθέντα αὐτά, οἷον τὴν τροφήν· τὸ δὲ συμφέρον ἑαυτοῖς, τουτέστι τὸ αἱρετόν, καὶ εὑρεῖν θέλομεν καὶ εὖ χρῆσθαι αὐτῷ· καὶ τὸν ἐν τοῖς ἀπόροις καὶ χαλεποῖς τοῦτο δυνάμενον ποιεῖν σφόδρα ἐπαινοῦμεν, ὡς τόν γε μὴ εὑρίσκοντα, ἢ εὑρόντα κακῶς δὲ χρώμενον, πάνυ κακίζομεν. « Ἀναγκαῖον οὖν ἐστι καὶ ἐμοί, Λυσία, καὶ

2 cf. schol. 235 D (p. 266 Herm.)

TIT 2 ση. τὰς ἐν Ἀθήναις ἀρχάς C

NC 1 καί, κ rubr. A 2 παρ᾽ Ἀθηναίοις... 3 θεσμοθέται om. schol. 3 τοῦ ἐνιαυτοῦ om. M 4 μηδὲν... πρᾶξαι] μὴ παρανομήσειν schol. εἰ... 5 ἔτυχον] εἰ δὲ φωραθεῖεν schol. εἰ] οἵ M 5 ἐκ καταδίκης τῷ Ἀπόλλωνι πέμπειν εἰκόνα χρυσῆν schol. ἐκ καταδ. seclusi 7 τῆς πόλεως] Ἀθηναίων schol. 12 ᾧ] νῷ M 16 ἶσον A 18 καί, κ rubr. A 19 τῶν ἀναγκαίων] ἀναγκαῖα M περὶ addidi ex schol. 236 A (p. 266 H) 20 δυνατὸν <τὸν λόγον>? ἐστι] εἰσι M 21 εὑρεῖν] αἱρεῖν M 22 ἔχομεν scripsi : ἔσχομεν libri 27 μὴ] μὴν M : μὲν Ast 28 καὶ Λυσία M (ἔστι καί μοι Λυσία B). In scholio legitur : οἷον ἀναγκαῖόν ἐστι καὶ Λυσίᾳ καὶ Σωκράτει καὶ πᾶσι τοῖς κατὰ φύσιν ἔχουσι τὸ λέγειν ὡς ὁ ἐρῶν ἀκόλαστον ἔρωτα μαίνεται, ὁ δὲ μὴ τοῦτον ἐρῶν σωφρονεῖ

[81] παντὶ ὁτῳοῦν λέγειν ὡς ὁ μὲν ἐρῶν ἀκόλαστον ἔρωτα μαίνεται, ὁ δὲ μὴ ἐρῶν σωφρονεῖ. » Ἀλλ' οὐχ ὁμοίως αὐτό φησι Λυσίας καὶ Σωκράτης οὐδὲ ἀπὸ τῆς αὐτῆς διαθέσεως προφέρονται τὸν λόγον.

μδ'. Παρὰ τὸ Κυψελιδῶν] 236 B.

Τὸ μὲν τῆς ἱστορίας τοιοῦτον· Κύψελος πατὴρ ἐγένετο Περιάνδρου· οὗπερ οἱ υἱεῖς τύραννοι ὄντες τῆς Κορίνθου κατελύθησαν τῆς τυραννίδος ὑπὸ p. 82 Κορινθίων· ηὔξαντο οὖν οἱ Περιάνδρου τοῦ Κυψέλου υἱεῖς ἐν Ὀλυμ|πίᾳ τῷ Διί, εἰ ἀνακτήσαιντο τὴν τυραννίδα, χρυσοῦν ἀνδριάντα ὁλόσφυρον τῷ Διὶ ἀναθήσειν, καὶ κρατήσαντες ἀνέθεσαν μέγιστον ἄγαλμα χρυσοῦν τοῦ Διός. Τί οὖν δηλοῖ τῷ Φαίδρῳ τὸ πρότερον μὲν εἰκόνα Σωκράτους ἐν Δελφοῖς ἀναθήσειν, νῦν δὲ σφυρήλατον ἀνδριάντα Σωκράτους τῷ Διί; ῥητέον οὖν οὕτως ὅτι διττή ἐστιν ἡ δημιουργία, ἡ μὲν ἀφανής, ἡ δὲ ἐμφανής· καὶ τῆς μὲν ἐμφανοῦς προέστηκεν ὁ ἥλιος, τῆς δὲ ἀφανοῦς ὁ Ζεύς. Πρότερον οὖν ἔλεγεν ὁ Φαῖδρος ὅτι « ἐὰν καλλίονά μοι λόγον ἐπιδείξῃς τοῦ Λυσίου, πᾶν τὸ ἐμφανὲς κάλλος τοῦ αἰσθητοῦ κόσμου (ὅπερ ἡ εἰκὼν σημαίνει Σωκράτους, ἐπεὶ καὶ εἰκών ἐστι τὸ αἰσθητὸν κάλλος τοῦ νοητοῦ, ἐπεὶ καὶ αὐτὸς ὁ κόσμος) ἐξάψω τοῦ ἡλίου τοῦ ἐπάρχοντος τοῦ κόσμου καὶ παντὸς τοῦ αἰσθητοῦ κάλλους· » νυνὶ δὲ ὅτι « καὶ αὐτήν σου τὴν ψυχήν (ὅ ἐστιν ὁ ἀληθὴς Σωκράτης; σημαίνει δὲ ἅπασαν τὴν οὐσίαν τῆς ψυχῆς διὰ τοῦ σφυρηλάτου ἀνδριάντος, ὡς δι' ὅλου ὄντος χρυσοῦ) ἀναθήσω καὶ ἀναπέμψω εἰς τὸν Δία τὸν ἐπάρχοντα τοῦ νοητοῦ κόσμου καὶ τῆς ἀφανοῦς δημιουργίας. »

με'. Ἕτερόν τι ποικιλώτερον] 236 B.

« Οὐ γὰρ ποικίλον καλὸν μέλλω λέγειν, ὅπερ Λυσίας εἶχεν, ἐν συνθέσει καὶ διαιρέσει φαινόμενον, ἀλλὰ ἁπλοῦν καὶ μονοειδὲς καὶ ἡνωμένον· σὺ δὲ εἴωθας τὰ ἄτομα καὶ σύνθετα καὶ διαίρετα μόνα ὁρᾶν. » Τὸ δὲ εἰς τὰς ὁμοίας λαβάς, οἱονεὶ ἐπαφάς, μέμψεις, νῦν δὲ ἀφορμάς, καὶ τὸ τῶν κωμῳδιοποιῶν· τὸ μὲν εἰς τὰς ὁμοίας λαβάς, ἀπὸ μεταφορᾶς

5 Κύψελος — 9 Διός = schol. 236 B (p. 266 Herm.) 13 Πρότερον cf. 44,7 20 σφυρηλάτου inde intelleges *Proc. Vat. Kram.* I, 12 (Leutsch, *Parœm.* I 383, 8) ἀνδριὰς σφυρήλατος· ἐπὶ τῶν ἀναισθήτων 28 ἀπὸ — 46, 1 παλαιόντων = schol. ad 236 B (p. 267 Herm.) : deinde similia aliis verbis

NC 4 παρὰ, π rubr. A 5 Περιάνδρου πάτηρ ἦν schol. οὗ... 6 Κορίνθου om. C οὗπερ schol. : οὗ Περιάνδρου libri 6 Κορίνθου τύραννοι γεγονότες ὑπὸ Κορινθίων κατελύθησαν schol. 7 οἱ υἱεῖς M οἱ... υἱείς] οὗτοι schol. ἐν... Διὶ om. schol. 8 εἰ πάλιν τὴν ἀρχὴν ἀνακτήσαιντο schol. 8-9 ἀναθήσειν τῷ Διὶ M τῷ θεῷ ἀναθήσειν ἐν Ὀλυμπίᾳ ὁλόσφυρον schol. 9 καὶ] οἱ δὴ schol. κρατήσαντες <Κορίνθου> ἀνέθεσαν <ἐκεῖσε> schol. 10 τὸν Φαῖδρον Ast 17 ἐπάρχοντος] ὑπάρχοντος BM cf. 31, 16 et 32, 13 18 ὅτι om. M 21 ἐπάρχοντα] ὑπάρχοντα BM : cf. 17 23 ἕτερον, ε̄ rubr. A 27 πέμψεις E καὶ τὸ — 28 λαβάς om. M 28 κωμῳδῶν Plat. : cf. 46, 8

[82] εἴρηται τῶν παλαιόντων· φανερὸς γάρ τις ἀφορίζεται τόπος ἐν ᾧ παλαίουσιν, οἷον τετράγωνον πεπληρωμένον ψάμμου· εἰ συνέβη οὖν τοὺς παλαίοντας ἐκπεσεῖν τοῦ τετραγώνου, τοιόνδε σχῆμα ἐν τῷ παλαίειν ἔχοντας οἷον ἢ περιπεπλεγμένους τοὺς πόδας ἢ τὰ νῶτα κατέχοντας τοῦ ἑτέρου, ἐνίσταντο ἐκπεσόντες τοῦ τετραγώνου καὶ ἤρχοντο ἐπὶ τὸ τετράγωνον καὶ ἐδίδοσαν ἑαυτοῖς τὸ αὐτὸ σχῆμα τῆς πάλης ὃ εἶχον ὅτε ἐξέπεσον, οἷον τὰ νῶτα κατέχειν ἢ περιπεπλέχθαι τοὺς πόδας, καὶ οὕτως ἐξ ὑπαρχῆς ἐπάλαιον· καὶ τοῦτο ἔστι τὸ εἰς τὰς ὁμοίας λαβάς. Τὸ δὲ τῶν κωμῳδιοποιῶν, ἐπειδὴ ὅπερ ὁ ἐρωτῶν ἠρώτα τοῦτο ὁ ἀποκρινόμενος τῷ ἐρωτῶντι τὸ αὐτὸ ἔλεγεν, οἷον· « δέδωκά σοι τοῦτο· » εἶτα ἐκεῖνος· « δέδωκά σοι τοῦτο. » Λέγει μὲν τὸ ἀνωτέρω εἰρημένον· ὅπερ γὰρ ὁ Σωκράτης εἶπε περὶ Φαίδρου, σχηματιζομένου τοῦ Φαίδρου μὴ δύνασθαι λέγειν· « εἰ ἐγὼ Φαῖδρον ἀγνοῶ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι, » τοῦτο καὶ νῦν f° 30 r° φησιν ὁ Φαῖδρος περὶ Σωκράτους λέγειν· | « εἰ ἐγὼ Σωκράτην ἀγνοῶ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι. » Ἐνδείκνυται δὲ ὅτι, ὅτε τὰ προελθόντα εἰς τὰς οἰκείας ἀρχὰς ἀναδράμῃ, εἰς τὰς ὁμοίας λαβὰς λέγεται ἰέναι, ὡς ἀφ᾽ ὧν προῆλθεν εἰς ταύτας ὑποστρέψαντα. — Τὸ δὲ θρύπτεσθαι καὶ σχηματίζεσθαι τὸν Σωκράτη, ὥς φησι Φαῖδρος, οὐχ ὁμοιόν ἐστι τῇ θρύψει τοῦ Φαίδρου· ὁ μὲν γὰρ Φαῖδρος τῷ ὄντι ἐσχηματίζετο ἅτε νέος ὢν καὶ μόνοις τοῖς ἔξω εἰωθὼς χαίρειν καὶ ἐκεῖνα θαυμάζειν, ὁ δὲ Σωκράτης ἐκκαλούμενος τὰς ἐφέσεις τοῦ νέου καὶ εἰς ἔρωτα καὶ ἐπιθυμίαν αὐτὸν καθιστὰς τοῦ παρ᾽ αὐτῷ καλοῦ. — Ἡ δὲ βία τοῦ Φαίδρου καὶ τὸ λέγειν <ὅτι> μόνω [μὲν] ἐστὸν καὶ ἐν ἠρεμίᾳ καὶ ἰσχυρότερον καὶ νεώτερον, πάντα ταῦτα οἰκεῖα ὀνόματα τοῖς ἐνύλοις καὶ γεώδεσι καὶ μήπω ἀνηγμένοις μηδὲ κεκαθαρμένοις, ἃ ὑπῆρχε τῷ Φαίδρῳ. — Τὸ δὲ αὐτοσχεδιάζων ἀντὶ τοῦ· ἀχρόνως ἐνεργῶν καὶ ἀπληθύντως καὶ ἀμερῶς.

μϛʹ. <Ἀγαθὸν ποιητήν>] 236 D.

Ἀγαθὸν ποιητὴν καλεῖ τὸν Λυσίαν διὰ τὴν καλλιέπειαν ὡς ἔχοντά τι καλὸν κατὰ τὴν συνθήκην τῶν ῥημάτων· πάντα γὰρ μετέχει τοῦ ἀγαθοῦ, ὅπου καὶ ἡ ὕλη· οὐ γὰρ ἔνι ἄκρατον κακόν. — Τὸ δὲ ὀμνύναι κατὰ τῆς πλατάνου τὸν Φαῖδρον ὁμοιότητα ἔχει τῷ Σωκρατικῷ ὅρκῳ τῷ τοῦ κυνός, p. 83 καὶ ἔοικε τέως κατὰ τοῦτο ὠφελῆσθαι ὁ | Φαῖδρος εἰς ὁμοιότητά πως τῷ

8 κωμῳδιοποιῶν cf. schol. 236 C (p. 267 Herm.) 12 εἰ... 13 ἐπιλέλησμαι 228 B

NC 4 περιπεπλεγμένους] περιπεπλεγμένα M (jam correxerat Ast) 5 ἀνίσταντο? 10 τοῦτο] τόδε schol. 14 λέγειν] λέγων Ast εἰ ἐγὼ ὦ Σώκρατες Plat. Σωκράτη Plat. 17 ταύτας] ταῦτα M 18 Σωκράτη M 21 καὶ εἰς ἐπιθυμίαν M 23 ὅτι addidi μὲν seclusi ἐστὸν] εἶναι M (ἐσμὲν δὲ μόνω ἐν ἐρημίᾳ Plat.) καὶ ἐν] καὶ evanid. in A 24 μήπω] μηδ᾽ M 26 ἀπληθύντως] ἀπληθυντικῶς Ast 27 lemma addidi 28 ἀγαθὸν, ἀ rubr. A

[83] Σωκράτει ἐλθών. Ὁ δὲ ὅρκος αὐτοῦ καὶ τὸ ὀμνύναι ὅτι « ἐάν μοι μὴ εἴπῃς τὸν λόγον, οὐδέποτέ σοι ἕτερον λόγον ἐπιδείξω, » βουλομένου ὠφεληθῆναι ἔστι καὶ δηλοῖ ὅτι, εἰ μὴ συνέλθοι αὐτῷ ὁ Σωκράτης, παντελὴς αὐτὸν καθέξει στέρησις, ὥσπερ δὴ καὶ ὁ ἥλιος ὄμνυσι τῷ Διί.

μζ'. Βαβαὶ ὦ <μιαρέ>] 236 E.

Πῶς μιαρὸν καλεῖ τὸν Φαῖδρον ὃν ἄνω θείαν κεφαλὴν ἐκάλεσεν; Ἢ ἐκεῖ μὲν, ὡς πρὸς τὸ ἓν αὐτοῦ καὶ νοερὸν τῆς ψυχῆς ἀπιδὼν, θεῖον αὐτὸν προσεῖπε (θείας γὰρ τῷ ὄντι μοίρας μετέχει πᾶσα λογικὴ ψυχή), ἐνταῦθα δὲ ὡς πρὸς τὴν βίαν αὐτοῦ καὶ ἀνάγκην ἀπιδών (καὶ γὰρ λέγει· « ἐὰν μή μοι εἴπῃς, οὐ μή ποτέ σοι δείξω ἕτερον λόγον ») μιαρὸν αὐτὸν προσεῖπεν. Ἡ γὰρ βία καὶ ἡ ἀνάγκη ἐκ τῆς ὕλης ἐστὶν, ὡς εἰ ἔλεγεν ἡ ὕλη τῷ δημιουργῷ ὅτι « ἐὰν μή με κατακοσμήσῃς τοῖς εἴδεσιν, ἐπιδείξω τὸ ἐμὸν αἶσχος τὸ ἀλαμπὲς καὶ σκοτεινὸν καὶ τὴν προσοῦσάν μοι ἀσχημοσύνην, » ὅπερ ἐστὶ μιαρὸν καὶ ἀηδές· ὃ καὶ νῦν φησιν ὁ Φαῖδρος ὅτι « ἐὰν μή μοι εἴπῃς τὸν λόγον καὶ ἐπιδείξῃς μοι ὃ φῂς καλὸν, οὐκ ἄν με τελειώσεις οὐδὲ ἐνεργήσεις εἰς ἐμὲ, καὶ ἐκ τούτου ἔσομαι αἰσχρὸς καὶ μιαρός. »

μη'. Πῶς γὰρ ἂν οἷός τ' εἴην] 236 E.

Ἀντὶ τοῦ· « πῶς γὰρ δύναμαι μὴ εὐεργετεῖν τὰς ψυχὰς καὶ ἐνεργεῖν κατὰ τὴν ἐμὴν καθαρτικὴν δύναμιν; » — Καὶ ἡ θοίνη δὲ τὴν πολλὴν αὐτοῦ πρόνοιαν καὶ προθυμίαν ἐνδείκνυται τοῦ τὸν ἐπιτήδειον ἀνάγειν νέον· τὸ γὰρ πλῆρες αὐτοῦ τῆς δυνάμεως τῆς προνοητικῆς καὶ τῆς κατὰ τὸ θεῖον εἶδος ἐνεργείας καὶ ὅμοιον τοῖς θεοῖς ἐνδείκνυται ἡ θοίνη. — Τὸ δὲ ἐγκαλυψάμενον λέγειν τὸν λόγον τὸν Σωκράτη ὡς μέλλων ἐλάττονα καὶ ὑφειμένα τῆς ἑαυτοῦ ἕξεως ἐνεργεῖν· οἰκεία γὰρ αὐτοῦ ἐνέργεια ἡ ἐνθουσιαστικὴ ἐρωτικῶς, ὃ ἐν τῇ παλινῳδίᾳ δείξει. Ἐπειδὴ οὖν κατὰ τὸ ψυχικὸν ἰδίωμα μέλλει ἵστασθαι, τὸν σώφρονα ἔρωτα ἐπαινῶν καὶ τὰς ἀρετὰς καὶ ἐπιστήμας, διὰ τοῦτο ἐγκαλυψάμενος λέγει τὸν λόγον. Ἢ καὶ ὅτι ὁ Λυσίας ἀποβλέπων εἰς τὸ φαινόμενον κάλλος τοῦ Φαίδρου ἐποιεῖτο τοὺς
f°30v° λόγους, | διὸ ὁ Σωκράτης ἐγκαλύπτεται ὡς τοῦ μὲν φαινομένου ὑπερφρο-

4 Hom. μ. 382-83 6 ἄνω 234 D

NC 1 ἐὰν] εἰ σύ A[a] 2 βουλομένου] βουλομένῳ M (jam correxerat Ast) 4 αὐτὸν] αὐτῷ M (jam correxerat Ast) 5 βαβαὶ; β rubr. A μιαρέ addidi 6 μιαρὸν] μικρὸν M (jam correxerat Ast) 10 μή μοι] μοι μὴ l. 1 et Plat. : cf. 15 εἴπῃς M; εἴποις A : cf. l. 2, 12, 15 et Plat. 11 ἡ ante ἀνάγκη om. M 16 τελειώσῃς et ἐνεργήσῃς A (ἂν sæpe cum futuro jungitur apud Hermiam : v. *Indic.*) 18 πῶς, π rubr. A 24 Σωκράτην M 25 ἐνεργεῖν] εὑρεῖν M; ἐρεῖν Ast : cf. 48, 6 (εὑρεῖν B ἐνεργεῖν supra lineam scripto) 26 τὸ] τὸν M 30 διὸ ὁ] ὁ δὲ A[a]

[83] νῶν, εἰς αὐτὴν δὲ τὴν διάνοιαν τοῦ νέου τείνων τὴν ὠφέλειαν. Ἢ καὶ ἄλλως· ἐπειδὴ κατὰ τοῦ ἔρωτος τοῦ ὅπως ποτὲ λεγομένου ἔρωτος ὑπὸ τῶν πολλῶν τοῦ ἀκολάστου μέλλει λέγειν, διὰ τοῦτο ἐγκαλύπτεται· δεῖ γὰρ τὰ ὀνόματα τῶν θεῶν σέβειν τὸν ἐπιστήμονα, ὅπου [δ'] ἂν κέωνται, κἂν ἐπ' ἄλλων αὐτὰ σημαινομένων οἱ πολλοὶ μεταφέρωσι· διὸ καὶ αἰσχύνεσθαί φησιν. Ἢ ὅτι ὡς εἴπομεν ἐλάττονα τῆς ἑαυτοῦ ἕξεως ἐνεργεῖ. Ἢ ὅτι κατὰ τοῦ ὅπως ποτὲ ἔρωτος μέλλει λέγειν· διὸ καὶ καθάρσεώς φησι δεῖσθαι μετὰ τὸ εἰπεῖν τὸν λόγον, ὡς ἁμαρτὼν εἰς τὸν θεὸν τὸν Ἔρωτα καὶ ἀρχόμενος τῆς παλινῳδίας καὶ μέλλων ἀνυμνεῖν τὸν θεῖον καὶ ἐνθουσιαστικὸν καὶ ἀναγωγὸν ἔρωτα, τοῦτον ὃν νῦν μέλλει λέγειν λόγον Φαῖδρόν φησιν εἰρηκέναι διὰ τοῦ Σωκράτους στόματος, οὐχ ἑαυτόν.

μθ'. Ἄγετε δὴ ὦ Μοῦσαι] 237 A.

Ἄρχεται μὲν ἀπὸ εὐχῆς, ὡς αὐτὸς ἐν Τιμαίῳ εἶπεν « ἐπὶ παντὸς ὁρμῇ καὶ σμικροῦ πράγματος θεὸν δεῖ καλεῖν συνεργόν, » καὶ ὅτι ἐπειδὴ πρόκειται αὐτῷ ἀνάγειν τὸν νέον, τῆς δὲ ἀναγωγῆς πρῶτοι αἴτιοι καὶ μόνοι οἱ θεοί (τὰ γὰρ ἄλλα, οἷον καὶ δαίμονες καὶ ὁ Σωκράτης, ὑπουργικὴν καὶ ὀργανικὴν τοῖς θεοῖς ἀποπληροῦσι χρείαν), διὰ τοῦτο τοὺς θεοὺς ἐπεκαλέσατο. Τί δέ ἐστιν ἄλλο ἡ εὐχὴ ἢ ὁμοίωσις καὶ ἀνάτασις ἡ πρὸς αὐτοὺς ἡ διὰ τῆς ζωῆς; Ἐπειδὴ δὲ μέλλει εἰς συμφωνίαν ἑαυτῷ ἄγειν τὸν Φαῖδρον καὶ ἁρμόσαι αὐτοῦ βούλεται τὴν ψυχήν, ἵνα ἀποστῇ τοῦ ἔξω κεχηνέναι, εἰς δὲ ἑαυτὸν ἐπιστρέψῃ καὶ τὸ ἐν ἑαυτῷ κάλλος θεάσηται, τῆς δὲ ἁρμονίας καὶ φιλίας αἴτιαι αἱ Μοῦσαι, διὰ τοῦτο τὰς Μούσας ἐπικαλεῖται· ὥστε ἐπειδὴ περὶ ἔρωτος ἦσαν οἱ λόγοι, πολλὴ δὲ κοινωνία Μούσαις καὶ Ἔρωτι, ὡς καὶ μίαν αὐτῶν Ἐρατὼ καλεῖσθαι, διὰ τοῦτο ἀπ' αὐτῶν ἄρχεται. — Δύο δὲ οὐσῶν αἰτιῶν περὶ τοῦ λιγείας τὰς Μούσας
p. 84 κα|λεῖσθαι, μιᾶς μὲν τῆς ἀπὸ τῆς ἐνεργείας τῶν Μουσῶν αὐτῶν, ἑτέρας δὲ <τῆς> ἀπὸ τῆς ἱστορίας, ἀμφοτέρας ἔθηκεν ὁ Πλάτων. Ἱστοροῦσι γὰρ ὅτι ἔθνος τι πρὸς ἑσπέραν, τὸ Λιγύων οὕτω καλούμενον, οὕτως ἄγαν μουσικώτατόν ἐστιν ὡς μηδὲ ἐν τοῖς πολέμοις πανστρατιᾷ μάχεσθαι, ἀλλὰ

6 εἴπομεν 47, 24 (cf. 32, 22 et 33, 2) 13 *Tim.* 27 C 28 ἔθνος — 49, 2 λοιποῦ = schol. 237 A (p. 267 Herm.)

TIT 12 ἀρχὴ τοῦ Σωκράτους κατὰ τοῦ αἰσχροῦ ἔρωτος λόγου BC

NC 1 τείνων] τείνας A[a] 2 κατὰ] ἐκ M : cf. 6 4 δ' seclusi 7 ὁπώς ποτε A[a] 8 ἁμαρτὼν] ἁμαρτάνων A[a] 12 ἄγετε, ἄ rubr. A : ἄγεται C ὦ om. A 13 ἀπὸ τῆς εὐχῆς M 14 ὁρμῆς E in marg. καὶ σμικροῦ καὶ μεγάλου πράγματος Plat. δεῖ] δὴ M (jam correxerat Ast) θεὸν ἀεί που καλοῦσιν Plat. (θεὸν <συνεργὸν>?) 16 καὶ ante δαίμονες om. M 19 ἡ ante διὰ om. M 21 αὐτῷ M 22 τῆς δὲ... 23 ἐπικαλεῖται om. B[1]M 24 Μούσαις] Μοῦσαι M (jam correxerat Ast) 26 τῆς post μὲν om. M 27 τῆς post δὲ addidi 28 πρὸς ἑσπέραν] ἠπειρωτικὸν τῶν ἑσπερίων schol. τὸ] τῶν M καλούμενον — ἄγαν om. schol. 29 ἐστιν] εἶναί φασιν schol. ὡς] ὥστε M : cf. 49, 4 (ὡς καὶ schol.) μὴ δὲ A πανστρατιὰ A

[84] τὸ μέν τι τοῦ στρατεύματος ἀγωνίζεσθαι, τὸ δὲ ᾄδειν πολεμοῦντος τοῦ λοιποῦ. Τὸ δὲ δι' ᾠδῆς εἶδος λίγειαι, ὅ ἐστι τῆς ἐνεργείας, οὐχ ὅτι εἶδός ἐστι μουσικῆς τὸ Λιγύων, ὡς τὸ Δώριον ἢ Φρύγιον, ἀλλ' ὅτι ἐν παντὶ εἴδει μουσικῆς τὸ λιγυρὸν καὶ ἡδὺ ἐπιφαίνεται, ὡς καὶ θέλγειν τὴν ψυχὴν καὶ κηλεῖν. — Εἰς δὲ τὸ ξύμ μοι λάβεσθε τοῦ μύθου τελείαν δεῖ στῖξαι· τινὲς γὰρ ὑποστίξαντες περιττὰ πράγματα ἔσχον καὶ ἀπορίας ἐπλήσθησαν· πρὸς δὲ τὸ ὅν με ἀναγκάζει ὁ βέλτιστος οὑτοσὶ λέγειν ὑποστίξαντας, ἀποδοτέον τὸ ἵνα ὁ ἑταῖρος αὐτοῦ ἔτι σοφώτερος εἶναι δόξῃ· ὡς εἰ ἔλεγεν· « ἀναγκάζει γάρ με τὸν λόγον λέγειν, ἵνα ἐκ τῆς παραθέσεως τῶν λόγων δόξῃ αὐτῷ ὁ Λυσίας σοφὸς εἶναι· » ἐπεὶ δόξει τὸ ἐναντίον εὔχεσθαι ἵνα ὁ Λυσίας σοφὸς μᾶλλον δόξῃ. Δυνατὸν δὲ καὶ οὕτως ἐξηγήσασθαι· « ἐπειδὴ δοκεῖ τῷ Φαίδρῳ σοφὸς εἶναι ὁ Λυσίας, συλλάβεσθέ μοι, ἵνα ἀληθῶς δόξῃ σοφὸς εἶναι μὴ ὢν μὲν σοφὸς δοκῶν δέ, τουτέστιν ἵνα δοκοῦσα ἡ σοφία αὐτοῦ φανῇ καὶ μὴ ἀληθής, ἀλλ' ἐν δόξῃ καὶ δοξοσοφίᾳ. Ὥσπερ γὰρ τὰ φυσικὰ ἐπιστήμῃ οὐκ ἔστι ληπτὰ ἀλλὰ δόξῃ, καὶ ὁ δοξάζων ἐπιστήμην αὐτῶν ἔχειν ἠπάτηται, ὁ δὲ αὐτὸ τοῦτο εἰδὼς ὅτι δόξῃ ἐστὶ ληπτὰ ἀληθεύει, τοῦτον τὸν τρόπον καὶ ὁ Φαῖδρος, ἐὰν γνῷ ὅτι δοκοῦσά ἐστι σοφία ἡ τοῦ Λυσίου καὶ οὐκ ἀληθὴς ἐπιστήμη οὐδὲ σοφία, ὠφελεῖται. — Μῦθον δὲ εἶπε τὸν ἑαυτοῦ λόγον, ἐπειδὴ ὡς πρὸς τὸν ἀληθῆ λόγον τὸν περὶ ἔρωτος καὶ ἐνθουσιαστικὸν ἐπίμυθος δοκεῖ
f° 31 r° οὗτος εἶναι, | κἂν σώφρων ὑπάρχῃ ὁ ἔρως, καὶ [ὅτι] ἐπειδὴ κατὰ τοῦ ἔρωτος τοῦ περὶ τὸ φαινόμενον καὶ ἔνυλον ἐπτοημένου μέλλει λέγειν. — Ὅρα οὖν πόση διαφορὰ τούτου τοῦ λόγου τοῦ Σωκρατικοῦ καὶ τοῦ Λυσίου· ὃ μὲν γὰρ ἀπροοιμίαστος ἦν καὶ ἀπὸ σκοτεινοῦ καὶ πανούργου καὶ κρύφᾳ ὠδινούσης τὴν ἀκολασίαν ἀρχῆς ἤρχετο· « περὶ μὲν τῶν ἐμῶν πραγμάτων ἀκήκοας· » ὃ δὲ ἀπὸ λαμπρᾶς καὶ τῆς πρὸς τοὺς θεοὺς εὐχῆς· καὶ ὃ μὲν πανούργως καὶ σκολιῶς καὶ ἐσχηματισμένως περὶ ὅλον ἀναστρέφεται τὸν λόγον, ὃ δὲ μετὰ πάσης ἀληθείας καὶ ἀποδείξεως καὶ ἐπιστήμης. — Τὸ δὲ αἱμύλος ἀντὶ τοῦ ἀπατεὼν καὶ πανοῦργος καὶ δόλιος εἴληπται·

αἱμυλίοισι λόγοισι
θέλγει ὅπως Ἰθάκης ἐπιλήσεται·

25 230 E 30 Hom. α 56-57

NC 3 τῆς μουσικῆς M ὡς] καὶ M τὸ ante Δώριον om. M 6 στῖξαι] στίζειν M περιττὰ] περὶ τὰ M; περὶ ταῦτα Ast 7 ἐνεπλήσθησαν M ὅν] ὃ M 8 ὑποστίξαντας] ὑποστίξαντες M ἔτι om. M ἔτι σοφώτερος] plura apud Platonem 9 ὡσεὶ A 10 ἐπεὶ δόξει] ἐπιδείξει M 19 ὠφελεῖται M ὠφέληται AE 21 ὅτι seclusi 24 πανούργου] πανάργου M (jam correxerat Ast) 25 ἀρχῆς] ἀρχῇ M (jam correxerat Ast) 26 ἀκήκοας] ἐπίστασαι Plat. (sed ἀκήκοας paulo post) 28 πάσης evanid. in A ἀληθείας] ἀμαθείας A[a] 29 εἴληπται] εἴρηται B[1]M 30 λόγοις ABE 31 θέλγει] θέλει M (jam correxerat Ast)

[84] καὶ

αἱμύλα κωτίλλουσα.

— Τὰ δὲ αὐτὰ πρόσωπα τὰ ἐπὶ τοῦ Λυσίου λόγου καὶ ἐνταῦθά ἐστιν· καὶ γὰρ ὁ Σωκράτης βούλεται εἰπεῖν ὡς χαριστέον μὴ ἐρῶντι μᾶλλον ἢ ἐρῶντι· ἀλλ' οὐχ ὁμοία ἡ διάθεσις· ὁ μὲν γὰρ Λυσίας ἐρῶν τὸν ἀκόλαστον ἔρωτα ἔλεγε μὴ δεῖν χαρίζεσθαι τοῖς ἄλλοις ἐρασταῖς ὁποῖοί ποτ' ἂν ὦσιν, ἀλλὰ τῷ μὴ ἐρῶντι, τουτέστιν αὐτῷ τῷ ἀκολάστῳ ἐραστῇ· ὁ δὲ Σωκράτης τὸν ἀναγωγὸν καὶ σωστικὸν ἔρωτα ἐρῶν τοῦ Φαίδρου ἐρεῖ μὴ δεῖν χαρίζεσθαι τοῖς ἀκολάστοις ἐρασταῖς καὶ ὕβρει βουλομένοις προσομιλεῖν, ἀλλὰ τῷ σώφρονι ἐραστῇ καὶ μὴ ἐρῶντι τὸν ἀκόλαστον ἔρωτα. Ἔστιν οὖν ἐν τῷ λόγῳ κατηγορία μὲν κατὰ τοῦ ἀκολάστου ἔρωτος, ἔπαινος δὲ καὶ ἐγκώμιον τοῦ σώφρονος καὶ κοσμίου ἔρωτος τοῦ πᾶσαν τὴν ψυχὴν κατακοσμοῦντος καὶ πᾶσαν τὴν ζωὴν τοῦ ἀνθρώπου εὔτακτον καὶ σεμνὴν καὶ κοσμίαν ποιοῦντος.

ν'. Ἦν οὕτω δὴ <παῖς>] 237 B.

Τὸν Φαῖδρον λέγει τὸν ἀνάγεσθαι μέλλοντα.

να'. Περὶ παντὸς ὦ παῖ μία ἀρχή] 237 B.

Πρὸ τοῦ εἰπεῖν ποῖόν τί ἐστιν ὁ ἀκόλαστος ἔρως, ὅτι ἀηδὴς καὶ αἰσχρὸς καὶ βλαβερὸς καὶ τῇ ψυχῇ καὶ τῷ σώματι καὶ τοῖς ἐκτός, πρῶτον τί ἐστιν ὁρίζεται· πρὸ γὰρ τοῦ ποῖόν τί ἐστι τὸ τί ἐστι ζητητέον. Δεῖ οὖν πρότερον ὁρίσασθαι τὸ πρᾶγμα περὶ οὗ τις μέλλει διαλέγεσθαι, εἶθ' οὕτως ἀπὸ τοῦ
p. 85 ὁρισμοῦ λαμβάνειν τὰς ἀποδείξεις, ὥσπερ δὴ καὶ πρὸ τοῦ ὁρισμοῦ | τὴν διαιρετικὴν μέθοδον δεῖ θεωρεῖν ἐξ ἧς ἀνιχνεύεται ὁ ὁρισμός. Εἰ οὖν μέλλει τις προτιθέναι ἄνθρωπον ἵππου, δεῖ πρότερον ὁρίσασθαι τί ἄνθρωπος καὶ τί ἵππος, εἶθ' οὕτως ἐπὶ τὴν σύγκρισιν καὶ τὴν ἀπόφασιν ἰέναι· οἱ δὲ πολλοὶ πρὶν ὁρίσασθαι τὰς οὐσίας τῶν πραγμάτων καὶ εἰδέναι ἕκαστον αὐτῶν τί ἐστιν, εὐθὺς ἐπὶ τὸ ἀποφαίνεσθαι περὶ τῶν πραγμάτων ἔρχονται καὶ προτίθενται τόδε τοῦδε· διὸ καὶ διαμάχονται πρὸς ἑαυτούς. Τὸ δὲ αἴτιον τοῦ πάσχειν τοῦτο τοὺς ἀνθρώπους τὸ κατ' οὐσίαν προειληφέναι τὴν ψυχὴν τῶν εἰδῶν τοὺς λόγους, καὶ ἔχειν ἐννοίας αὐτῶν ἐξ ἀιδίου παρὰ τοῦ δημιουργοῦ· ἅτε οὖν κατ' οὐσίαν μὲν ἔχοντες πάντων τοὺς λόγους, μὴ προ-

2 Hes. *Op.* 372 12 κατακοσμοῦντος cf. 43, 21

NC 2 κωτίλουσα B 3 καὶ ante ἐνταῦθα evanid. in A, post ἐνταῦθα addidit a 4 γὰρ om. M 12 ψυχὴν] ψυχικὴν A[a] (sed litteris ικ linea subducta) 15 ἦν rubr. A 17 περὶ, π rubr. A 20 ὁρίζεται... τὸ τί ἐστι om. BM 22 ὁρισμοῦ] διορισμοῦ utraque M 23 διαιρετικὴν] δὲ αἱρετικὴν M 24 προτιθέναι] προστιθέναι M ἵππου] ἵππον M 27 περὶ om. M (jam correxerat Ast) 28 προτίθενται scripsi : προτιθέναι libri 29 τοῦ] τὸ M (jam correxerat Ast)

[85] χείρους δὲ μηδὲ προβεβλημένους, ὅμως, ὡς εἰδότες τὰς οὐσίας καὶ τοὺς ὁρισμοὺς τῶν ὄντων καὶ τί ἕκαστον σημαίνει, οὕτως ὁρμῶσιν ἐπὶ τὸ ἀποφαίνεσθαί τι περὶ αὐτῶν, κἄπειτα ἐναντιολογίαις περιπίπτουσιν ὡς τὰ θεμέλια τῶν λόγων, τουτέστι τοὺς ὁρισμούς, μὴ προδιαθέντες καλῶς. « Ἐπειδὴ οὖν, φησί, καὶ ἡμῖν πρόκειται πότερον ἐρῶντι μᾶλλον ἢ μὴ ἐρῶντι χαριστέον καὶ εἰς φιλίαν ἰτέον, δεῖ ὁρίσασθαι τὸν ἔρωτα· » δηλονότι τοῦτον τὸν ἀκόλαστον, ὃν καὶ πρόκειται ἐπιρραπίσαι, ἵνα ἐπὶ τὸν σώφρονα ἔρωτα τῆς ψυχῆς καὶ κόσμιον ἀναχθῇ ὁ νέος. Ἐπεὶ οὖν πρόκειται ὁρίσασθαι, ὅρα ὅπως διὰ τῆς διαιρετικῆς πάσης ὁδεύει· ἡ γὰρ διαιρετικὴ οἷον γενεαλογεῖ τὸ πρᾶγμα· ὥσπερ γάρ, ὅταν τι τῶν μερικῶν παραστῆσαι
f°31v° θέλωμεν, οὐκ ἀρκούμεθα τῷ εἰπεῖν | αὐτοῦ τὸ ὄνομα, ἀλλ' ἀπὸ τῶν πατέρων καὶ πάππων καὶ πατρίδος ἀρχόμεθα, οὕτω δὴ καὶ ἡ διαιρετικὴ οἷον γενεαλογεῖ τὸ πρᾶγμα. Λαμβάνει δὴ οὖν τοῦ ἔρωτος γένος τὴν ἐπιθυμίαν, ἄντικρυς κατὰ τὸ ὑπ' Ἀριστοτέλους ῥηθὲν ὅτι σαφῆ δεῖ εἶναι τὰ ἀποδιδόμενα γένη τῶν ὁρισμῶν. Ὅτι δὲ ὁ ἐρῶν ἐπιθυμεῖ πρόδηλον πᾶσιν· εἶτα ἵνα δείξῃ ὡς γένος εἴληπται ἡ ἐπιθυμία, φησὶν ὅτι οὐκ ἀντιστρέφει· οὐ γὰρ ὁ ἐπιθυμῶν καὶ ἐρᾷ· καὶ γὰρ ἐπιθυμοῦσι πολλοὶ σιτίων καὶ πότων καὶ οὐ λέγονται ὅμως ἐρᾶν οὐδὲ ἐρασταί. Ὁ γὰρ ἔρως ἐπὶ ἡδονῇ κάλλους σωματικοῦ λέγεται παρὰ τῶν πολλῶν. Ὥστε γένος τοῦ ἔρωτος ἡ ἐπιθυμία. Ἐπεὶ δὲ ἡ ἐπιθυμία τριττή ἐστι, ποίαν νῦν λαμβάνει ζητητέον· ἣ μὲν γάρ ἐστιν οὐσία καὶ μόριον ἓν τῆς ψυχῆς (τὸ μόριον γὰρ τῆς ψυχῆς τὸ ἐπιθυμητικὸν ἐπιθυμία λέγεται)· ἣ δὲ δύναμις καὶ ἕξις ἐρρωμένη ἐστὶ τοῦ ἐπιθυμητικοῦ, καὶ λέγεται καὶ αὐτὴ ἐπιθυμία, οἷον « ἐπιθυμητικῶς ἔχω πάνυ πότων ἢ λόγων ἢ εὐχῶν »· ἣ δὲ ἐνέργειά ἐστι τοῦ ἐπιθυμητικοῦ ἐπὶ βραχὺ γινομένη καὶ ἐπ' ὀλίγον, ὡς ὅταν ἐπιθυμήσω βαδίσαι ἢ ἀνακλιθῆναι. Οὔτε οὖν τὸ μόριον τῆς ψυχῆς νῦν λαμβάνει τὴν ἐπιθυμίαν ὡς γένος τοῦ ἔρωτος· οὕτω γὰρ ἂν πάντες ἤρων ἄνθρωποι· οὔτε τὴν ἐνέργειαν· οὐ γὰρ ἐὰν ἐσθίω ἢ φιλήσω τι ἐπ' ὀλίγον καὶ ἠρέμα ἐρᾶν λέγομαι· ἀλλὰ δηλονότι τὴν δύναμιν τὴν ἐρρωμένην τοῦ ἐπιθυμητικοῦ καὶ τὴν μόνιμον καὶ δυσκίνητον ἕξιν τῆς ἐπιθυμίας λαμβάνει νῦν τὴν ὡς γένος ἐπιθυμίαν τοῦ ἔρωτος· ἐν γὰρ τῇ τοιᾷδε ἕξει λέγεται ὁ ἔρως εἶναι. Λαβὼν οὖν τὸ γένος, λοιπὸν προστίθησι τὰς διαφοράς, ἵνα ἐκ γένους καὶ διαφορῶν πλέξῃ τὸν ὁρισμόν. Οὕτως τὰ λογικὰ πάντα θεωρήματα Ἀριστοτέλους προείληπται παρὰ Πλάτωνι δι' αὐτῶν

14 cf. *Anal. post.* II 13, 97 *b* 32 τὸ σαφὲς δεῖ ὑπάρχειν ἐν τοῖς ὅροις 33 in *Metaph. categ.* etc.

TIT 9 ὅτι τὸ γένος ὡς γνώριμον λαμβάνει ἡ διαιρετικὴ μέθοδος B[2] 13 ὁ ἔρως ἐπιθυμία τις BC 20 τριττὴ ἡ ἐπιθυμία A (ἡ ἐπ. τ. BC)

NC 1 μὴ δὲ A ὡς om. M 5 φησὶ om. M πότερον ex πρότερον A 6 ὁρίσασθαι] ὁρίζεσθαι M 11 ἀρκούμεθα] ἀρνούμεθα M τῷ] τὸ Ast 19 ἐπεὶ] ἐπειδὴ M 27 φιλέσω A[a] 33 προείληπται scripsi : προσείληπται libri

[35] τῶν πραγμάτων εὑρισκόμενα, καὶ οὐκ ἐν μόναις μεθόδοις κείμενα. Λαβὼν οὖν τὴν ψυχὴν, διαιρεῖ αὐτὴν δίχα εἴς τε τὸν λόγον καὶ τὴν ἀλογίαν, καὶ ἑκάτερον ἀπὸ τοῦ κοινοτέρου προσαγορεύει, ἐπειδὴ καὶ περὶ κοινοτέρου ἔρωτος ὁ λόγος ἐστὶ νῦν· καὶ τὴν μὲν ἄλογον ψυχὴν ἀπὸ τῆς ἐπιθυμίας ὀνομάζει, τὴν δὲ λογικὴν ψυχὴν ἀπὸ τῆς δόξης παρίστησι· τὸ γὰρ δοξαστικὸν τὸ πεζότατόν ἐστι τῆς λογικῆς, ἐν δὲ τῷ ἐπιθυμητικῷ αἱ ἀρχαὶ καὶ αἰτίαι τῆς φύσεως περιέχονται. Καὶ τὴν μὲν ἐπιθυμίαν ἔμφυτον εἶναι ἡμῖν ἀπεφήνατο, ἐπειδὴ εὐθὺς ἐκ γενετῆς σύνεστι τῷ ζῴῳ ἡ ἐπιθυμία, προσεχὴς οὖσα τῷ σώματι, ἵνα καὶ τρέφηται καὶ αὔξηται τὸ βρέφος· τὴν δὲ δόξαν, τουτέστι τὴν λογικὴν ψυχὴν, ἐπίκτητον εἶναι ἔφατο, τουτέστιν ἔξωθεν εἰσκρίνεσθαι (ταύτην γὰρ καὶ Ἀριστοτέλης ἔφατο εἶναι τὸν θύραθεν νοῦν), καὶ p. 86 | ὅτι τελειωθεῖσιν ἡμῖν δόξαι ὀρθαὶ καὶ ἐπιστῆμαι προσγίνονται. Ἡμᾶς δὲ κοινότερον λέγει τὸ ζῷον καὶ ὅλον τοῦτον τὸν φαινόμενον ἄνθρωπον μετὰ τῆς ζωῆς· ἐπὶ τὸ ἄριστον δὲ καὶ τοῦ ἀρίστου ἐφίεσθαι ἡμᾶς λέγει, ἀντὶ τοῦ· τοῦ ἀγαθοῦ· πάντα γὰρ τοῦ ἀγαθοῦ ἐφίεται. Ταῦτα δὴ οὖν τὰ δύο μόρια τῆς ψυχῆς, ὅ τε λόγος καὶ ἡ ἀλογία, ἔστι μὲν ὅτε ὁμονοεῖ, ἔστι δὲ ὅτε στασιάζει πρὸς ἄλληλα· καὶ τοῦ μὲν λόγου ἄρχοντος σωφροσύνη τῇ ζωῇ τὸ ὄνομα· τῆς δὲ ἀλογίας ἀρχούσης καὶ ἑπομένου καὶ ὥσπερ ἀνδραποδισθέντος τοῦ λόγου, ἀκολασία ταύτῃ f° 32 r° τῇ ζωῇ τὸ ὄνομα· | ἐὰν δὲ στασιάζῃ καὶ μάχηται πρὸς ἄλληλα, τοῦ μὲν λόγου μετὰ τὴν μάχην κρατήσαντος, ἐγκράτεια καλεῖται· παλὶν δὲ αὖ τῆς ἀλογίας μετὰ τὴν μάχην κρατησάσης, ἀκράτεια. Τεσσάρων οὖν τούτων οὐσῶν ἐν ἡμῖν ζωῶν, τοῦ μὲν λόγου κρατοῦντος, τῷ κράτει τούτῳ καὶ ταύτῃ τῇ ἀρχῇ σωφροσύνην τοὔνομα ἔθετο, περιλαβὼν τὴν ἐγκράτειαν τῇ σωφροσύνῃ· ἀπὸ γὰρ τοῦ κρείττονος καὶ τοῦ ὁμονοοῦντος ἔθετο ταύτῃ τῇ ἀρχῇ τὸ ὄνομα· πάλιν δ' αὖ τῆς ἀλογίας τυραννευσάσης καὶ ἐπὶ διαφόρους ἡδονὰς ἑλκούσης τὸν λόγον, ταύτῃ τῇ ἀρχῇ καὶ ζωῇ κοινὸν ὄνομα τὴν ὕβριν ἔθετο· δείξας οὖν πάλιν ὅτι τοῦτο τὸ ὄνομα [ἡ ὕβρις] γενικώτερόν ἐστι καὶ κατὰ πλειόνων κατηγορεῖται ἐπιθυμιῶν, οὕτως τινὰ ἐπιθυμίαν καὶ περὶ τάδε ὁρίζεται εἶναι τὸν ἔρωτα. « Περὶ μὲν γὰρ ἐδωδὰς, φησὶ, κρατήσασα τοῦ λόγου ἡ ἐπιθυμία καὶ πασῶν τῶν ἄλλων ἀδελφῶν ἐπιθυμιῶν περιγενομένη, οἷον ποτῶν,

11 *De anim. gener.* II 3, 736 *a* 28; 6, 744 *b* 22

TIT 7 διὰ τί ἡ ἐπιθυμία ἔμφυτος, ἡ δὲ δόξα ἐπίκτητος B   11 ἡ δόξα ἡ (*sic*) θύραθεν νοῦς παρὰ Ἀριστοτέλει καὶ διὰ τί B²

NC 1 μόναις A ex emend.   8 ἀπεφήναντο M (jam correxerat Ast)   11 ὁ Ἀριστοτέλης M   13 τοῦτον M : τοῦτο A   15 τοῦ τοῦ ἀγαθοῦ] τούτοις ἀγαθοῖς M (jam correxerat Ast)   ταῦτα scripsi : ταύτῃ libri   16-17 ἔστι μὲν ὅτε μὲν A   23 τούτων] ὄντων M   ἐν ἡμῖν οὐσῶν M   24 τὸ ὄνομα M   26 τὸ ὄνομα — 28 ἀρχῇ om. E   29 ἡ ὕβρις seclusi   πλείω ex πλειόνων A   31 ἐδωδὰς] ἐδωδὴν Plat.   κρατήσασα] κρατοῦσα Plat.

[86] ἀφροδισίων, τιμῆς, χρημάτων ἐκπρεπὴς, περὶ δὲ τὰς ἐδωδὰς [ἡ ἐπιθυμία] γενομένη γαστριμαργία λέγεται ἡ τοιαύτη ὕβρις καὶ ἐπιθυμία, καὶ ὁ ἔχων αὐτὴν γαστρίμαργος ἄνθρωπος· περὶ δὲ ποτὰ ὁμοίως τυραννεύσασα οἰνοφλυγία, καὶ οἰνόφλυξ· περὶ δὲ ἀφροδίσια, ἀκολασία, καὶ ἀκόλαστος· περὶ δὲ χρήματα ὡσαύτως κρατήσασα ἡ ἐπιθυμία καὶ ὕβρις φιλοχρηματία καλεῖται, καὶ φιλοχρήματος ὁ ἔχων αὐτήν. Καὶ οὕτως ἐπὶ ἄλλων πολλῶν. » Ἄπειρος γὰρ καὶ ἀόριστος ἡ ὕβρις καὶ ἡ ἐπιθυμία καὶ ὅλη ἡ ἄλογος καὶ ἐμπαθὴς ζωή· καὶ τοῦτο ἔστιν ὅ φησι πολυώνυμον καὶ πολυμελὲς αὐτός, καὶ αὕτη ἡ ὕδρα καὶ τοῦτο τὸ πολυκέφαλον θηρίον, ὡς καὶ ἐν Πολιτείᾳ εἶπεν, ἡ ἀόριστος ἐπιθυμία ἣν ἐκτέμνει κρατῶν ὁ λόγος καὶ ἄρχων αὐτῆς. Περὶ δὲ αὖ σωμάτων κάλλος αὕτη ἡ ἐπιθυμία καὶ ὕβρις τυραννεύσασα καὶ οὐχ ἁπλῶς ἐπιθυμοῦσα τοῦ σωματικοῦ κάλλους, ἀλλ' ἐρρωμένως καὶ σφοδρῶς καὶ συντεταμένως, τῇ τοιαύτῃ ἐπιθυμίᾳ ἔρως κεῖται τὸ ὄνομα· καὶ πλέκει λοιπὸν ἐκ τούτων τὸν ὁρισμὸν τοῦ τοιούτου ἔρωτος· « ἡ γὰρ ἐπιθυμία ἡ ἄνευ λόγου, τῆς δόξης τῆς ἐπὶ τὸ ὀρθὸν πεφυκυίας ὁρμᾶν κρατήσασα καὶ πρὸς ἡδονὴν ἀχθεῖσα κάλλους σωματικοῦ καὶ τῇ τοιαύτῃ ἀγωγῇ τῶν συγγενῶν ἑαυτῆς ἐπιθυμιῶν κρατήσασα καὶ νικήσασα τῷ ἐρρωμένως ἐπὶ σωμάτων κάλλος ἐρρῶσθαι, ἀπ' αὐτῆς τῆς ῥώμης καὶ συντονίας τὴν ἐπωνυμίαν λαβοῦσα, ἔρως ἐκλήθη. » Ὥστε συνελόντι εἰπεῖν εἶναι τὸν ἔρωτα ἐρρωμένην καὶ σύντονον ἐπιθυμίαν κάλλους σωματικοῦ.

νβ'. Ἀτὰρ ὦ Φαῖδρε] 238 C.

Ὡρίσατο τὴν οὐσίαν τοῦ ὡς πάθους ἔρωτος ἐν ἕξει αὐτὸν θέμενος καὶ πάθει ἐπιθυμίας οὐ πάσης, ἀλλὰ σωμάτων, καὶ οὐδὲ σώματος ἁπλῶς, ἀλλὰ κάλλους σωματικοῦ, προσθεὶς καὶ τὸν τρόπον, ὅτι ἐρρωμένως καὶ σφοδρῶς ἐπιθυμοῦσα. Οὗτος οὖν ὁ ἀκόλαστος καὶ παθητικὸς ἔρως. Ὁρίσεται δὲ ἑξῆς καὶ τὸν λογικὸν ἔρωτα τὸν ἐν τῇ λογικῇ ψυχῇ, πτέρωτα αὐτὸν καλῶν παρὰ τὸ πτεροῦν καὶ ἀνάγειν τὴν ψυχήν. Ἔπειτα τελευταῖον καὶ αὐτὸν τὸν θεὸν

10 *Rep.* IX 588 C (θηρίου ποικίλου καὶ πολυκεφάλου) 27 ἑξῆς 252 C
29 τελευταῖον certe non in *Phædro*

TIT 23 τί ἐστι ἔρως BC

NC 1 περί... 2 καὶ ἐπιθυμία om. B¹M (pro quibus γαστριμαργία addebat Ast) ἡ ἐπιθυμία seclusi 3 ποτὰ] τὰ BM : τὰ ποτὰ Ast τυραννεύσασα] τυραννεύουσα M 7 ἄλλων ex ἄλλον A ἀόριστος] ἄριστος M (jam correxerat Ast) 12 τυραννεύσασα] τυραννεύουσα M cf. 3 13 σφοδρῶς] σφοδρᾶς M (jam correxerat Ast) συντεταμένως] συντεταμένης M (jam correxerat Ast.) 14 τὸ ὄνομα om. M (Ast : « *int.* ὄνομα, *quod apponendum existimo* ») 19 ἐρρῶσθαι] ἐρᾶσθαι M (jam correxerat Ast)
23 ἀτὰρ, ά rubr. A ὦ φίλε Φαῖδρε M Plat. 24 τοῦ om. M πάθους] πάθος M 26 κάλλους ex πάθους A 27 οὗτος] οὕτως M

[86] ἔρωτα ἐτυμολογήσει παρὰ τὸ εἴρειν καὶ δεσμεῖν τὰ δεύτερα τοῖς προτέροις, καὶ τὴν μεσότητα αὐτοῦ παριστὰς ὅτι δεσμός ἐστι τῶν πάντων καὶ συναφή· τοῦτο γὰρ σημαίνει τὸ εἴρειν. Οὕτω πανταχοῦ οἰκείως τοῖς πράγμασιν ὁρίζεται τὸν ἔρωτα. Ὁρισάμενος οὖν τὸν ὡς πάθος ἔρωτα καὶ ὕβριν αὐτὸν p. 87 μᾶλλον ἢ ἔρωτα ὀνομάσας (αὐτὸς μὲν γὰρ | οὐκ ἂν εἴποι αὐτὸν ἔρωτα, οἱ δὲ πολλοί· τοῦτο γὰρ καὶ εἶπεν αὐτὸς ὅτι « ἔρως ἐκλήθη ἡ τοιαύτη ἐπι- f° 32 v° θυμία » ἀντὶ τοῦ « ἐκλήθη παρὰ τῶν πολλῶν ») | μέλλει λοιπὸν ἐπὶ τὰς ἀποδείξεις ἰέναι· μετὰ γὰρ τὴν ὁριστικὴν ἡ ἀποδεικτική ἐστι. Μεταξὺ δὲ διαλέγεται πρὸς τὸν Φαῖδρον διακόψας τὸ συνεχὲς τοῦ λόγου καί φησιν· « ἆρα δοκῶ σοι ὦ Φαῖδρε θεῖον πάθος πεπονθέναι; » Ἐπεὶ γὰρ ἀποδιδοὺς τὸν ὁρισμὸν τοῦ ἔρωτος σκολιῶς αὐτὸν ἀπήγγειλε καὶ συμπεπλεγμένως καὶ καθ' ὑπερβατὸν συνεχῶς (τοιοῦτοι δὲ καὶ οἱ διθυραμβικοὶ ὕμνοι ἐλέγοντο εἰς τὸν Διόνυσον), διὰ τοῦτό φησι θεῖον πάθος πεπονθέναι, οὔτε μόνον θεῖον (οὐ γὰρ ἐνθουσιαστικῶς τέως ἐνεργεῖ ὡς ἐν τῇ παλινῳδίᾳ) οὔτε μόνον πάθος ὡς ὁ Λυσίας, ἀλλὰ τὸ ὅλον τοῦτο θεῖον πάθος, ἐπειδὴ μέλλει μὲν περὶ τοῦ σώφρονος καὶ κοσμίου ἔρωτος τῆς ψυχῆς διαλέγεσθαι, οὐκ ἀπήλλακται δὲ τοῦ μεμνῆσθαι τοῦ ἐν ὕβρει ἔρωτος τοῦ ὡς πάθους, ἐπιρραπίζων αὐτόν. Τοῦ οὖν μεταξὺ διακόψαι τὸ συνεχὲς τοῦ λόγου τὸν Σωκράτην τρεῖς ἂν ἀποδοίης αἰτίας· μίαν μὲν λογικὴν ὅτι, ἐπειδὴ μετὰ τὸν ὁρισμὸν τοῦ ἔρωτος μέλλει λοιπὸν ἐπὶ τὰς ἀποδείξεις ἰέναι, τουτέστιν ἐπὶ τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ τοιούτῳ ἔρωτι (ἐκ γὰρ τῶν ὁρισμῶν τὰ καθ' αὑτὰ ὑπάρχοντα ἀποδείκνυνται), διὰ τοῦτο ἔτεμε τὸν λόγον· ἑτέραν δὲ ἠθικὴν ὅτι ἠβουλήθη τὸν Φαῖδρον ἰδεῖν πῶς ἔχει καὶ διάκειται πρὸς τοὺς τοιούτους λόγους, καί φησι· « πάνυ μὲν οὖν εὔροιά τίς σε εἴληφε »· τρίτην δὲ ἀποδοίης ἂν ἐπιστημονικωτάτην καὶ θεολογικωτάτην ὅτι ταῖς προσφόροις ἡμῶν καὶ τοιαῖσδε ζωαῖς πρόσφοροι καὶ ἐλλάμψεις καὶ ἐπίπνοιαι ἡμῖν ἐκ τῶν θεῶν ἐνδίδονται, καὶ ἄλλοτε ἄλλῳ θεῷ οἰκειούμεθα κατὰ τὴν τοιάνδε ἡμῶν ζωήν. Τοῦτο γὰρ σημαίνει καὶ τὸ τὸν Ὀδυσσέα νῦν μὲν τῇ Καλυψοῖ, ἄλλοτε δὲ τῇ Κίρκῃ συνεῖναι καὶ ἄλλοτε ἄλλῃ θεῷ· ὅτι γὰρ κατὰ τὴν τοιάνδε ἑαυτοῦ ζωὴν μετεῖχεν ἄλλοτε ἄλλων θειοτέρων δυνάμεων καὶ ἐνελάμπετο καὶ ᾠκειοῦτο ἄλλοτε ἄλλῳ θεῷ. Ἐπεὶ οὖν καὶ ἡ ἐνεστῶσα νῦν ζωὴ τοῦ Σωκράτους καθαρτική ἐστι καὶ ἀναγωγὸς (βούλεται γὰρ σῶσαι τὸν νέον καὶ ἀποστῆσαι αὐτὸν τοῦ ἐν τῇ γενέσει καὶ τοῦ ἔξω καλοῦ), ἔφοροι δὲ τῆς γενέσεως αἱ Νύμφαι καὶ ὁ Διόνυσος, διὰ τοῦτό φησι κατέχεσθαι ταῖς

4 cf. 238 A   33 cf. 32, 11

NC 1 ἔρωτος potius legitur in A   7 τῶν om. M   10 ὦ θεῖε Φαῖδρε M   ἐπεὶ γὰρ] ἔπειτα A[a] (ει ex emend.)   13 πάθος — 14 θεῖον om. B   21 αὐτὰ] αὐτὸ M   τῷ τοιούτῳ — 22 ὑπάρχοντα om. EBM (cujus nescius Ast corrigebat 21 ἐπὶ <τὸ> τὰ et 22 ἀποδείκνυσθαι)   26 προσφόροις] προσφοραῖς M   27 θεῷ] θεῶν M (pro ἄλλῳ θεῷ E habet ἄλλωθεν δ')   29 ἄλλῃ — 31 ᾠκειοῦτο ἄλλοτε om. M   29 θεῶν E   34 ὁ om. M

87] Νύμφαις καὶ νυμφόληπτος γενέσθαι καὶ οὐ πόρρω διθυράμβων φθέγγεσθαι, ὡς ἂν τὴν ζωὴν αὐτοῦ εἰς τοὺς ἐφόρους τῆς γενέσεως ἀνατείνας θεοὺς καὶ ἐκεῖθεν ἐμπνεόμενος καὶ ἐξ αὐτῶν τὴν σύλληψιν καὶ βοήθειαν ἔχων. Θεῖον οὖν πάθος πεπονθέναι φησὶν ὁ Σωκράτης ἤτοι ὅτι ἐπιμελεῖται τοῦ νέου ἢ ὅτι εὐπαθῶς ἔχει πρὸς ὑποδοχὴν τῶν θείων ἐλλάμψεων. — Τὸ δὲ « σιγῇ τοίνυν μου ἄκουε » δηλοῖ ὅτι τὰς καταδεεστέρας καὶ ὑφειμένας ἐπέχειν δεῖ ἐνεργείας εἰς τὴν τῶν τελειοτέρων καὶ θείων ἐλλάμψεων ὑποδοχήν, καὶ ὅτι ἠρεμεῖν δεῖ τὰς ὑφειμένας ζωὰς καὶ ἀνθρωπικάς, οἷον καὶ αἰσθήσεις καὶ φαντασίας ἐπέχειν, τῶν τελειοτέρων εἰς αὐτὰ ἐνεργούντων. — Νυμφόληπτον δὲ εἶπεν ἑαυτὸν γίνεσθαι ἐπειδὴ αἱ Νύμφαι προστάτιδές εἰσι τῆς γενέσεως, ἤτοι ἡρωίσσαις τισὶ τὴν ὑπόστασιν ἔχουσαι ἢ καὶ δαιμονίσιν ἢ καὶ ἔτι θειοτέραις τάξεσι. Προστάτιδες δὲ λέγονται τῆς γενέσεως... διὸ καὶ περὶ ὕδατα λέγονται διατρίβειν διὰ τὸ ὑγρὸν τῆς γενέσεως. Ἐπεὶ οὖν ὁ ἔρως ὁ γενεσιουργὸς συνέχει τὴν γένεσιν, οὗ τὴν ἀπόπτωσιν μέλλει κακίζειν ὁ Σωκράτης, εἰκότως φησὶ συναίρεσθαι αὐτῷ τὰς Νύμφας αἵτινες προεστᾶσι τῆς γενέσεως. — Διθυράμβους δὲ εἶπε φθέγγεσθαι ἐπειδὴ σκολιῶς καὶ διὰ μακροῦ καὶ δι' ὑπερβάτων τὰ περὶ τὸν ὁρισμὸν ἀπήγγελται· καὶ οἱ διθύραμβοι δὲ σκολιῶς ἀπηγγέλλοντο καὶ διὰ συνθέτων καὶ πεπλεγμένων ὀνομάτων. Διθύραμβοι δέ εἰσιν ὕμνοι εἰς τὸν Διόνυσον πεποιημένοι, οὐ τὸν κορικόν, ἀλλὰ τὸν ἐκ Σεμέλης καὶ τοῦ μηροῦ τοῦ Διός· οὗτος γάρ ἐστιν ὁ τῆς παλιγγενεσίας αἴτιος θεός, ὅν τινες μὲν Διθύραμβον διὰ τοῦτό φασι κεκλῆσθαι ἐπειδὴ δεύτερον ἐτέχθη, πρῶτον ἐκ τῆς Σεμέλης, ἔπειτα ἐκ τοῦ μηροῦ τοῦ Διός, τὸ μέντοι προσφυέστερον, ὁ καὶ δεύτερον ποιῶν τά τε ἔνυλα εἴδη καὶ πᾶσαν τὴν γένεσιν θύραζε προιέναι
p. 88 παρα|σκευάζων· τὸ δὲ δεύτερον πολλάκις καὶ ἀπειράκις· διὰ τοῦτο δὲ καὶ τὰ σύνθετα τῶν ὀνομάτων ἐν τοῖς διθυράμβοις ἐκλέγονται καὶ σκολιῶς ἀπαγ-
f° 33 r° γέλλουσιν | ὅτι περὶ τὴν γένεσιν ἡ τοῦ θεοῦ ἐνέργεια ὅπου τὸ σκολιὸν καὶ σύνθετον· διὸ καὶ παρὰ ταῖς Νύμφαις τετράφθαι λέγεται· ἢ καὶ ὅτι διὰ τῶν κεράτων ἀναρρήξας ἐξῆλθε καὶ τοῦ κεραυνοῦ. — Τὸ δὲ εὔροια ἀντὶ τοῦ « θεία τις ἔλλαμψίς σε εἴληφεν οὕτω φθεγγόμενον παρὰ τὸ εἰωθός. » Εἰώθει γὰρ ὁ Σωκράτης κατὰ βραχὺ λόγον πρὸς λόγον ποιεῖσθαι τὰς συνουσίας. — Τὸ δὲ « ἴσως γὰρ κἂν ἀποτράποιτο τὸ ἐπιόν » ἀντὶ τοῦ

21 cf. Olymp. *in Phaedr.* p. 174, 1 Finckh : ὅτι ποιητικὸν αἴτιον τὸ αὐτὸ ὅπερ καὶ τῆς ὅλης παλιγγενεσίας· οὗτος δὲ ἦν ὁ Σεμελήιος Διόνυσος   τινὲς cf. *Etym. M.* s. v. ἀπὸ τοῦ δεύτερον τετέχθαι κτλ.

TIT 12 Νύμφαι προστάτιδες τῆς γενέσεώς εἰσιν A

NC 2 αὐτοῦ libri   3 καὶ ante ἐκεῖθεν om. M   5 τοῦ νέου scripsi : τῶν νέων libri   6 μου om. M   11 ἤτοι ἐν ἡρωίσσαις A   13 desunt nonnulla, in quibus dicebatur cur ita vocarentur Nymphæ (διότι κτλ.)   17 δι' om. M   18 τῶν ὁρισμῶν M   23 προφυέστερον M   24 θύραθεν B; θύραθε M   28 καὶ ὅτι] ὅτι καὶ BM

[88] « ἐὰν μὴ σιγήσῃς, ἀλλὰ θορυβήσῃς, ἐκκρούσεις με τῆς κατοκωχῆς τῶν Νυμφῶν. »

νγ'. Εἶεν ὦ φέριστε] 238 D.

Βούλεται ἐντεῦθεν ἐπὶ τὰς ἀποδείξεις ἐλθεῖν τῶν καθ' αὐτὸ ὑπαρχόντων τῷ τοιούτῳ ἐραστῇ, καὶ δεῖξαι ἐκ τοῦ ὁρισμοῦ ὅτι καὶ βλαβερός ἐστι καὶ αἰσχρὸς καὶ ἔτι ἀηδὴς ὁ τοιοῦτος ἐραστής· ταῦτα γάρ ἐστι τὰ καθ' αὑτὰ αὐτῷ ὑπάρχοντα, ἃ καὶ βούλεται ἀποδεῖξαι προσόντα αὐτῷ. Λάβωμεν δὲ τέως αὐτὰ οὕτως. Ἐπειδὴ γὰρ ἡ κατὰ νοῦν καὶ σπουδαία ζωή, ὡς πολλαχοῦ ἔδειξεν ὁ Πλάτων, ἔχει τὰ τρία ταῦτα, τὸ ἀγαθόν, τὸ καλόν, τὸ ἡδύ (καὶ γὰρ ἀγαθή ἐστι καθ' ἑαυτὴν ἡ τοιαύτη ζωὴ καὶ καλὴ καὶ ἡδεῖα· στοιχεῖα γὰρ καὶ ἐν Φιλήβῳ τούτων ἔλαβε, τοῦ μὲν ἀγαθοῦ τὸ ἱκανὸν τὸ τέλεον τὸ αὔταρκες ἑαυτῷ, τοῦ δὲ καλοῦ τὸ τέλεον καὶ σύμμετρον, τοῦ δὲ ἡδέος τὸ εὐφρόσυνον καὶ τὸ εὐφραίνεσθαι καὶ χαίρειν ἐπὶ τῇ τοιαύτῃ ζωῇ), βούλεται πᾶσι τούτοις δεῖξαι ἠναντιωμένον τὸν τοιοῦτον ἐραστήν, καὶ δεῖξαι ὅτι καὶ κακὸς καὶ βλαβερός ἐστι (τοῦτο γὰρ ἀντίκειται τῷ ἀγαθῷ), καὶ ὅτι αἰσχρός (τοῦτο γὰρ ἀντίκειται τῷ καλῷ), καὶ λοιπὸν ὅτι καὶ ἀηδής (ὅπερ ἐστὶν ἐναντίον τῷ ἡδεῖ). Πρότερον δὲ δείκνυσιν ὅτι αἰσχρὸς, εἶθ' ὅτι βλαβερὸς, καὶ τελευταῖον ὅτι ἀηδής. Καὶ διὰ τοῦτο ἤρξατο ἀπὸ τοῦ αἰσχροῦ ἐπειδὴ καὶ περὶ τοῦ καλοῦ τοῦ φαινομένου ἐστὶν ὁ λόγος· ἤρξατο οὖν ἀπὸ τοῦ ἀντικειμένου αὐτῷ τοῦ αἰσχροῦ, δεικνὺς ὅτι αἰσχρός ἐστιν ὁ τοιοῦτος ἐραστής, εἶτα βλαβερὸς, εἶτα ἀηδής. Τριῶν γὰρ ὄντων ὧν πᾶσα ψυχὴ ὀρέγεται, ἀγαθοῦ, καλοῦ, ἡδέος, ὡς εἴρηται, δείκνυσιν ὅτι καὶ ἀλυσιτελής ἐστιν ὁ φορτικὸς ἐραστὴς καὶ αἰσχρὸς καὶ ἀηδής. Διαιρεῖ δὲ τὸ συμφέρον, τουτέστι τὸ ἀγαθόν, τριχῇ· ἢ γὰρ περὶ ψυχὴν ἢ περὶ σῶμα ἢ περὶ τὰ ἐκτός ἐστι τὸ ἀγαθόν, καὶ ἐπὶ ἑκάστου αὐτῶν δείκνυσι φορτικὸν τὸν τοιοῦτον ἐραστήν. Μὴ παρόντων μὲν γὰρ τῶν ἀγαθῶν τῷ ἐρωμένῳ ἥδεται καὶ χαίρει, ὅ ἐστιν ἐπιχαιρεκάκου· οὐ γὰρ βούλεται ὁ ἐραστὴς ὑπερβαλέσθαι αὐτὸν τὸν ἐρώμενον· προσδοκωμένων δὲ γενέσθαι διακωλύει, ὅ ἐστι βασκάνου· γινομένων δὲ † διακωλύει, ὅ ἐστι φθονεροῦ. Πολλῶν οὖν κακῶν αἴτιον ἀποδείκνυσι τὸν τοιοῦτον ἐραστὴν τῷ ἐρωμένῳ.

11 *Phil.* 66 A-C

TIT 3 ἢ κατὰ νοῦν ζωὴ τίνα τρία ἔχει καὶ τίνα τῶν τρίτων τούτων στοιχεῖα C

NC 1 κατακωχῆς libri (sed A²) 3 εἶεν, εἶ rubr. A 4 αὐτὸ] αὐτὰ M cf. 6 5 ὁρισμοῦ] ὡρισμένου M 6 ἔτι ἀηδὴς AST : ἐπιαηδὴς libri 10 αὐτὴν M 12 τέλεον ante τὸ αὔταρκες] τέλειον M 17 δὲ vix legitur in A 23 διαιρεῖ δὲ] διαιρεῖται M 25 καὶ om. M 26 ἐπὶ χαιρεκάκου A 27 προσδοκωμένων] προσδομένων M : προσδεομένων AST 28 διακωλύει : fort. ἀπείργει : cf. Plat. 29 φθονεροῦ AST (cf. Plat.) : φθόνου libri

[88] νδʹ. Τῷ δὴ ὑπὸ ἐπιθυμίας ἀρχομένῳ] 238 E.

Ἐντεῦθεν δείκνυσι διὰ τούτων τῶν ῥητῶν ὅτι αἰσχρός ἐστιν ὁ τοιοῦτος ἐραστής. Καὶ ὁ λόγος τοιοῦτος· ὁ τοιοῦτος ἐραστὴς νοσεῖ, ὁ νοσῶν αἰσχρός ἐστιν· ὁ τοιοῦτος ἄρα ἐραστὴς αἰσχρός ἐστιν. Ὅτι μὲν οὖν ὁ ἐραστὴς οὗτος νοσεῖ, ἐκ τοῦ ὁρισμοῦ δῆλον· στασιάζει γὰρ ἡ ἐν αὐτῷ ἐπιθυμία πρὸς τὸν λόγον, ἐρρωμένως ἐπὶ σωμάτων κάλλος ὁρμῶσα· πᾶσα δὲ στάσις νόσος ἐστὶν, ὡς καὶ ἐν Σοφιστῇ εἴρηται· ὅταν δὲ μὴ μόνον στασιάζῃ τὸ χεῖρον, ἀλλὰ καὶ κρατῇ τοῦ κρείττονος, τότε ἀνατέτραπται πᾶσα καὶ πόλις καὶ οἶκος καὶ ζωὴ τοῦ ἀνθρώπου. Ὅτι δὲ καὶ ἡ νόσος αἶσχός ἐστι, καὶ αὐτόθεν δῆλον· ἀσυμμετρία γάρ τίς ἐστιν ἐν αὐτῷ (διὸ καὶ νοσεῖ), πᾶσα δὲ ἀσυμμετρία αἴσχους ποιητική. Ἐν Σοφιστῇ μὲν οὖν ἀντιδιεῖλε νόσον καὶ αἶσχος· νόσον μὲν τὴν στάσιν λέγων τῆς ἀλογίας πρὸς τὸν λόγον, αἶσχος δὲ τὴν αὐτῆς τῆς λογικῆς ψυχῆς ἄγνοιαν τῶν καλῶν καὶ ἀγαθῶν· νῦν δὲ
p. 89 κοινῶς καὶ τὴν νόσον αἶσχός φησι κατὰ τὸ ἀτελὲς καὶ ἀσύμμε|τρον καὶ παρὰ φύσιν διακείμενον· τοιοῦτος γὰρ ὁ ἀκόλαστος ἐραστὴς νοσῶν καὶ παρὰ φύσιν διακείμενος καὶ μὴ βουλόμενος εἰς μηδὲν ἀντιτείνειν αὐτῷ τὸν ἐρώμενον· ὁ γὰρ σπουδαῖος καὶ κατὰ φύσιν ἔχων τοῦ καλοῦ χάριν ἕλοιτο ἂν ἑαυτῷ τινα καὶ ἐναντιοῦσθαι.

νεʹ. Κρεῖττον δὲ καὶ ἴσον ἐχθρόν] 238 E.

Ἐντεῦθεν δείκνυσιν ὅτι καὶ βλαβερὸς καὶ ἀνωφελὴς καὶ κακός ἐστι τῷ
f° 33 v° ἐρωμένῳ ὁ τοιοῦτος ἐραστής· | οὔτε γὰρ κρείττονα ἑαυτοῦ οὔτε ἴσον βούλεται ὁ ἐραστὴς τὸν ἐρώμενον εἶναι οὔτε κατὰ ψυχὴν ἐπιστημονικώτερον οὔτε κατὰ σῶμα ῥωμαλεώτερον οὔτε ἐν χρήμασι πλουσιώτερον, ἀλλ' ἐν πᾶσι τούτοις ἥττονα· ὥστε βλαβερὸς αὐτῷ ἐστιν. Ἐὰν γὰρ ὑπερέχῃ αὐτοῦ ὁ ἐρώμενος, καταφρονεῖ αὖ τοῦ ἐραστοῦ. Καὶ καταλέγει ταῦτα οἷς ᾔδει χαίροντα τὸν Φαῖδρον, τῷ ἀνδρείῳ καὶ τῷ ῥητορικῷ καὶ τῷ σοφῷ καὶ ἐπιστημονικῷ, ὅτι « ἐν πᾶσι τούτοις οὐ βούλεταί σε ὁ ἐραστὴς προκόψαι. » — Πόνων δὲ ἀνδρείων καὶ ἱδρώτων ξηρῶν ἄπειρον λέγει, ἱδρῶτας ξηροὺς λέγων τοὺς ἀπὸ γυμνασίων· ξηροῦ γὰρ ὄντος τοῦ σώματος ἡ κίνησις προκαλουμένη τὴν ἔμφυτον θερμότητα ἀπωθεῖται τὸ περιττόν. Εἶεν δ' ἂν ὑγροὶ ἱδρῶτες οἱ ἀπὸ λουτρῶν καὶ οἰνοποσίας προχεόμενοι, ὡς ὁρῶμεν τοὺς τρυφῶντας ἀνθρώπων· οὗτοι γὰρ οὐκ εἰσὶ ξηροὶ ἱδρῶτες, ἀλλ' ὑγροί. —

7 *Soph*. 228 A 28 239 C

NC 1 τῷ, τ rubr. A 6 ἐρρωμένως] ἐρρωμένος M (jam correxerat Ast) cf. Plat. 8 καὶ ante κρατῇ om. M ἀνατέτραπται] ἀνατρέπεται M 12 ἀλογίας] ἀληθείας M 19 κρεῖττον, κ rubr. A 19 et 21 ἶσον A ut solet 21 γὰρ] δὴ Plat. κρείττω Plat. ἴσον] ἰσούμενον Plat. 23 ῥωμαλεώτερον] ἐρρωμενέστερον B[1]M 24 ἥττω Plat. 25 καταφρονεῖ αὖ] καταφρονεῖν αὖ BM : καταφρονοῖ ἂν Ast 29 ξηροὺς] ξυροὺς A[a] 30 ἔκφυτον M ἀπωθεῖται] ἀποθεῖται BDEM : ἀποθεῖναι Ast 32 ἀνθρώπους A

[89] Κτήματα δὲ καλεῖ πάντα τὰ ἐκτὸς, καὶ διαιρεῖ αὐτὰ εἰς τρία, πατέρας, φίλους, χρήματα, καὶ δείκνυσιν ὅτι ἐν πᾶσι τούτοις βλαβερός ἐστιν ὁ τοιοῦτος ἐραστὴς τῷ ἐρωμένῳ· οὔτε γὰρ πατέρας βούλεται αὐτὸν ἔχειν οὔτε φίλους οὔτε χρήματα.

νϛʹ. Ἔστι μὲν δὴ καὶ ἄλλα κακά] 240 B.

Ἐντεῦθεν λοιπὸν ὅτι καὶ ἀηδής ἐστι τῷ ἐρωμένῳ ὁ τοιοῦτος ἐραστὴς καὶ οὐκ εὐφρόσυνος δείκνυσι, καί φησιν ὅτι ἔστι τινὰ κακὰ πράγματα, οἷον καὶ ὁ κόλαξ καὶ ἡ ἑταίρα (κακοὶ γάρ εἰσιν οὗτοι ὅτι πρὸς πάθος ἀεὶ ποιοῦνται τοὺς λόγους) τοῦ οἰκείου κέρδους ἕνεκεν καὶ ἐξαπατῶσι καὶ ἐπιορκοῦσι καὶ προδιδόασι πολλάκις μικροῦ ἀργυρίου τὸν δοκοῦντα αὐτοῖς φίλον· ἀλλ' ὅμως φύσει ὄντες κακοὶ, ἡδεῖς εἰσι τοῖς συνοῦσι, καὶ τέρπονται αὐτοῖς οἱ συνόντες καὶ χαίρουσι τῇ ὁμιλίᾳ αὐτῶν. Τῷ δὲ ἐρωμένῳ ὁ ἐραστὴς καὶ εἰς συνουσίαν καὶ ὁμιλίαν ἀηδής· ἀηδίζεται γὰρ ὁρῶν ὁ νέος πρεσβυτικὴν ὄψιν ἀπεσκληκυῖαν, ἀεὶ πρὸς ἀνάγκην ὁμιλοῦντα αὐτῷ καὶ μὴ ἐῶντα αὐτὸν συνδιάγειν τοῖς ὁμήλιξιν ἑαυτοῦ, μηδὲ ὅπου βούλεται ἀπιέναι. Δαίμονα μὲν οὖν εἶπε μῖξαι τῷ κόλακι καὶ τοῖς τοιούτοις κακοῖς τὸ ἡδὺ,
f° 34 r° ἐπειδὴ ἀπὸ τοῦ δαιμονίου γένους πρώτως ἄρχεται ἡ τῶν ἀγαθῶν | καὶ κακῶν διαίρεσις· πᾶν γὰρ τὸ ὑπὲρ τὸ δαιμόνιον γένος μονοειδῶς ἔχει τὸ ἀγαθόν. Ἔστιν οὖν τινα γένη δαιμόνων τὰ μὲν μερίδας τινὰς τοῦ κόσμου κατακοσμοῦντα καὶ ἐπιτροπεύοντα, τὰ δὲ εἴδη τινὰ ζῴων. Κατέχειν οὖν σπουδάζων τὰς ψυχὰς εἰς τὸν ἑαυτοῦ κλῆρον οἷον εἰς ἀδικίαν ἢ ἀκολασίαν, δέλεαρ τὴν ἡδονὴν τὴν ἐν τῷ παραυτίκα ἀναμίγνυσιν ἐν αὐταῖς ὁ ἔφορος τῆσδε τῆς ζωῆς δαίμων. Ἄλλοι δέ τινές εἰσι τούτων ἐπαναβεβηκότες δαίμονες οἳ κολάσεις ἐπιπέμπουσι ταῖς ψυχαῖς ἐπιστρέφοντες αὐτὰς εἰς τελεωτέραν καὶ ὑπερτέραν ζωήν. Καὶ τοὺς μὲν πρώτους ἀποτρέπεσθαι δεῖ, τοὺς δὲ δευτέρους ἐξευμενίζεσθαι. Εἰσὶ δὲ καὶ ἄλλοι κρείττονες δαίμονες τὰ ἀγαθὰ μονοειδῶς ἐπιπέμποντες. — Οὐκ ἄμουσον δὲ ἡδονὴν τὴν τοῦ κόλακος εἶπε διὰ τὸ ὅπως ποτὲ βούλεσθαι αὐτὸν συναρμόζεσθαι... — Ἐπειδὴ δὲ εἶπεν· ἧλικα γὰρ καὶ ὁ παλαιὸς λόγος τέρπειν τὸν ἥλικα, ζητήσειεν ἄν τις εὐλόγως· « τί οὖν; οὐκ ἂν μαθητὴς διδασκάλῳ

17 ἐπειδὴ — 27 ἐπιπέμποντες jam edid. Van Goens ad Porph. *de antro nymph.* p. 94 ex P. 22 δέλεαρ cf. *Soph.* 222 E; *Tim.* 69 D 29 240 C cf. 3, 24

NC 5 ἔστι, ἔ rubr. A 8 κόλαξ] κάραξ M (jam correxerat Ast) 9 καὶ ante ἐξαπατῶσι om. M 10 προδιδόασι] προσδιδόασι M 13 ὁρῶν ὁ νέος] ὁ νέος ὁρῶν M ὄψιν πρεσβυτέραν Plat. 240 D 14 ἀπεσληκυῖαν M 16 μίξαι libri 18 ὑπερδαιμόνιον P 20 κατέχει D 21 σπουδάζων Ast : σπουδάζει A^aDE : σπουδάζειν BM ἡ ἀκολασία P 22 δέλεας M ἀναμιγνύον P 23 ὑπερβεβηκότες A^a 25 τελειοτέραν A^a 26 ἐξευρενίζεσθαι A^a δαίμονες οἳ... ἐπιπέμπουσιν A^a 28 sententia videtur esse manca

[89] ἡδέως συνημερεῦσαι, ἢ υἱὸς καθήκων πατρί; » Ἢ ῥητέον ὅτι διττὴ <ἡ> ἀνομοιότης, ἢ μὲν σὺν τῇ ὁμοιότητι προιοῦσα ὥσπερ καὶ ἡ ἑτερότης σὺν τῇ ταυτότητι, ἥτις καὶ ἐπιστρέφει τὸ καταδεέστερον εἰς τὸ ἑαυτοῦ πρεσβύτερον καὶ τελειότερον καὶ οὐ καθέλκει τὸ κρεῖττον εἰς χεῖρον· ἣ δὲ ἀπὸ τῆς ὕλης καὶ τῆς ἐνδείας ἀναβλαστάνει, ἥτις οὔτε ἐπιστρέφει τὸ καταδεέστερον... ἀλλὰ καὶ χεῖρον ποιεῖ τὸ πρεσβύτερον καὶ τελειότερον. Τοιαύτης δὲ ἀνο-
p. 90 μοιότητος μετέχει τὰ εἴδη ἐν τῇ ὕλῃ γινόμενα· | ἐξίσταται γὰρ ἑαυτῶν καὶ διασπᾶται περὶ τὴν ὕλην. Ὥσπερ δὴ καὶ ἡ ἀνάγκη διττή, ἣ μὲν θεία καὶ ἀεὶ ἀγαθὴ οἵα ἡ ἐν τοῖς θεοῖς, ἣ δὲ ὑλικὴ καὶ οὐκ ἀγαθὴ οἵα ἡ ἐν τοῖς τῇδε πράγμασι. — **Θρέμματα** δὲ καὶ **θηρία** ἐκάλεσε τὸν κόλακα καὶ τὴν ἑταίραν ὡς κατὰ τὸ ἄλογον μόνον ζῶντας.

νζʹ. Καὶ ἐρῶν μὲν βλαβερός τε καὶ ἀηδής] 240 E.

Διεῖλε τὸν χρόνον εἴς τε τὸν ἐν ᾧ κατείχετο ἐρῶν καὶ εἰς τὸν ὅτε ἐπαύ-
f° 34 v° σατο, καὶ οἷα μὲν κακὰ καὶ ὅσα συμβαίνει τῷ ἐρωμένῳ | ἀπὸ τοῦ ἐραστοῦ ἐν ᾧ ἤρα χρόνῳ ἔδειξε· λοιπὸν ἔπειτα χρόνον παυσάμενος τοῦ ἔρωτος ὁ ἐραστὴς ἄπιστος καὶ ἄδικος καὶ βλαβερός ἐστι τῷ ἐρωμένῳ. — Τὸ δὲ **ὀστράκου μεταπεσόντος ἵεται φυγῇ μεταβαλὼν** [καὶ] ἀντὶ τοῦ· ἀντὶ τοῦ ἀκολάστου ἔρωτος τὸν σώφρονα κτησάμενος· — Τὸ δὲ **ἵεται φυγῇ** ἐπειδὴ κἀκεῖ οἱ νικῶντες φεύγουσιν ἵνα πλεῖον διάστημα βασταχθῶσι. Τοῦτο δέ ἐστιν ἐκεῖνο ὃ κατὰ τὴν ὀστρακίνδα καλουμένην παιδιὰν γινόμενόν ἐστιν, ἣν Πλάτων ὁ κωμικὸς ἐν τῇ **Συμμαχίᾳ** σαφῶς συνίστησι διὰ τούτων·

εἴξασιν γὰρ τοῖς παιδαρίοις τούτοις οἳ ἑκάστοτε γραμμὴν
ἐν ταῖσιν ὁδοῖς διαγράψαντες, διανειμάμενοι δίχ' ἑαυτούς,
ἑστᾶσ' αὐτῶν οἳ μὲν ἐκεῖθεν τῆς γραμμῆς οἳ δ' αὖ ἐκεῖθεν·

21 fr. 153 (I 640 Kock) etiam ab Eustathio 1161, 42 laudatum; de hoc ludo cf. schol. 241 B (p. 267 Herm.); Miller *Mélanges* p. 436; Poll. IX 111-113; R. Förster *Rhein. Mus.* XXX 288. Verba ὀστράκου περιστροφή **(*Rep.* VII 521 C) vel** ὀστράκου μεταπεσόντος **apud omnes parœmiographos inveniuntur: v. in primis Apostol. XIII 3 (Leutsch II 570, 4) qui hunc *Phædri* locum laudat.**

TIT 17 πόθεν ἡ παροιμία τὸ ὀστράκου μεταπεσόντος **C**

NC 1 συνημερεῦσαι **scripsi :** συνημερεύσοι **A :** συνημερεύοι **M** καθήκων **(A^{a}) suspectum :** καθῆκον **vel** καθηκόντως **conj. Ast** ὅτι **om. BM** ἡ **addidi 4** οὐ καθέλκει] οὔθ' ἕλκει **M** εἰς **scripsi :** καὶ **libri 5 deest aliquid :** <οὔτε καθέλκει τὸ κρεῖττον εἰς χεῖρον> **9** οἷα] οἷα **utraque M** ἡ **ante** ἐν **om. M 11** μόνον] μόζον **M (jam correxerat Ast)** ζῶντας **A :** ζῶντα **a 12** καί, κ **rubr. A 17** μεταβαλὼν ἀντὶ τοῦ **scripsi :** ἀντὶ τοῦ μεταβαλὼν καὶ **libri 20** ὀστρακίνδαν **A 23** εἴξασι **libri** γὰρ] δὲ **M : om. Eust. (jam correxerat Bekker ad schol. Plat.) 24** ταῖσιν] ταῖς **libri** δίχ'] δίχα **BM :** διχῇ **A^{a} 25** ἑστᾶσ'] ἑστᾶσιν **A :** ἱστᾶσιν **M**

[90] εἷς δ' ἀμφοτέροις ὄστρακον <αὐτῶν> εἰς μέσον ἑστὼς ἀνίησιν·
κἂν μὲν πίπτησι τὰ λεύκ' ἐπάνω, φεύγειν ταχὺ τοὺς ἑτέρους δεῖ,
τοὺς δὲ διώκειν.

Ὁ δὲ ἀναρρίπτων τὸ ὄστρακον ἐπιλέγει « νὺξ ἢ ἡμέρα » διὰ <τὸ> τὸ μὲν ἐντὸς αὐτοῦ μέρος πεπισσῶσθαι τὸ δὲ ἐκτὸς ἀπίσσωτον εἶναι. Ὧν οὖν ἦν τὸ κάτω τοῦ ὀστράκου, οὗτοι ἔφευγον, οἱ δὲ ἐδίωκον. — Τὸ δὲ ἐπιθεάζων λέγει ἀντὶ τοῦ· ἀρώμενος αὐτῷ ὡς μὴ πληρώσαντι τὰς ὑποσχέσεις μηδὲ τοὺς ὅρκους βεβαιώσαντι, οἱονεὶ θεοὺς ἐπικαλούμενος· ἕτερον γὰρ τοῦτο τοῦ ἐπιθειάζειν ἐστίν.

νη'. Ὅτι οὐκ ἄρα ἔδει] 241 B.

Ἐνταῦθα παράγγελμά τι λέγεται ὅτι οὐ δεῖ ταῖς τῶν τυχόντων συνθήκαις καὶ ὅρκοις πιστεύειν· εὐμετάβολοι γὰρ διὰ τὴν ἑαυτῶν εἰσι κακοζωίαν· ἀλλ' ἀρετὴν καὶ νοῦν ἔχοντι πιστευτέον ἐστί· τὰ γὰρ τῶν τοιούτων ῥήματα οὐκ ἀπὸ πάθους πρόεισιν, ἀλλ' ἀπ' αὐτῆς τῆς ἄκρας αὐτῶν καὶ καθαρᾶς ψυχῆς. Ἐνταῦθα οὖν τὸ συμπέρασμα τοῦ λόγου ἐπαγαγὼν ὅτι οὐ δεῖ ἐρῶντι χαρίζεσθαι, ἀλλὰ τῷ μὴ ἐρῶντι, δείκνυσιν ὅτι εἰς τὴν αὐτὴν ὑπόθεσιν τῷ Λυσίᾳ καθῆκε καὶ οὐχ ἁπλῶς εἰς ἄλλην τινὰ ὥς τις <ἂν> ᾠήθη. Τὸν μὲν οὖν φορτικὸν καὶ ὑβριστὴν ἐραστὴν ἀκολούθως σφόδρα ἐπερράπισεν, εἰπὼν ὅτι οὐκ ἄρα ἔδει ποτὲ ἐρῶντι καὶ ὑπὸ ἀνάγκης ἀνοήτῳ χαρίζεσθαι· ἀνάγκῃ γὰρ ἀνόητον αὐτὸν ἐκάλεσε· τὸ δὲ λοιπὸν ἥμισυ τῆς ὑποθέσεως τὸ ἀλλὰ πολὺ μᾶλλον μὴ ἐρῶντι οὐχ ἁπλῶς εἶπε τῷ μὴ ἐρῶντι χαρίζεσθαι, ἀλλὰ προσέθηκε τῷ νοῦν ἔχοντι· τῷ γὰρ μὴ ἐρῶντι νοῦν δὲ ἔχοντι χαρίζεσθαι δεῖ.

νθ'. Εἰ δὲ μὴ ἀναγκαῖον] 241 C.

Μετὰ τὸ εἰπεῖν τὸ συμπέρασμα τοῦ λόγου ἀνακεφαλαιοῦται πάντα τὰ εἰρημένα διὰ βραχέων καὶ συντόμων λέξεων.

ξ'. Ἧς οὔτε ἀνθρώποις] 241 C.

Πῶς εἶπε μήτε θεοῖς εἶναί <τι> τῆς παιδεύσεως τιμιώτερον;

NC 1 ἀμφοτέροις A^a^BE : ἀμφοτέρων sine dubio ex Eust. tacite restituit Ast αὐτοῖς (αὐτῶν Desrousseaux)... ἀνίησιν Meineke : ἀνίησιν εἰς μέσον ἑστὼς libri : αὐτοῖσιν... ἑστὼς Eust. αὐτοῖς ἐπανίησ' εἰς μέσον ἑστὼς Kock 2 πίπτησι Eust. (cf. Kock) πίπτῃ libri λευκὰ A 4 νὺξ ἡμέρα Poll. τὸ addidi 5 αὐτοῦ — ἐκτὸς om. BM : unde Ast pro ἐντὸς legebat ἐκτὸς addens : « *sed Hermiæ orationem mancam esse facile intellegitur.* » 9 non igitur apud Platonem legendum cum cod. B ἐπιθειάζων 10 ὅτι, ὅ rubr. A 14 πρόσεισι M 17 ὥς τις] ὥσπερ M ἂν addidi 18 σφόδρα om. M ἀπερράπισεν M : cf. 54, 18 19 ὑπ' M Plat. 20 ἀνάγκην A αὐτὸ A 23 δεῖ χαρίζεσθαι M 24 εἰ δὲ rubr. A 26 βραχειῶν ? 27 ἧς rubr. A 28 μήτε] μὴ M : οὔτε Plat. de voce τι addenda cf. Badham ad Platonis locum

[90] ἀνθρώποις μὲν γὰρ ἀληθὲς, ἐπειδὴ τὴν ἀληθῆ αὐτῶν οὐσίαν, τουτέστι
τὴν ψυχὴν, ὠφελεῖ καὶ τελειοῖ· πῶς δὲ καὶ θεοῖς; Ἢ ὅτι εἰσὶ θεοὶ ψυχὰς
ἔχοντες αἵτινες ἀιδίως ἔχουσι τὴν θείαν παίδευσιν· εἶναι γὰρ καὶ ταύτης
προστάτην θεὸν, ὥσπερ δὴ καὶ ὑγείας, ἧς πρώτως μὲν θεοὶ, δευτέρως δὲ
ἢ καὶ πολλοστῶς ἄνθρωποι μεταλαμβάνουσιν. Ἢ λέγοιτο ἂν θεοῖς τιμία
ὡς πρὸς ἀναφορὰν πάλιν τῶν ἀνθρώπων, ἅτε αὐτοὺς τοῖς θεοῖς συν-
f°35r° άπτουσα. — Τὸ δὲ ὡς λύκοι ἄρνα | φιλοῦσιν ἀπὸ τοῦ Ὁμηρικοῦ
παρῴδηται:

ὡς οὐκ ἔστι λέουσι καὶ ἀρνάσιν ὅρκια πιστὰ
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσι.

p. 91 — Τὸ δὲ σιτίου τρόπον χάριν πλησμονῆς ἀντὶ τοῦ· ὡς τοῦ σιτίου|
ἐφιέμεθα ἕνεκεν τοῦ πληρῶσαι τὴν γαστέρα, πληρωθέντες δὲ οὐκέτι προσιέμεθα ἀλλὰ καὶ ἀποστρεφόμεθα, οὕτω καὶ οἱ τοιοῦτοι ἐρασταὶ οἱ ἀκόλαστοι ἔχουσι πρὸς τὰ παιδικά.

ξα'. Τοῦτο ἐκεῖνο] 241 D.

Ἐπειδὴ εἶπεν ἐν τῷ λόγῳ ἑαυτοῦ ὁ Σωκράτης, αἰσθανόμενος ὅτι κάτοχος γίνεται ταῖς Νύμφαις· « ἀτὰρ ὦ φίλε Φαῖδρε δοκῶ τι σοὶ ὥσπερ ἐμαυτῷ θεῖον πάθος πεπονθέναι, » καὶ ὅτι « ἐὰν πολλάκις νυμφόληπτος προϊόντος τοῦ λόγου γένωμαι μὴ θαυμάσῃς, » διὰ τοῦτο, αἰσθόμενος ἑαυτοῦ νῦν ὅτι ἐνθουσιᾷ, φησί· « τοῦτο ἐκεῖνο ὦ Φαῖδρε, » ἀντὶ τοῦ « ὅπερ πάλαι ἔλεγον ὅτι ἐνθουσιάσω, τοῦτό μοι νῦν συμβέβηκεν. » Ἐκεῖ μὲν οὖν ἐν μέσῳ τοῦ λόγου ᾐσθάνετο ὅτι ἄρχεται ἐνθουσιᾶν ἐκ τοῦ διθυράμβους φθέγγεσθαι· ἐνταῦθα δὲ ὅτι ἤδη ἐνθουσιᾷ ἐκ τοῦ ἔπη φθέγγεσθαι· ἐφθέγξατο γὰρ πρὸς τῷ τέλει τοῦ λόγου ἔπος εἰπὼν

ὡς λύκοι ἄρν' ἀγαπῶσ' ὣς παῖδα φιλοῦσιν ἐρασταί.

Ὁ μὲν γὰρ διθύραμβος σκολιὸς καὶ σκοτεινὸς καὶ συμπεπλεγμένος, τὸ δὲ ἔπος λεῖον καὶ εὔλυτον καὶ σαφὲς καὶ εὔμετρον. Διὸ ἐκεῖ μὲν ἐκ τῆς δι-

9 X 262-63 : cf. schol. 241 D (p. 268 Herm.) 17 238 C 18 238 D
26 versus laudatus (ex Platone) ab HERMOGENE περὶ ἰδεῶν II (II 363, 19 Speng.), cujus altera pars proverbium apud DIOGEN. VIII 76 (Leutsch I 320, 9) et APOSTOL. XVIII 66 (II 739, 12)

NC 1 οὐσίαν] συνουσίαν M 4 καὶ om. M 7 ἄρνα φιλοῦσιν] ἄρνα φιλοῦσ' Hermog. cf. 26 : ἄρνας ἀγαπῶσιν Plat. codd. : ἄρν' ἀγαπῶσ' BEKKER
8 παρῴδηται] παρείληπται A¹ 9 ἔστιν A¹ ἀρνάσιν M (sed v. *præf.* cf. *add. et corrig.*, 6) : ἀνδράσιν ceteri 10 οὐδὲ M : οὔτε ceteri ἔχουσιν schol. 11 τοῦ post ὡς om. M 15 τοῦτο, τ rubr. A 18 ἐὰν ἄρα πολλάκις Plat. 26 ἄρνα ἀγαπῶσιν A : cf. 7 NC ὣς παῖδα] ὥσπερ παῖδα Diogen. 28 ἐκεῖ μὲν] ἐκεῖθεν μὲν M

[91] θυραμβώδους ἀπαγγελίας ᾐσθάνετο ὅτι ἄρξεται ἐνθουσιᾶν προϊόντος τοῦ λόγου· [διὸ καὶ θεῖον πάθος αὐτὸ κέκληκεν, οὔτε μόνον θεῖον οὔτε μόνον πάθος, ἀλλὰ τὸ ὅλον τοῦτο θεῖον πάθος·] ἐνταῦθα δὲ ὅτι ἐνθουσιᾷ, ἐπειδὴ « ἔπη ἤδη φθέγγομαι, ἀλλ' οὐκέτι διθυράμβους. » Οἰκεῖα δὲ τὰ ἔπη καὶ ἡ τούτων ἔμμετρος καὶ εὔλυτος ἀπαγγελία τῷ θείῳ ἐνθουσιασμῷ, ὥσπερ ἡ σκολιὰ καὶ δυσκατάστατος ἀπαγγελία τοῖς διθυράμβοις. Παύσασθαι οὖν βούλεται ὁ Σωκράτης, ὥσπερ συμβόλῳ χρώμενος μέτρον αὐτῷ ἔχειν τὸν λόγον τῷ ἔμμετρα αὐτῷ ἐπεληλυθέναι ἔπη εἰπεῖν. Καὶ γὰρ ἐν τοῖς μαντείοις οἱ ἐνθουσιῶντες ἔμμετρα φθέγγονται. Διὰ τί δὲ ὁ Σωκράτης παραιτεῖται ἐνθουσιάσαι καὶ κάτοχος γενέσθαι ταῖς Νύμφαις; Ἢ, ὅπερ εἴπομεν, ἐπειδὴ τῆς γενέσεως προστάτιδές εἰσιν αἱ Νύμφαι, αἱ μὲν τὴν ἀλογίαν κινοῦσαι, αἱ δὲ τὴν φύσιν, αἱ δὲ τὰ σώματα ἐπιτροπεύουσαι, Ναΐδες τέ τινες καὶ Ἁμαδρυάδες καὶ Ὀρεστιάδες καλούμεναι, περὶ ἀναγωγὴν δὲ ἐσπούδαζε ψυχῆς ὁ Σωκράτης, τὴν ψυχὴν τὴν ἑαυτοῦ ἀεὶ περιάγων ἐπὶ τὰ νοητὰ καὶ ἄυλα εἴδη καὶ τὰ τοῖς θεοῖς ἡνωμένα, εἰκότως παραιτεῖται τὸ κάτοχος ὑπὸ τῶν Νυμφῶν γενέσθαι. Ἄλλῳ γὰρ ἄλλα καθήκει καὶ ἄλλῳ πρὸς ἄλλους οἰκειότης· ὡς εἰ ἔλεγεν ὁ Σωκράτης· « οὐ βούλομαι περὶ τὸ ἔνυλον κάλλος ἐνθουσιᾶν, ἀλλ' οὐδὲ περὶ τὸ μέσον τὸ ψυχικὸν ἴδιωμα, περὶ ἐπιστήμας καὶ ἀρετὰς καὶ περὶ τὸν σώφρονα ἔρωτα, ἀλλὰ περὶ τὴν νοερὰν καὶ θείαν τῆς ψυχῆς ἐνέργειαν· » εἰ γὰρ καὶ καλοὶ οἱ περὶ τοὺς μέσους λόγους τῆς ψυχῆς ἐνθουσιασμοὶ καὶ ἡ θεωρία ἡ περὶ αὐτὰ καὶ τὰ αἰσθητὰ καὶ σύνθετα κάλλη, ἀλλ' οὖν κοιλότεροι καὶ καταδεέστεροί εἰσιν ὡς πρὸς τὴν ἄκραν τοῦ Σωκράτους θεωρίαν. Ὅπερ οὖν περὶ τοῦ δημιουργοῦ εἴρηται ἐν Τιμαίῳ ὅτι « ταῦτα εἰπὼν τοῖς νέοις θεοῖς ἀνεχώρει εἰς τὴν ἑαυτοῦ περιωπήν, » τοῦτο καὶ νῦν ὁ Σωκράτης διατρίψας περὶ τοὺς μέσους λόγους τῆς ψυχῆς καὶ ψέξας τὸν ἀκόλαστον ἔρωτα καὶ καταλείψας τῷ Φαίδρῳ ἀφ' ἑαυτοῦ προβαλεῖν τοὺς περὶ τοῦ σώφρονος ἔρωτος λόγους, ἀναχωρεῖν βούλεται εἰς τὴν ἑαυτοῦ περιωπὴν καὶ τὰς νοερὰς ἐνεργείας. Τὸ δὲ ἐφεστὼς δαιμόνιον διακατέχει αὐτὸν ἔτι περὶ τὴν γένεσιν ἵνα τελεώσηται τὸν λόγον καὶ προενέγκηται τοὺς περὶ τοῦ θείου καὶ ἀναγωγοῦ ἔρωτος λόγους. Ἑώρα γὰρ τὴν ἐπιτηδειότητα τοῦ

9 διὰ — 13 καλούμεναι jam edidit Van Goens ad Porph. *de antro nymph.* p. 101 ex P 11 εἴπομεν 55, 11 et 13 19 τὸ ψυχικὸν — 20 ἔρωτα cf. 47, 26-27 24 *Tim.* 41 C : sed verba quæ sequuntur in *Politico* 272 E leguntur

TIT 13 περὶ Νυμφῶν A : Νυμφῶν ὀνόματα C

NC 2 διὸ — 3 πάθος seclusi ut ex 54, 13-16 repetita 4 ἤδη ἔπη Plat. 10 δὲ om. P 12 ἀλογίαν] ἀναλογίαν MP 13 ναΐδες] νεανίδες suprascripto ναΐδες B : νεανίδες MP : ναιάδες Ast (idem conjeceral Van Goens) τέ] δέ MP 14 ἀναγωγῆς M 25 ἀνεχώρει] ἀνεχώρησε M αὐτοῦ Plat. cf. 28 29 ἐφεστὸς M : cf. Kühner-Blass § 317, 3 30 τελειώσηται M προενέγκηται] προσενέγκηται M

[91] Φαίδρου δεκτικὴν οὖσαν τῶν θειοτέρων τοῦ ἔρωτος λόγων οὓς περιέχει ἡ παλινῳδία. — Διὰ τί δὲ ὁ Σωκράτης κακίσας τὸν ἀκόλαστον ἔρωτα καὶ εἰπὼν ὡς οὐ δεῖ τῷ τοιούτῳ ἐραστῇ χαρίζεσθαι, οὐκέτι λέγει τὰ περὶ τοῦ μὴ ἐρῶντος τὸν ἀκόλαστον ἔρωτα ἀλλὰ σώφρονος ὄντος, ἀλλά φησιν ὅτι « ὅσα τὸν ἕτερον λελοιδορήκαμεν, τῷ ἑτέρῳ τἀναντία τούτων ἀγαθὰ πρόσεστι; » Φημὶ δὴ ὅτι καὶ τοῦτο σύμφωνον τῇ πανταχοῦ τοῦ Πλάτωνος διδασκαλίᾳ· ἐπειδὴ γὰρ τὰς μαθήσεις ἀναμνήσεις βούλεται εἶναι, p. 92 οἷον δὲ | ὑπό τινων λημῶν ἐπεσκιάσθαι τὸ τῆς ψυχῆς ὄμμα ὑπὸ τῆς γενέσεως, τούτου χάριν τὰ ἐμπόδια μόνον ὑπεξαιρεῖ, ἵνα αὐτὸς ἀφ' ἑαυτοῦ προβάλῃ τἀληθὲς ὁ νέος. Οὕτω καὶ ἐν Θεαιτήτῳ εἶπεν ὅτι οὔτε αἴσθησίς ἐστιν ἡ ἐπιστήμη οὔτε δόξα ἐσφαλμένη οὔτε ὀρθὴ δόξα, ἵνα τὴν μετὰ λόγου αἰτίαν ὁ Θεαίτητος προβάλῃ ἀφ' ἑαυτοῦ. Καὶ νῦν οὖν εἰπὼν ὅσα κακὰ ἔχει ὁ ἀκόλαστος ἐραστής, καταλείπει τῷ Φαίδρῳ ἀφ' f° 35 v° ἑαυτοῦ προβαλεῖν τὰ ἐναντία τούτων | ὅσα ἔχει ἀγαθὰ ὁ σώφρων ἐραστής. Οὐδενὸς γὰρ διὰ τοῦτό φησιν εἶναι διδάσκαλος ὅτι δὴ αὐτὸς μὲν μόνον ὥσπερ ἰατρὸς τὰ ἐμπόδια καὶ τὰς λήμας τῶν ὀφθαλμῶν ἐξαιρεῖ, λοιπὸν δὲ ἀφ' ἑαυτῆς ἡ ψυχὴ κατὰ τὴν αὐτοκίνητον ἑαυτῆς δύναμιν προβάλλει τἀληθές, ὃ κατ' οὐσίαν εἶχε παρὰ τοῦ δημιουργοῦ. Διὰ τοῦτο δὲ καὶ διὰ τῆς ἐπαγωγῆς καὶ τῶν καθ' ἕκαστα εἰώθει ἐπάγειν τοὺς νέους ἐπὶ τὴν τοῦ καθόλου ἀνάμνησιν, ἐπειδὴ ἡ ψυχὴ ἀπὸ τῆς συμπεριπολήσεως τῶν θεῶν ἀποπεσοῦσα καὶ ἀποστενωθεῖσα ἐν τῇ γενέσει, καὶ οἷον ἀποτεμαχισθεῖσα καὶ ἄτομος γενομένη διὰ τῶν μερικῶν καὶ οἰκείων ἑαυτῇ, τότε φιλεῖ ἀναμιμνήσκεσθαι· διὰ τοῦτο οὖν λέγει ὁ Σωκράτης ὅτι « οὐκέτ' ἂν τὸ πέρα ἀκούσαις ἐμοῦ λέγοντος, ἀλλ' ἤδη σοι τέλος ἐχέτω ὁ λόγος, » ὅτι ἠβούλετο αὐτὸν ἀφ' ἑαυτοῦ προβάλλειν τοὺς μέσους λόγους τῆς ψυχῆς καὶ τοὺς περὶ τοῦ σώφρονος ἔρωτος λόγους, καὶ ὅτι συμμέτρους αὐτῷ ᾠήθη τῷ Φαίδρῳ εἶναι τοὺς περὶ τούτου τοῦ ἔρωτος λόγους τοῦ σώφρονος, τοὺς δὲ περὶ τοῦ θείου καὶ ἀναγωγοῦ οὐδέπω. Διὸ αὐτὸς μὲν ὡς ἄνθρωπος ἀποπαύεται, τὸ δὲ δαιμόνιον πάντα εἰδὸς καὶ τὰς ἕξεις καὶ τὰς ἐπιτηδειότητας τῶν ψυχῶν καὶ τοὺς καιροὺς κατέχει αὐτόν, ἵνα καὶ τοὺς ἐνθουσιαστικωτέρους καὶ τελειοτέρους καὶ ὑψηλοτέρους λόγους περὶ τοῦ ἔρωτος καταβάληται· ᾔδει γὰρ τὸν νέον ὠφεληθησόμενον.

7 ἀναμνήσεις *Phædon.* 72 E et pass. *Menon.* pass. alias 8 τὸ — ὄμμα verba sunt Platonis in *Rep.* VII 533 D 10 *Theæt.* 186 sqq 23 241 D

NC 3 τὰ] τὸ M 6 πρόσεστιν Plat. 8 λημμῶν A ἐπεσκιᾶσθαι A¹ 9 ὑπεξαιρεῖ scripsi : ὑπεξαίρει libri 15 δὴ ex δι A 16 λήμμας A : λημμας E ἐξαιρεῖ scripsi : ἐξαίρει libri 18 ὃ] ἢ M : ἣν Ast 20 συμπεριπολήσεως] ἄνω περιπολήσεως A² 21 ἀποτεμμαχισθεῖσα AE 22 τῶν μερικῶν καὶ οἰκείων] τῶν μερικῶν λόγων οἰκείων A² : τὸ μερικὸν καὶ οἰκεῖον M 24 ἀλλ' ἤδη] ἀλλὰ δὴ Plat. cod. T 26 τοῦ om. M 27 σώφρονος σωκράτους M 29 εἰδὸς] εἰδὼς M : ἰδὼς ex ἰδὸς E 31 καὶ τελειοτέρους om. M λόγους om. M

[92] ξϐ'. Καὶ ταῦτα ψέγων] 241 E.

Εἰ γάρ, καὶ ταῦτα ψέγων τὸν ἀκόλαστον ἔρωτα, οὐκέτι διθυράμβους ἀλλ' ἔπη ἄρχεται φθέγγεσθαι, τί ἂν ἐποίησε καὶ πῶς ἂν ἐνεθουσίασε τὸν θεῖον ἔρωτα ἢ καὶ ἀναγωγὸν ἐπαινῶν καὶ ἀνυμνῶν, ἃ ἐνεργήσει ἐν τῇ παλινῳδίᾳ; — Τὸ δὲ « αἷς με σὺ προὔβαλες ἐκ προνοίας » ὅτι πάσας ἑαυτῶν τὰς ἐνεργείας οἱ σπουδαῖοι τῆς προνοίας ἐξάπτουσιν. Ἐπειδὴ οὖν προὔκειτο τῷ Σωκράτει καὶ τῆς γενέσεως καὶ τοῦ περὶ τὴν γένεσιν φαινομένου καλοῦ ἀποστῆσαι τὸν Φαῖδρον, εἰς δὲ ἑαυτὸν ἐπιστρέψαι τὸν Φαῖδρον καὶ τὸ ψυχικὸν κάλλος τό τε τῶν ἐπιστημῶν καὶ τὸ τῶν ἀρετῶν, ἔφοροι δὲ τῆς γενέσεως αἱ Νύμφαι, διὰ τοῦτο τὴν πρόνοιαν τῶν Νυμφῶν αἰτιᾶται τῆς τοῦ Φαίδρου σωτηρίας, ὡς ὑπ' αὐτῶν ἐνθουσιῶν συλλαμβανουσῶν αὐτῷ εἰς τὴν τοῦ Φαίδρου ἀναγωγὴν ἀπὸ τῆς γενέσεως. — Τὸ δὲ ἑνὶ λόγῳ καὶ τὸ <τί> δεῖ μακροῦ λόγου, ὅτι, ὅσῳ ἄνιμεν ἐπὶ τὰ ὑπέρτερα, τοσούτῳ ἑαυτοὺς ἐνίζομεν καὶ εἰς ἁπλότητα καὶ ἀμέρειαν περιάγομεν· ἐν γὰρ τοῖς ἔξω καὶ τοῖς αἰσθητοῖς ἡ σύνθεσις καὶ τὸ ποικίλον καὶ τὸ μακρόν, αἱ δὲ τῆς ψυχῆς προβολαὶ κατὰ ἁπλότητα γίνονται, καὶ οἷον θίξει καὶ ἐπαφῇ τοῦ νοῦ. Διὸ ἑνὶ λόγῳ καὶ ἀμερεῖ αὐτῷ καταλιμπάνει προβαλεῖν τὰς περὶ τοῦ ἀληθινοῦ καὶ σώφρονος ἔρωτος ἐννοίας.

ξγ'. Καὶ οὕτω δὴ ὁ μῦθος] 241 E.

Ἔθος ἦν λέγεσθαι μετὰ τοὺς μύθους, οἷον ἐν τῷ ἐπιμυθίῳ, ποτὲ μὲν ὅτι « καὶ οὕτω δὴ μῦθος ἐσώθη καὶ ἡμᾶς σώσει ἐὰν πειθώμεθα αὐτῷ, » ὡς ἐν τῷ τέλει τῆς Πολιτείας εἶπε, ποτὲ δὲ ὅτι « καὶ οὕτως δὴ μῦθος ἀπώλετο, » ἐνδεικνυμένου τοῦ λόγου ὅτι ἐὰν μὲν τῷ φαινομένῳ τοῦ μύθου ἀκολουθῶμεν, ὥσπερ αὐτὸ τὸ φαινόμενον ἀπόλλυται καὶ οὐδέν ἐστιν, οὕτω καὶ ἡμεῖς ἀπολούμεθα, ἐὰν δὲ τῇ κεκρυμμένῃ θεωρίᾳ ἑπώμεθα ἣν αἰνίττεται ὁ μῦθος, σωθησόμεθα εἰς αὐτὴν τὴν διάνοιαν τοῦ μυθοπλάστου ἀνατρέχοντες, οὐκ ἄχρι τοῦ πλασματώδους μύθου. Διὰ τοῦ
p. 93 οὖν εἰπεῖν « καὶ οὕτω δὴ ὅ τι πάσχειν προσήκει τοῦτο πείσε|ται », ἀμφότερα ἔθηκε καὶ ὅτι ἐσώθη καὶ ὅτι ἀπώλετο, δηλῶν ὅτι ἐὰν μὲν τῷ Λυσίου λόγῳ κατακολουθῶμεν τῷ ὄντι ἀπολούμεθα, ἐὰν δὲ τῷ Σωκράτους

10 cf. 54, 33 et 55, 12 22 *Rep.* X 621 B *Theaet.* 164 D

NC 1 καί, κ rubr. A 3 φθέγγεσθαι] φθέγξασθαι M ἐνθουσίασε M 6 αὐτῶν M 7 προὔκειτο] πρόκειται M 8 εἰς — 9 Φαῖδρον om. M, unde Ast pro καὶ scribebat ἐπὶ « *ut oratio*, addens, *sensum habeat, licet mancam eam esse probe intelligam* » 12 αὐτῷ] αὐτῶν M 13 τί addidi ex Platone 14 ἐνίζομεν A[2]M : ε*γ*ομεν (ε et ο vix leguntur) A[1] : ... μεν (post spatium vacuum) DE, in margine λείπει 17 ἀμερείαν A[1] 19 καὶ rubr. A 20 ἐν] ἐπὶ M 21 οὕτως Plat. δὴ] ὦ Γλαύκων Plat. post ἐσώθη addidit καὶ οὐκ ἀπώλετο Plat. σώσει ἐὰν] ἂν σώσειεν ἂν Plat. : apud Hermiam legendum esse puto <ἂν> σώσειε ἂν 22 ὅτι καί] καὶ ὅτι M οὕτω Plat. et A 28 δὴ ὁ μῦθος Plat. προσήκει αὐτῷ Plat.

3] σωθησόμεθα. — Τὸ δὲ καὶ ἐγὼ τὸν ποταμὸν διαβὰς ἀπέρχομαι ἀντὶ τοῦ· « τὴν γένεσιν ὑπερβὰς καὶ ὑπεριδρύμενος εἰς τὴν νοερὰν ἐμαυτοῦ περιωπὴν ἀνελεύσομαι, πρὶν ἢ τῇ πολλῇ περὶ τὰ ἔξω διατριβῇ ἀναγκασθῶ κατελθεῖν ἐμαυτοῦ ἀπὸ νοῦ εἰς λογισμοὺς καὶ τὸ γενητόν. » — Τὸ δὲ πρὶν ἂν τὸ καῦμα παρέλθῃ ἀντὶ τοῦ « πρὶν ἀποθῶμαι πᾶν τὸ γεῶδες καὶ ἔνυλον καὶ πᾶσαν τὴν λήμην τῆς ψυχῆς καὶ καθαρὸς καὶ ἀυλότερος γένωμαι· » ὁρῶμεν γὰρ ὅτι καὶ οἱ ἐνυλότεροι τῶν τόπων καυστικώτεροί εἰσι. — Σταθερὰ δὲ ἡ μεσημβρία εἴρηται ὅτι ὁ ἥλιος περὶ τὴν μεσημβρίαν γιγνόμενος ἵστασθαι δοκεῖ· ἡ μὲν γὰρ μετάβασις αὐτοῦ ἡ περὶ τὰς ἀνατολὰς διάδηλον ἔχει τὴν παραλλαγήν, ἡ δὲ περὶ τὴν μεσημβρίαν οὐκέτι· ᾧ γὰρ
5 r° λόγῳ | μείζονα φαίνεται τὰ ἄστρα πρὸς τοῖς ὁρίζουσι, τούτῳ καὶ μᾶλλον κινούμενα. Ἢ καὶ ὅτι ἐν τοῖς γνώμοσιν αἱ σκιαὶ ἐλάττονα ἐν τοῖς ἴσοις χρόνοις διαστήματα περὶ τὴν μεσημβρίαν κινοῦνται. Ἢ καὶ διὰ τὴν κάθετον πασῶν οὖσαν στασιμωτάτην. — Δύο δὲ αἰτίας εἶπεν ὁ Φαῖδρος τοῦ δεῖν μένειν, μίαν μὲν τὴν ἐκ τοῦ καύματος, ἑτέραν δὲ τὴν ἐκ τοῦ ὀφείλειν τὴν ψυχὴν αὐτὴν καθ' ἑαυτὴν ἀνελίττειν τοὺς περὶ τῶν εἰρημένων λόγους.

ξδ'. Θεῖός γε εἶ περὶ τοὺς λόγους ὦ Φαῖδρε] 242 A.

Θεῖον τῷ ὄντι νῦν ἀποκαλεῖ τὸν Φαῖδρον ὡς ἐπιτήδειον ἀκοῦσαι τῶν ἐνθουσιαστικῶν τοῦ ἔρωτος λόγων. Αὐτὸς μὲν γὰρ ὡς ἄνθρωπος ἀρκεῖν ἡγούμενος καὶ συμμέτρως ἔχειν τῇ ψυχῇ τοῦ Φαίδρου τὸ θεωρῆσαι τὸ ἐν αὐτῷ ψυχικὸν κάλλος ἀπιέναι ὡρμήθη· ὁ δὲ ἔφορος τῆς ἐνεργείας καὶ θεωρίας τῆς τοῦ Σωκράτους, πάντα τὰ περὶ αὐτὸν καὶ τὸν Φαῖδρον εἰδὼς ἐπέχει τῆς ὁρμῆς αὐτὸν καὶ διακωλύει ἀπιέναι, ἵνα καὶ ὁ Σωκράτης ἐνθουσιαστικῶς ἐνεργήσῃ περὶ τὸν ἔρωτα καὶ τελειώσηται τὸν λόγον καὶ ὁ Φαῖδρος μετάσχῃ τῶν λόγων τούτων ὡς ἐπιτήδειος ὢν καὶ ἀναχθῇ εἰς ὑπερτέραν καὶ ὑψηλοτέραν ζωήν. — Περὶ δὲ τοῦ δαιμονίου Σωκράτους, ὅτι μὲν οὔτε μόριον τῆς ψυχῆς ἐστιν οὔτε ἡ φιλοσοφία αὐτή, ὥς τινες ᾠήθησαν, πολλάκις μὲν εἴρηται, ἐναργῶς δὲ λέγεται παρ' αὐτοῦ καὶ ἐνταῦθα. « Τὸ εἰωθὸς σημεῖόν μοι ἐγένετο δαιμόνιον καί τινα φωνὴν ἤκουσα αὐτόθεν, ὃ ἀεί, φησίν, ἀποτρέπει· » φιλοσοφία δὲ καὶ ἐπιτρέπει πολλάκις, καὶ τὸ μόριον τῆς ψυχῆς ἐφίεται τοῦτο ποιεῖν. Ὅτι μὲν οὖν ταῦτα οὐκ ἔστι τὸ δαιμόνιον Σωκράτους, ἐναργῶς λέγεται, τί δέ ἐστι, ῥητέον.

3 cf. 62, 25 (*Polit.* 272 E) 8 σταθερὰ — 14 στασιμωτάτην jam ediderat **Ruhnken** ad *Tim.* p. 168 ex P

TIT 26 τί ἦν (om. C) τὸ δαιμόνιον Σωκράτους AC

NC 1 καὶ ἐγὼ] κἀγὼ Plat. τὸν ποταμὸν τοῦτον Plat. 6 λήμμην A cf. 63, 16 (λήμμην et hic E) 7 ὁρῶμεν] ὁρῶ μὲν M 9 γινόμενος MP 12 τοῖς ante γνώμοσιν] ταῖς a 16 αὐτὴν M 17 θεῖος, θ rubr. A γε] γ' Plat. 18 τὸ θεῖον M 20 τῇ ψυχῇ] τὴν ψυχὴν M 22 τοῦ scripsi : τότε libri 30 ὃ] ἢ?

[93] Πᾶν μὲν οὖν τὸ δαιμόνιον γένος εἴρηται καὶ παρ' αὐτοῦ ἐν Συμποσίῳ μεταξὺ εἶναι θεῶν καὶ ἀνθρώπων, διαπορθμεῦον τά τε παρὰ θεῶν εἰς ἡμᾶς τά τε ἡμῶν ἀναγγέλλον τοῖς θεοῖς· γένος δέ τι τῶν δαιμόνων ἐστὶν ὑπεριδρύμενον ἡμῶν προσεχῶς καὶ κατευθῦνον ἕκαστον ἡμῶν· ἕκαστος γὰρ ἡμῶν πάντως ὑπό τινα τελεῖ δαίμονα ὃς πάσης ἡμῶν τῆς ζωῆς ἐπάρχει· οἷον οὐ πάντων τῶν περὶ ἡμᾶς κρατοῦμεν, οὔτε γὰρ τῆς τοιᾶσδε πράξεως κύριοί ἐσμεν, οἷον τοῦ στρατηγῆσαι, οὔτε μὴν αὐτῆς ἡμῶν τῆς φύσεως· εἰ γὰρ λέγοις ὅτι ὁ λόγος πάντων τῶν περὶ ἡμᾶς κρατεῖ, οὐκ ἀληθεύσεις· οὔτε γὰρ ὅτε κοιμώμεθα τῶν τοιῶνδε φαντασμάτων ἐσμὲν κύριοι, οὔτε τοῦ τὰ σιτία τοιῶσδε ἢ τοιῶσδε πεφθῆναι. Δεῖ δέ τι πάντων τῶν περὶ ἡμᾶς ἓν κρατεῖν καὶ κυβερνᾶν καὶ κατευθύνειν πᾶσαν ἡμῶν τὴν ζωήν. Εἰ μὲν οὖν λέγοις ὅτι οὗτός ἐστιν ὁ θεός, ἐξῃρημένον αἴτιον λέγεις, δεῖ δέ τι προσεχὲς ἡμῶν πάσης τῆς ζωῆς ἐπάρχειν· τοῦτο δέ ἐστιν ὁ εἰληχὼς ἡμᾶς δαίμων, ὃς μετὰ τὴν αἵρεσιν τῆς ψυχῆς ἀποκληροῦται αὐτῇ, πάντων τῶν αἱρεθέντων ἀποπληρωτής. Τούτου οὖν τοῦ δαίμονος οὐ πάντες συναισθάνονται· δεῖ γὰρ πολλὴν τὴν ἐπιτηδειότητα εἶναι καὶ ἐπιστροφὴν τοῦ διοικουμένου πρὸς τὸ διοικοῦν, ἵνα καὶ συναισθάνηται αὐτοῦ τῆς κηδεμονίας. Ὥσπερ γὰρ πάντα μὲν προνοεῖται ὑπὸ θεῶν, οὐ πάντα δὲ συναισθάνεται τοῦ ὅτι προνοεῖται, εἰ μὴ τὰ πεφυκότα ὁρᾶν καὶ κε-
p. 94 καθαρμένα, οὕτω | καὶ ἐπὶ τῆς ἐπιστασίας τοῦ δαίμονος. Γίνεται δὲ ἡ ἐπιτηδειότης καὶ ἡ συναίσθησις πρῶτον μὲν ἐκ τοῦ τὴν ψυχὴν ἑλομένην τάδε τινὰ καὶ ἀποκληρωθεῖσαν τῷδε τῷ δαίμονι εὐθὺς ἐπιστρέψαι πρὸς αὐτὸν καὶ αὐτοῦ ἔχεσθαι ἀεὶ [κατιοῦσαν], καὶ τὸ ἀναγκαῖον πόμα πιεῖν τοῦ τῆς Λήθης ὕδατος ὅσον ἀνάγκη πιεῖν κατιοῦσαν εἰς γένεσιν ὡς μὴ πάντῃ ἐπιλελῆσθαι τῆς τοῦ δαίμονος βουλῆς καὶ ἐπιστασίας. Διὸ αἱ τοιαῦται ψυχαὶ καὶ ἐνταῦθα συναισθάνονται τῆς τοῦ δαίμονος ἐπιστασίας, αἱ δὲ ἄλλαι ψυχαὶ αἱ καταμεμφόμεναι τὸν δαίμονα, ὡς ὁ ἑλόμενος τυραννίδα καὶ παίδων βρώσεις, μὴ ἐπιστρεφόμεναι πρὸς τὸν δαίμονα, ἀλλ' ὡς ἄλογα ἀγόμεναι, αὗται ἀσύνετοί εἰσι πάντῃ καὶ ἐνταῦθα τῆς τοῦ δαιμονίου προστασίας. Ἔκ τε οὖν τοῦ τὰς μὲν εὐθὺς ἐπεστράφθαι πρὸς τὸν εἰληχότα δαίμονα, τὰς δὲ μή, γίνεται ἡ συναίσθησις τοῦ δαίμονος ἢ οὔ, καὶ ἐκ τοῦ μὴ πολὺ πόμα τῆς Λήθης πιεῖν, καὶ ἐκ τῆς τάξεως δὲ τοῦ παντός, ὅτι ἥδε ἡ τάξις τοῦ παντὸς τόνδε μὲν ἐπιτήδειον πρὸς τὸ συναισθά-

1 *Concio.* 202 E 28 *Rep.* X 619 BC

TIT 4 ἕκαστος ἡμῶν πάντως ὑπό τινα τελεῖ δαίμονα C

NC 1 αὐτοῦ] αὐτῷ M cf. 65, 28 4 ἕκαστον] ἕκαστα M 6 ἐπάρχει] ὑπάρχει M cf. 45, 21 al. 7 μὴν] μὲν M 8 λέγοις] λέγεις M 10 δέ τι] δ' ἔτι M 12 λέγοις] λέγεις M cf. 8 13 δέ τι] δ' ἔτι M (jam correxerat Ast) cf. 10 ἐπάρχειν] ὑπάρχειν M cf. 6 15 ἀναιρεθέντων M 20 ἡ ante ἐπιτηδειότης] καὶ M 23 κατιοῦσαν delevi propter sequentia 25 πάντῃ] παύσῃ M 27 αἱ, post ψυχαὶ] καὶ M 28 τυραννίδα om. M 31 γίνεσθαι DE in marg.

[94] νεσθαι ἐποίησε, τόνδε δὲ οὔ· διὸ καὶ τῷδε μὲν τοιόνδε σῶμα ἐπεκλήρωσεν ὥστε καὶ σύμβολα φέρειν τοιάδε κατά τε τὸ φαινόμενον σῶμα κατά τε τὸ πνεῦμα καὶ αὐτὴν τὴν ψυχήν, τῷδε δὲ οὐδαμῶς. Ἔτι δὲ καὶ ἐκ τῆς τοιᾶσδε 36 v° ζωῆς γίνεται ἡ συναίσθησις ἢ μή· οἱ γὰρ σπουδαῖοι ἄνδρες | καὶ εὖ ζῶντες πάντα αὐτῶν τὸν βίον καὶ πᾶσαν ἑαυτῶν ἐνέργειαν καὶ θεωρίαν καὶ πρᾶξιν ἀναθέντες τοῖς θεοῖς καὶ ταῖς ἀφανέσιν αἰτίαις συναισθάνονται διά τινων συμβόλων καὶ σημείων πότερον αὐτοὺς ἀποτρέπει τῆς πράξεως ὁ δαίμων ἢ οὔ. Καὶ διὰ τοῦτο γαλῆς φέρε δραμούσης, ἢ ἐνσχεθέντος τοῦ ἱματίου, ἢ καὶ λίθου πεσόντος, ἢ φωνῆς ῥηθείσης, ἢ σκηπτοῦ κατενεχθέντος, συναισθάνονται τῆς ἀποτροπῆς καὶ ἀπέχονται τῆς πράξεως. Οἱ δὲ πολλοὶ βοσκημάτων βίον ζῶσιν. Ἐξ ὧν ἁπάντων εἰκὸς ἦν τὸν Σωκράτην συνεωρακότα τὴν τοῦ δαιμονίου ἀποτροπὴν μηκέτι ἀπιέναι. Ἀλλὰ τί ἐκώλυε τὸν Σωκράτη, προέτρεπε δὲ οὐδέποτε; καὶ πρῶτον διὰ τί ἐκώλυεν; Ἢ ὥσπερ τῶν ἵππων οἱ μὲν κέντρου δέονται διὰ τὸ βραδεῖς εἶναι, οἱ δὲ χαλινοῦ διὰ τὸ ὀξεῖς ὑπάρχειν, οὕτω καὶ τῶν ἀνθρώπων οἱ μὲν εὐμετάδοτοι καὶ ὑπὸ προθυμίας εὖ ποιεῖν βουλόμενοι καὶ πάσῃ πράξει ἐγχειροῦντες, οἷος ἦν Σωκράτης, κωλύεσθαι πολλάκις ὑπὸ τοῦ δαιμονίου δέονται, οἱ δὲ δυσμετάδοτοι καὶ διεγείρεσθαι. Εἰ δὲ καὶ πρὸς ἀναγωγὴν αὐτὸν παρασκευάζον τὸ δαιμόνιον εἴργει τῶν πολλῶν πράξεων, ἔχοι ἂν καὶ οὕτω λόγον. Ἀλλὰ διὰ τί οὐχὶ καὶ προέτρεπε τὸ δαιμόνιον; Ἵνα μὴ ὡς ἄλογον καὶ ἑτεροκίνητον ᾖ ὁ Σωκράτης, μηδὲν ἀφ' ἑαυτοῦ ποιῶν, μηδὲ ὡς ψυχὴ λογικὴ αὐτοκίνητος. Διὸ ἐφίει μὲν αὐτῷ πράττειν ὡς αὐτοκινήτῳ, εἰ δέ ποτε ὡς ἄνθρωπος σφαλλόμενος οὐ καθῆκεν ὅ τι ἔμελλε ποιεῖν, ἀνέστελλεν αὐτὸν ἀπ' ἐκείνης τῆς πράξεως. Πῶς δέ; οὐχὶ καὶ προτρέπον εὑρεθήσεται τὸ δαιμόνιον, εἴ γε φωνὴν αὐτῷ ἀφῆκεν « ἥ με, φησίν, οὐκ ἐᾷ ἀπιέναι πρὶν ἂν ἀφοσιώσωμαι, ὥς τι ἡμαρτηκότα εἰς τὸ θεῖον »; τὸ γὰρ περιμεῖναι ἀφοσιώσασθαι προτρέποντος ἦν. Ἢ ῥητέον ὅτι τὸ μὲν εἰωθὸς σημεῖον, ὡς καὶ αὐτὸς ἐπεσημήνατο, κωλυτικὸν ἦν· εἰ γὰρ καὶ αὐτὸ φωνή τίς ἐστιν, ὡς καὶ ἀλλαχοῦ εἶπε καὶ νῦν, ἀλλ' εἰωθυῖά τις, τουτέστι κωλυτική· εἰ δὲ λέγοις ὅτι καὶ αὕτη μὲν ἡ φωνὴ ἐκώλυεν ἀπιέναι ἐνδεικνυμένη τὸ ἁμάρτημα, ὁ δὲ Σωκράτης λοιπὸν συνοῖδεν ἀφ' ἑαυτοῦ ὅτι δέοι αὐτὸν ἀφοσιώσασθαι,

25 242 C 28 ἀλλαχοῦ *Theag.* 129 B : cf. *Euthyd.* 272 E

TIT 7 περὶ σημείων C 12 ἀπορία. λύσις ACDE

NC 1 τόνδε] τὸν M ἀπεκλήρωσεν M (ἐπεκληρώθη Desrousseaux cf. Plat. *Leg.* VI 760 A) 3 καὶ post δὲ om. M 4 συνέσθησις D (in marg. σεως;) ἢ μή] ἢ μὲν DE (in marg. D λείπει τι ἐνταῦθα : E ἴσως λείπει τι) 5 αὐτῶν libri 7 ἀποτρέπει] ἐπιτρέπει M 8 σχεθέντος M 10 ἀποτροπίας M 12 Σωκράτην M 13 ὥσπερ] ὥς που A[a] 18 ἐγείρεσθαι M καὶ ante πρὸς om. M 19 καὶ ante προέτρεπε om. M 21 μὴ δὲ A 22 αὐτοκινήτων M (jam correxerat Ast) 23 καθῆκεν M : καθῆκον A ποιεῖν] πιεῖν M : ποιεῖν καὶ Ast 29 λέγεις M cf. 66, 8 et 12

[94] ἔχοι ἄν τινα καὶ οὕτως λόγον. Ἔστι δὲ ἀφοσίωσις ὁσιότητος παραλελειμμένης ἀποπλήρωσις. Ἐπειδὴ δὲ ἔφη « καί τινα φωνὴν ἔδοξα ἀκοῦσαι », δῆλον δὲ ὅτι δαιμονία ἦν ἡ φωνὴ (ἣ γὰρ ἂν καὶ ὁ Φαῖδρος ἤκουσε), ζητητέον πῶς ἀκούονται αἱ τοιαῦται φωναὶ καὶ εἰ ὅλως φωνοῦσιν οἱ δαίμονες. Ὁ μὲν οὖν Πλωτῖνος ἐν τῷ πρώτῳ τῶν περὶ ἀποριῶν οὐδὲν ἄτοπόν φησι φωνὴν ἀφιέναι τοὺς δαίμονας ἐν ἀέρι διαιτωμένους· ἡ τοιάδε γὰρ πληγὴ τοῦ ἀέρος ἐστὶ φωνή. Ἐπειδὴ δὲ καὶ τοῖς οὐρανίοις θεοῖς φωνὴν περιτιθέασιν οἱ θεῖοι ἄνδρες καὶ αἰσθήσεις·

ἠέλιος ὃς πάντ' ἐφορᾷ

καὶ

ὃ δέ μ' ἐς φρένας ἦλθε

p. 95 καὶ παντὶ δὲ | τῷ κόσμῳ φωνὴν περιτιθέασι, ζητητέον κοινόν τινα λόγον ὃς ἐφαρμόσει πᾶσι πῶς φωνοῦσι καὶ ὅλως πῶς αἰσθάνονται τὰ κρείττονα γένη. Ῥητέον οὖν σαφῶς καὶ συντόμως οὕτως· ἐφ' ἡμῶν ὅταν δι' αἰσθήσεως γινώσκωμεν, δύο συμβαίνει· καὶ πάθος περὶ αἰσθητήριον ἡμῶν οἷον περὶ τὴν κόρην ἢ περὶ ἄλλο τι αἰσθητήριον, καὶ γνῶσις αὐτοῦ τοῦ πάθους. Τούτων τὸ μὲν πάθος ἀφέλωμεν τῶν κρειττόνων γενῶν, τὴν δὲ γνῶσιν καταλείψωμεν. Καὶ ῥητέον ὅτι διὰ μὲν πάθους οὐκ αἰσθάνεται τὸ σῶμα τοῦ ἡλίου (περὶ γὰρ αἰσθήσεως ὁ λόγος, ἡ δὲ αἴσθησις περὶ σῶμα), ἀλλὰ ὅλον δι' ὅλου ἐστὶ γνωστικὸν καὶ ὅλον ὄψις ἐστὶν καὶ ὅλον ἀκοή, ὁπότε καὶ ἡμῶν μετὰ τὴν ἀπαλλαγὴν τοῦ σώματος τούτου τὸ ὄχημα λαμπρὸν ὂν καὶ καθαρὸν ὅλον δι' ὅλου ἐστὶν αἰσθητικὸν καὶ κατὰ πᾶν ὁρᾷ καὶ κατὰ πᾶν ἀκούει. Ὅλως δὲ ἰστέον ὅτι τὰς μὲν γνωστικὰς δυνάμεις, ὧν εἰσὶ καὶ αἱ αἰσθητικαί (γνώσεις γάρ τινές εἰσι καὶ αἱ αἰσθήσεις), οἱ θεῖοι καὶ παλαιοὶ ἄνδρες καταλείπουσι τοῖς οὐρανίοις θεοῖς, περὶ δὲ τῆς ὀρεκτικῆς ἐφιστᾶσι· καὶ Πλωτῖνος μὲν καὶ ταύτην δίδωσιν, Ἰάμβλιχος δὲ ἀπογινώσκει. Περὶ δὲ φωνῆς ῥητέον ὅτι αὐτοὶ μὲν οὐ ταύτην τὴν διὰ πληγῆς καὶ ψόφων ἀφιᾶσι φωνήν, οὐδὲ δι' ἀρτηριῶν καὶ ὀργάνων τοιούτων, οὐδὲ δέονται τοῦ μεταξὺ καὶ τῆς ἐν τῷ ἀέρι πληγῆς, ἀλλ' ὥσπερ ἕτερον εἶδος αἰσθήσεως

1 ἔστι — 2 ἀποπλήρωσις = schol. 242 C (p. 268 Herm.) 2 242 C 5 *Ennead.* IV III (qui liber inscribitur περὶ ψυχῆς vel περὶ ψυχῆς ἀποριῶν α') cap. 18 : περὶ δὲ δαιμόνων καὶ ψυχῶν ἐν ἀέρι φωνῇ χρῆσθαι οὐκ ἄτοπον· ζῷα γὰρ τοιάδε 9 μ 323 = λ 119 11 nescio unde sumptum 26 Πλωτῖνος *Ennead.* IV IV 8 (?) : Ἰάμβλιχος cf. 9, 10

TIT 1 τί ἐστι ἀφοσίωσις C 4 πῶς ἀκούονται αἱ θεῖαι φωναί C 5 Πλωτῖνος C 21 [τὸ ὄ]χημα κατὰ πᾶν [ὁρᾷ καὶ] κατὰ πᾶν ἀκούει A

NC 1 δὲ] γὰρ schol. 2 ἔδοξα αὐτόθεν ἀκοῦσαι Plat. 3 δὲ om. M ἣ] ἡ M (jam correxerat AST) 5 ὁ μὲν (sed μ sub macula latet in A)] ὅθεν M τῶν] τῷ M 7 φωνή] πληγή M (jam correxerat AST) 9 ἠελίου Hom. 11 in A δὴ 15 γινώσκομεν M 18 πάθους] πάθος M 24 αἱ ante αἰσθήσεις om. M 26 ἐφιστῶσι M 27 πληγῆς] πληγῶν M

[95] αὐτοῖς ἀπέδομεν γνωστικὸν καὶ οὐ παθητικόν, οὕτω καὶ φωνὴν ἕτερον τρόπον καὶ σύστοιχον αὐτοῖς· Ἄλλως γὰρ παρ' αὐτῶν ἐνδίδοται, καὶ ἄλλως τὸ μεταλαμβάνον δέχεται. Ὥσπερ αὐτοῦ τοῦ ἡλίου μὴ ὄντος καυστικοῦ, ἀλλ' οὔσης ζωτικῆς καὶ ζωοποιοῦ θέρμης ἐν αὐτῷ καὶ ἀπλήκτου, ὁ ἀὴρ παθητικῶς δέχεται τὸ ἀπ' αὐτοῦ φῶς καὶ καυστικῶς· οὕτως οὖν ἁρμονίας οὔσης ἐν αὐτοῖς τινὸς καὶ ἑτέρου εἴδους φωνῆς ἡμεῖς παθητικῶς ἀκούομεν· ἀκούομεν δὲ οὐ δήπου τούτοις τοῖς αἰσθητοῖς ὠσίν, οὐδὲ ταύταις ταῖς
'37 r° ὄψεσι | καὶ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς τὰς δαιμονίας καὶ θείας ὄψεις ὁρῶμεν, ἀλλ' ἐπειδὴ πασῶν τούτων τῶν αἰσθήσεών εἰσιν αἰσθήσεις ἀρχοειδέστεραι καὶ παραδειγματικώτεραι καὶ καθαρώτεραι ἐν τῷ πνεύματι, δηλονότι κατὰ ταύτας καὶ ἀκούει καὶ ὁρᾷ ἡ ψυχὴ τὰ θεῖα φάσματα. Διὸ καὶ μόνη αἰσθάνεται παρὰ πάντας τοὺς συνόντας·

οἴῳ φαινομένη, τῶν δ' ἄλλων οὔτις ὁρᾶτο.

Κοινωνία γὰρ γίνεται τοῦ δαιμονίου ὀχήματος καὶ τοῦ τῆς ψυχῆς· ὅπερ δαιμόνιον ὄχημα, οὐχὶ γλώττῃ χρώμενον καὶ φωνητικοῖς ὀργάνοις, ἀλλ' αὐτῷ τῷ βούλεσθαι τὴν τοῦ δαίμονος ψυχήν, κίνησίν τινα καὶ ἐναρμόνιον ἦχον ἀφίησι [τὸ ὄχημα] σημαντικόν, οὗ αἰσθάνεται ἡ ἀνθρώπου ψυχὴ τῇ αἰσθήσει τῇ ἐν τῷ ἀρχοειδεῖ ὀχήματι. Ἔστι μὲν οὖν τις δαίμων ὃς κατ' οὐσίαν ἡγεῖται τῆς ψυχῆς, ὡς εἴρηται· πολλάκις δὲ ἡ ψυχὴ ἐν τῷ αὐτῷ βίῳ κατὰ τὰς διαφόρους ἑαυτῆς ζωὰς ἄλλῳ καὶ ἄλλῳ συντάττεται δαίμονι, οὐ τῷ κατ' οὐσίαν ἐξηρτημένῳ (ἐκεῖνος γὰρ αὐτῇ ἀεὶ πάρεστιν), ἀλλὰ ἄλλοις μερικωτέροις καὶ ἐφόροις τῶν διαφόρων αὐτῆς πράξεων. Κἂν τὸν κλῆρον οὖν ἐκεῖνον ἕληται τὸν κατὰ τὸν οἰκεῖον θεὸν καὶ τῷ ὑπ' αὐτὸν δαίμονι συνταχθῇ, ὑπὸ διαφόρους μερικωτέρους πεσεῖται δαίμονας. Ἁμαρτωλότερον μὲν γὰρ ζῶσα ὑπὸ τὸν ἐμπαθέστερον πίπτει δαίμονα ἐν κακοῖς καλινδουμένη, ἀνανήψασα δὲ καὶ καθαρώτερον ζήσασα ὑπὸ ἀγαθοειδέστερον ἑαυτὴν τάττει δαίμονα· καὶ οὕτως ἐξαλλάττει τοὺς ἐφεστῶτας δαίμονας οὐκ ἐκβαίνουσα τοῦ κλήρου τὸ πλάτος· ὥσπερ ἐν τῇ Πολιτείᾳ φέρε ἕκαστος ἐξουσίαν ἔχει διὰ τῶν τοιῶνδε πράξεων ἑαυτὸν ἢ ὑπὸ τὸ θητικὸν ἢ ὑπὸ τὸ ἐπικουρικὸν τάττειν· καὶ τοῦτο ἔστι τὸ εἰρημένον· « οὐχ ὑμᾶς δαίμων λήξεται, ἀλλ' ὑμεῖς δαίμονα αἱρήσεσθε. »

13 Hom. A 198 19 εἴρηται 66, 4 30 *Rep.* X 617 E

NC 1 φωνὴν] φωνὴ M 5 παθητικῶς] παθητικὸς M cf. 6 6 αὐτοῖς libri (sc. τοῖς δαίμοσι) : αὐτῷ Ast (sc. τῷ ἀέρι) 10 καὶ καθαρώτεραι om. M 11 κατὰ ταύτας] καὶ ταύταις M καὶ ante ἀκούει om. M 13 οὔτις om. M, quamobrem Ast versum non agnovit 14 τοῦ ante τῆς om. M ὅπερ] τὸ γὰρ conj. Ast 15 « *ad* χρώμενον *intelligendum* ἐστί » Ast : fallitur 17 τὸ] καὶ A[a] τὸ ὄχημα seclusi οὗ] ᾧ A[a] 18 ἀρχοειδεῖ scripsi coll. 9-10 : αὐγοειδεῖ libri 25 μὲν om. M 31 λήξεται] ἀέξεται (sic) A

ξζ΄. Ὥς τι ἡμαρτηκότα εἰς τὸ θεῖον] 242 C.

Ἐπειδὴ γὰρ κατὰ τοῦ ἔρωτος εἶπεν, ὁ δὲ νῦν ἐστιν ὁ ποιὸς ἔρως ἀλλ' ἀνώτερόν τινος, ἐπειδὴ ἴσως πᾶς ἔρως παιδεία παρὰ τῶν παλαιῶν. Ἔτι δὲ ἔθεσι τὰ τῶν θεῶν ὀνόματα, ὅπου [δ'] ἂν ὦσι καὶ εἰκόνες, ὡς σύμβολα
p. 16 αὐτῶν καὶ ἀγάλματα καὶ εἰκόνας ὄντα ἑαυτοῖς ἃ ἀνέπλασεν ἡ ψυχή. Διὰ τοῦτο ἡμαρτηκέναι φησὶν εἰς τὸ θεῖον· «τὸ δ' ἐμὸν δέος, ὦ Πρώταρχε, περὶ τὰ τῶν θεῶν ὀνόματα οὐκ ἔστι, φησί, κατ' ἄνθρωπον, ἀλλὰ πέρα τοῦ μεγίστου φόβου,» ὡς ἐν Φιλήβῳ φησί.

ξη΄. Εἰμὶ δὴ οὖν μάντις μέν] 242 C.

Παντοίου μὲν ὁ Σωκράτης φησὶ μηδὲν εἰδέναι, πρὸς τὴν θείαν γνῶσιν παραβάλλων τὴν ἀνθρωπίνην· οὕτως οὖν καὶ ἐπὶ μαντικῆς φησιν εἶναι μάντις οὐ πάνυ σπουδαῖος, ὡς πρὸς τὸν Ἀπόλλωνα καὶ τοὺς θεοὺς ἑαυτὸν παραβάλλων. Ἡ μὲν γὰρ θεία μαντική, ἐπὶ πάντα χρόνον καὶ ἐπὶ πάντα τόπον καὶ ἐπὶ πᾶν μέγεθος πράξεως καὶ σμικρὸν καὶ μέγα φθάνει, ἡ δὲ ἀνθρωπίνη, καί τις καὶ δαιμονία τὰ μὲν ἄχρι τοῦδε τοῦ χρόνου ἢ τοῦδε τοῦ τόπου δύναται εἰδέναι, τὰ περαιτέρω δὲ οὐκέτι, καὶ περὶ μὲν μικρῶν καὶ τῶνδε τῶν πραγμάτων δύναται προειπεῖν, περὶ δὲ τῶν ἔτι μειζόνων οὐκέτι. — Τὸ δὲ ὥσπερ οἱ τὰ γράμματα φαῦλοι τοιοῦτόν ἐστιν. Εἰσί τινες οἱ οὕτως βραδέως καὶ κακῶς γράφουσιν ὥστε ἑαυτοῖς μὲν δύνασθαί τινας ἀποσημειώσεις ποιεῖσθαι, μὴ μέντοι τινὰ ἂν αὐτοῖς ὑπογραφεῦσι χρήσασθαι· εἰ δὲ καὶ διὰ τὴν ἀσάφειαν ἑαυτοῖς μόνοις συνετὰ γράφοιεν,

6 *Phileb.* 12 C

TIT 8 τὰ ἐν Ἀθήναις τῶν πολιτευομένων C (v. NC)

NC 1 ὡς rubr. A   2 ἐπιδὴ A²   ὁπώς ποτε A   4 δ' delevi   5 ἑαυτοῖς om. M : ceterum verba ἑαυτοῖς ἃ videntur corrupta, neque sententia intellegi potest   ψυχή] ὅλη A²   6 τοῦτο] τοῦ M   7 περὶ] ἀεὶ πρὸς Plat. κατ' Plat.   8 πέρα] παρὰ M   Post φησί in libris scholion legitur a *Phaedri* commentario prorsus alienum, quod ad verbum θητικόν ab Hermia supra (69, 29) usurpatum videtur referendum. Ceterum hoc scholion fere totum verbatim defluxit e Polluce (VIII 130) qui ipse Aristotelem (*Ath. Resp.* VII) rescribebat. Sic audit : τὸ δὲ θητικὸν ἔσχατον τίμημα παρὰ Ἀθηναίοις εἰς τέσσαρα διῃρημένης τῆς πολιτείας τέλη· πεντακοσιομεδίμνων, ἱππέων, ζευγιτῶν (ζευγικῶν M : jam correxerat Ast), θητῶν (θητικῶν libri, Poll.)· οἱ μὲν ἐκ (ὑπὲρ libri) τοῦ φ' (πεντακοσιομεδίμνου Poll.) μέτρα ξηρὰ καὶ ὑγρὰ ποιεῖν κληθέντες, ἀνήλισκον δὲ εἰς τὸ δημόσιον τάλαντον· οἱ δὲ τὴν ἱππάδα τελοῦντες ἐκ μὲν τοῦ δύνασθαι τρέφειν ἵππους κεκλῆσθαι δοκοῦσιν, ἐποίουν δὲ μέτρα τ', ἀνήλισκον δὲ ἡμιτάλαντον· οἱ δὲ τὸ ζευγήσιον (ζευγίσιον Arist. Poll.) τελοῦντες ἀπὸ σ' μέτρων κατελέγοντο (διελέγοντο libri), ἀνήλισκον δὲ μνᾶς ι'· οἱ δὲ τὸ θητικὸν οὐδεμίαν ἀρχὴν ἦρχον (εἶχον M) οὐδὲ ἀνήλισκον οὐδέν (οὐδέν om. libri). Eadem recurrunt in schol. ad *Remp.* VIII 550 C (p. 354 Herm.), his mutatis : ἐκ] ἀπὸ; δὲ ante εἰς om.; θητικῶν et διελέγοντο etiam ibi leguntur, sed non ζευγίσιον; οὐδέν deest   9 εἰμί, εἰ rubr. A   13 γὰρ θεία — 14 ἡ δὲ hic om. M sed rescripsit infra ἡ δὲ θεία — φθάνει post εἰδέναι l. 16   16 μὲν] τῶν M

[96] οὐκ ἀπᾴδει τῆς Σωκρατικῆς εὐλαβείας. Τούτοις οὖν ἑαυτοῦ παραβάλλει τὴν μαντικὴν ὁ Σωκράτης ὡς πρὸς τὴν θείαν καὶ δαιμονίαν μαντικήν. — Τὸ δὲ μαντικόν γέ τι καὶ ἡ ψυχή οἰκείως εἶπε καὶ ἀληθῶς· ἔχει μὲν γάρ τι μαντικὸν, ἀλλὰ μικρόν τε καὶ ἀπεστενωμένον καὶ ἀμαυρόν· ἅτε γὰρ λογικὴ οὖσα φύσις στοχάζεται πολλάκις ἐπηβόλως περὶ τῶν μελλόντων καὶ αὐτὴ ἀφ' ἑαυτῆς κινουμένη, καὶ δι' ὀρνίθων ἢ ἄλλων τινῶν στοχαστικῶν συμβόλων· διὸ οἰκείως ἐπὶ τῆς ψυχῆς τὸ τί προσέθηκεν ὡς πρὸς τὴν θείαν μαντικήν. — Τὸ δὲ ἐδυσωπούμην κατ' Ἴβυκον τοιοῦτόν ἐστιν· « οὐ βούλομαι προσκροῦσαι τοῖς θεοῖς καὶ ἁμαρτεῖν παρ' αὐτοῖς διὰ τὴν παρὰ τοῖς ἀνθρώποις τιμὴν καὶ εὐδοκίμησιν. Ἐδυσωπούμην οὖν ἀντὶ τοῦ ηὐλαβούμην.

•37 v• ξζ'. Δεινὸν ὦ Φαῖδρε] 242 D.

Τρία ἐγκαλεῖ τῷ λόγῳ τῷ τοῦ Λυσίου, καὶ κατ' ἀλήθειαν τὰ τρία· τοῦ γὰρ χειρίστου ἔρωτος ἦν ἐραστὴς καὶ τούτου ἦρα καὶ ἐφήπτετο· τῷ δὲ τοῦ Σωκράτους... ὡς πρὸς σύγκρισιν τοῦ τελείου καὶ ὡς θεοῦ ἔρωτος, ἐπειδὴ περὶ τοῦ μέσου ἦν ἔρωτος ὁ λόγος Σωκράτους τοῦ ἐν ἐπιστήμαις καὶ ἀρεταῖς ὁρωμένου καὶ τῇ σώφρονι τῆς ψυχῆς ζωῇ καὶ οὐχὶ τῇ ἐνθουσιαστικῇ. Διὸ καὶ δὶς εἶπε τὸ δεινὸν ὦ Φαῖδρε δεινόν· δεινὸς μὲν γὰρ τῷ ὄντι ὁ τοῦ Λυσίου λόγος αἰσχρὸς ὢν καὶ ὑβριστὴς ἔρως, δεινὸς δὲ καὶ ὁ Σωκράτους ὡς πρὸς τὸν ἐνθουσιαστικὸν καί ἀναγωγὸν ἔρωτα. Τὰ γὰρ καταδεέστερα καὶ ὑφειμένα ὡς πρὸς τὰ τελειότερα καὶ ὑπέρτερα παραβαλλόμενα εὐήθη καὶ δεινά ἐστι καὶ ὑπό τι ἀσεβῆ [οὐχ ἁπλῶς ἀσεβῆ]. Ἀσεβῆ μὲν οὖν λέγει ἐπειδὴ ὅλως ἐψέγετο ὅπως ποτὲ τὸ τοῦ ἔρωτος ὄνομα· εὐλαβὴς γὰρ ἦν σφόδρα, ὡς εἴρηται, περὶ τὰ τῶν θεῶν ὀνόματα ὁ Σωκράτης· ὑπό τι δὲ καὶ οὐχ ἁπλῶς ἀσεβῆ, ἐπειδὴ οὐ πᾶς ἔρως ἐψέγετο, ἀλλά τις καὶ μερικὸς, ὁ γὰρ ὑβριστὴς καὶ ἀκόλαστος ἔρως. Τριῶν οὖν ὄντων πραγμάτων, τῶν τε ὑπὲρ ἡμᾶς οὐσιῶν καὶ τῶν ὁμοστοίχων μὲν ἡμῖν, σεμνῶν δὲ δοκούντων εἶναι (λέγω δὲ τῶν σπουδαίων ἀνδρῶν), τῶν δὲ καταδεεστέρων ἡμῶν οὐσιῶν ἢ ὡντινωνοῦν, τὸ μὲν πρὸς τὰ ὑπὲρ ἡμᾶς
p. 97 ἁμάρτημα ἀσεβὲς ἐκάλεσε, τὸ δὲ πρὸς τοὺς | σπουδαίους ἄνδρας τῷ μὴ ὑπεστάλθαι καὶ αἰσχύνεσθαι αὐτοὺς ἀναιδὲς, τὸ δὲ πρὸς τὰ καταδεέστερα

8 τὸ δὲ — 11 ηὐλαβούμην jam ediderat RUHNKEN ad *Tim.* p. 66 ex P : cf. NUNNES. ad *Phryn.* p. 81 10 ἐδυσωπούμην — ηὐλαβούμην = schol. 242 C (p. 268 Herm.) 24 εἴρηται 70, 6

NC 3 τι] τοι A²E 4 τι] τοι M 5 ἐπιβόλως M cf. 6, 15-16 10 οὖν om. schol. 12 δεινὸν, δει rubr. A 15 post Σωκράτους deest verbum exprobrandi ὡς πρὸς] ὥσπερ M 17 ὁρωμένου] ἐρωμένου A[a] 19 ὁ τοῦ om. M 22 οὐχ — ἀσεβῆ seclusi ut e sequentibus repetitum 23 οὖν om. M λέγει] λέγω M τὸ om. M 27 ὄντων τῶν πραγμάτων M ἡμᾶς ex ἡμῶν ut videtur A : ἡμῶν M cf. 29 30 ἁμαρτήματα M

[97] σπουδάζειν καὶ τὰ μὴ ὄντα πολλῆς σπουδῆς ἄξια πολλὴν καταβάλλεσθαι σπουδὴν εὐήθειαν προσεῖπε. — Τὸ δὲ καταφαρμακευθέντος ἀντὶ τοῦ· ϑελχθέντος καὶ τὴν φύσιν καὶ πᾶν τὸ ἄλογον κηληθέντος. Εἶπε γὰρ αὐτὸν καὶ ἐν Συμποσίῳ τὸν ἔρωτα φιλόσοφον καὶ δεινὸν γόητα καὶ φαρμακέα καὶ σοφιστήν· φιλόσοφον μὲν ὡς τὸ λογικὸν ἡμῶν διεγείροντα ἐπὶ τὰ καλὰ, γόητα δὲ ὡς τὸν ϑυμὸν καταστέλλοντα, φαρμακέα <δὲ> ὡς τὸ ἐπιθυμητικὸν κηλοῦντα, σοφιστὴν δὲ ὡς τὴν φύσιν ἀπατῶντα καὶ δελεάζοντα. Φαίδρῳ δὲ, ὡς εἴπομεν πολλάκις, ἀνατίθησι τὸν λόγον, καὶ ὅτι κατὰ τοῦ ἔρωτος εἶπε τὸν λόγον εἰ καὶ τοῦ ἀκολάστου, καὶ ὅτι προηγουμένως ἦν καὶ οἰκεία τοῦ Σωκράτους ἐνέργεια ἡ περὶ τὸν ἔνθουν καὶ ἀναγωγὸν ἔρωτα διατριβή. — Τὸ δὲ ὥσπερ οὖν ἐστι, ϑεὸς ἤ τι ϑεῖον ὁ ἔρως εἴρηκεν ἤτοι ὅτι ἔστι καὶ ϑεὸς ὁ Ἔρως, εἰσὶ δὲ καὶ ϑεῖοι καὶ δαιμόνιοι ἔρωτες, ἢ <ὅτι> ϑεὸς μὲν καθ' ἑαυτὸν ὁ ἔρως, ϑεῖος δὲ ὡς πρὸς τὸ ἐραστὸν ἀνάγων τὸ ὑπέρτερον αὐτοῦ· πάντα γὰρ τὰ καταδεέστερα ἐπὶ τὸ καλὸν καὶ ἐραστὸν ἀναπέμπει καὶ ἐπὶ τἀγαθόν. — Τὸ δὲ μηδὲν ὑγιὲς λέγοντε μηδὲ ἀληθές ἐπὶ μὲν τοῦ Λυσίου πάλιν λόγου ἀληθές (τῷ γὰρ ὄντι οὐδὲν ὑγιὲς οὐδὲ ἀληθὲς εἶχεν), ἐπὶ δὲ τοῦ λόγου Σωκράτους, ὅτι ὡς πρὸς τὰς προηγουμένας καὶ ἀληθεῖς καὶ ἀναγωγοὺς ἐνεργείας τοῦ ἔρωτος οὐδὲν ὑγιὲς οὐδὲ ἀληθὲς εἶχεν οὐδ' ὁ Σωκράτους λόγος· εἰ [γὰρ] καὶ ἀλήθειάν τινα εἶχεν ὁ Σωκράτους λόγος, ἀλλ' ὡς πρὸς τὸν σώφρονα ἔρωτα καὶ τὸ ψυχικὸν κάλλος τὸ τῶν ἐπιστημῶν τε καὶ ἀρετῶν· ἐπεὶ πρὸς τὸν ἔρωτα τὸν ϑεὸν καὶ τὰς βακχείας αὐτοῦ καὶ τὰς ἐνθουσιαστικὰς ἐνεργείας, ἃ περιέχουσιν οἱ τῆς παλινῳδίας λόγοι, οὐδὲ ξύμβλητά ἐστι τὰ νῦν τοῦ Σωκράτους ῥήματα.

ξη'. Ἐμοὶ μὲν οὖν ὦ φίλε] 243 A.

Τριῶν ὄντων τούτων, οὐσίας, δυνάμεως, ἐνεργείας, οἱ μὲν ϑεοὶ μένοντες ἐν ταῖς πρωτίσταις ἑαυτῶν ἐνεργείαις καὶ οὐκ ἐξιστάμενοι αὐτῶν, παράγουσι δευτέρας καὶ τρίτας ἑαυτῶν ἐνεργείας. Εἰ δέ τις προβάλλων ἀφ' ἑαυτοῦ δευτέραν ἢ τρίτην ἐνέργειαν ἀφίσταιτο τῆς πρώτης ἢ καὶ ἐπιλανθάνοιτο αὐτῆς, ἁμαρτάνει, ὥσπερ εἰς κοιλότερα διατρίβων, ἀφεὶς τὰς πρώτας καὶ
f° 38 r° κυρίας ἐνεργείας. | Εἰ δὲ μὴ μόνον περὶ τὰ δεύτερα διατρίβοι ἀποστὰς τῶν πρώτων, ἀλλὰ καὶ διαστρόφως περὶ αὐτὰ ἀναστρέφοιτο, τῷ ὄντι μέγα τὸ ἁμάρτημα. Οἷον τρεῖς εἰσιν οὗτοι ἄνδρες· ὃ μὲν τῇ ϑεωρίᾳ σχολάζων, ὃ δὲ δυνάμενος μὲν εἶναι καὶ ϑεωρητικὸς, ἀποστὰς δὲ ταύτης καὶ περὶ πολι-

4 *Concic.* 203 C

NC 3 κηληθέντος] κληθέντος M (jam correxerat Ast) 6 δέ addidi 8 Φαίδρῳ] Φαῖδρον M (jam correxerat Ast) 9-10 προηγουμένη? 13 τὸ ἐραστὸν] τὸν ἐραστὴν M 14 αὐτοῦ libri 15 καὶ | καὶ A λέγοντε M Plat. : λέγοντα A μὴ δὲ A 17 εἶπεν? λόγου] λό(γ)ως ut videtur A 19 οὐδ' ὁ] οὐδὲ M γὰρ seclusi 22 ἃ περιέχουσιν scripsi : ἅπερ ἔχουσιν A : ἅσπερ ἔχουσιν M : cf. 73, 25 23 ξύμβλητα] ξύμβητα M ; ξυμβατικὰ Ast 24 ἐμοί, ἐ rubr. A 30 περὶ] ἐπὶ M cf. 33 31 αὐτὰ] τὰ αὐτὰ M

[97] τείαν διατριβῶν, ὃ δὲ οὐδὲ ὀρθῶς περὶ πολιτείαν ἀναστρεφόμενος ἀλλὰ διαστρόφως καὶ πανούργως· ἀμφότεροι μὲν οὖν ἁμαρτάνουσι καὶ ὁ δεύτερος καὶ ὁ τρίτος, ὡς τῆς πρωτίστης καὶ καλλίστης ἐνεργείας ἀφιστάμενοι, ἀλλὰ πλέον ὁ τρίτος τοῦ δευτέρου ἁμαρτάνει. Τῷ μὲν γὰρ δευτέρῳ ῥᾴστη ἦν <ἡ> ἐπὶ τὸν πρῶτον ἀναδρομή, τῷ δὲ τρίτῳ χαλεπή. Ἀναλογεῖ οὖν τῷ μὲν δευτέρῳ ὁ Σωκράτους λόγος, τῷ δὲ τρίτῳ ὁ Λυσίου· τῷ μὲν γὰρ Σωκράτει ἡ ἐπὶ τὰς οἰκείας ἀρχὰς ἄνοδος, τουτέστιν ἐπὶ τὴν θεωρίαν, ῥᾴστη καὶ εὐμαρὴς (πρῶτον μὲν γὰρ οὐδὲ τὴν δευτέραν ἐνέργειαν προβάλλων ἀφίστατο τῆς πρώτης· ἔπειτα εἰ καὶ ἀφίστατο, ἀλλ᾽ οὖν οὐ πόρρω αὐτῆς ἦν καὶ περὶ τὴν δευτέραν κατελθών· τοῦ γὰρ ὑποστρέψαι μόνον ἐδεῖτο), τῷ δὲ Λυσίᾳ ἅτε μοχθηρῶς καὶ μιαρῶς ἀναστρεφομένῳ οὐκ εὐμαρὴς, ἀλλὰ καὶ σφόδρα χαλεπὴ ἡ ἐπὶ τὰς ἀρχὰς ἄνοδος. — Τὸ οὖν καθήρασθαί ἐστι τὸν Σωκράτη [τὸν] ἀποθέσθαι τὰς δευτέρας καὶ κοιλοτέρας ἐνεργείας καὶ ὑποστρέψαι ἐπὶ τὰς οἰκείας ἐνεργείας τὰς πρώτας καὶ νοεράς. Διὸ καὶ ἀρχαῖον αὐτὸν ἐκάλεσεν· ἐξ ἀιδίου γὰρ αἱ ψυχαὶ προελθοῦσαι ἀπὸ τῆς ἑαυτῶν ἀρχῆς πάλιν εἰς αὐτὴν ὑποστρέφουσιν. Αὕτη δέ ἐστι καὶ ἡ περὶ τὴν μυθολογίαν ἁμαρτία, τὸ γὰρ περὶ τὴν θεολογίαν ἁμαρτεῖν (ἡ γὰρ μυθολογία θεολογία τίς ἐστι)· τὸ οὖν μὴ ἐμφρόνως περὶ τὴν μυθο-
p. 93 λογίαν ἀνε|στράφθαι, τουτέστι τὸ μὴ ἐμφρόνως κατακρατῆσαι τῆς διανοίας τῶν μυθοπλάστων, ἀλλὰ τῷ φαινομένῳ ἕπεσθαι, ἁμάρτημά ἐστι περὶ μυθολογίαν. Ὃ καὶ νῦν ὁ Σωκράτης πέπονθε τὸν ἔρωτα λοιδορησάμενος, εἰ καὶ τὸν ἀκόλαστον ἀλλ᾽ οὖν τὸ τοῦ ἔρωτος ὄνομα. Αὕτη μὲν οὖν ἡ περὶ τὴν μυθολογίαν ἁμαρτία. Καθαρμὸς δὲ ταύτης τῆς ἁμαρτίας τὸ προβαλέσθαι τὰς ἀληθεῖς καὶ ἐνθουσιαστικὰς περὶ τοῦ ἔρωτος ἐννοίας, ἃς περιέχει ἡ παλινῳδία. Διὸ καὶ πάλιν ἐπὶ τὴν ἀρχαίαν ᾠδὴν τὴν πρωτίστην ἐπανέδραμε. Τὰ δὲ περὶ μολυσμῶν καὶ καθαρμῶν ὧδε λεκτέον· περὶ ὃ ὁ μολυσμὸς, περὶ τοῦτο καὶ ὁ καθαρμός. Ἔστι δὲ ἔννοια μολυσμοῦ ἀλλοτρίου προσθήκη, ἔννοια δέ ἐστι καθαρμοῦ ἀλλοτρίου ἀφαίρεσις. Γίνεται δὲ ὁ μολυσμὸς καὶ ἀπὸ τῆς ἄκρας ἡμῶν ψυχῆς ἄχρι καὶ τῶν ἐξηρτημένων ἐσχάτως ἡμῶν· καὶ πρόσφορος ἑκάστῳ καὶ ὁ καθαρμός. Οἷον ἔστι καὶ σώματος μολυσμὸς τὸ πηλὸν εἰ τύχοι καὶ βόρβορον πατῆσαι, καὶ εἰ μή τι ἄλλο προσῇ, ἄχρι τοῦ σώματος ἔσται ὁ μολυσμός· διὸ καὶ εὐίατός ἐστι· λουτρὸν γὰρ εὐθὺς αὐτὸν καθαίρει. Ἔστι καὶ τοῦ πνεύματος μολυσμός· ἀπὸ γάρ τινων ἀτμῶν εἰ τύχοι ἐν τοῖσδε τοῖς ἀκαθάρτοις τόποις καὶ ἀπὸ

NC 3 πρωτίστης] πρώτης M cf. 72, 26 4 μὲν om. M 5 ἡ addidi 10 κατελθών scripsi : κατορθῶν libri 12 ἐστι] ἐπὶ M 13 Σωκράτη, τη Aa Σωκράτην M τὸν seclusi : τὸ Ast : fort. desunt nonnulla in quibus verbum καθαρμός, cui referas αὐτὸν l. 15 17 τὴν, ante μυθολογίαν, om. Plat. cf. 21 24 ἃς Ast : οὓς libri (ἃς ex οὓς E) 26 ἐπανάδραμε M ὧδε ex ὡδε A, sic depictum ut possis legere τῶδε : τῷδε M 29 καὶ ante ἀπὸ om. M 33 ἔστι δὲ καὶ M cf. 74, 3 34 ἀπὸ γὰρ — 74, 3 μολυσμὸς om. M

[98] πράξεών τινων ἀκολάστων διαδίδοται εἰς τὸ πνεῦμα ὁ μολυσμός, ὃν ἐπιγινώσκει μόνη ἡ τελεστικὴ καὶ πρόσφορον ποιεῖται ἑκάστου τὸν καθαρμόν. Ἔστι καὶ τῆς ἀλόγου ψυχῆς μολυσμός, ἐπιθυμίαι ἄλογοι καὶ θυμοί, ὧν πάλιν οἱ καθαρμοὶ καὶ διὰ ἠθικῆς φιλοσοφίας καὶ διὰ θεῶν βοηθείας γίνονται. Ἔστι δὲ καὶ τῆς λογικῆς ψυχῆς μολυσμὸς ὅταν ἐκ ψευδῶν δοξασμάτων ψευδῆ παρ' ἑαυτῇ συναγάγῃ καὶ ὕθλους ἀποτίκτῃ καὶ ψευδοδοξίας, ὧν ὁ ἔλεγχος καθαρμός ἐστι καὶ ἡ φιλοσοφία μὲν ἀπελατικὴ αὐτῶν, μάλιστα δὲ ἡ παρὰ τῶν θεῶν βοήθεια τελειοῦσα τὴν ψυχὴν καὶ εἰς τὸ ἀληθὲς ἄγουσα. Ἐπὶ ἑκάστου δὲ τούτων τῶν μολυσμῶν τρεῖς ἂν εὕροις ἄνδρας καὶ διαφοράς· ὃ μὲν γὰρ μολυνθεὶς καὶ βλαβεὶς οὐκ ᾔσθετο, ὧν ἐν πρώτοις τάξει τὸν Ὅμηρον (πάντως γὰρ ἕπεται τῷ μολυσμῷ βλάβη διὰ τὸ οἰκεῖόν τι δαιμόνιον ἐπίστασθαι τὴν τοιάνδε τοῦ ἀνθρώπου ζωὴν καὶ ἐκείνῳ συντάττεσθαι), ὃ δὲ μολυνθεὶς καὶ βλαβεὶς ᾔσθετο μετὰ τὴν βλάβην, ὧν ἐστιν ὁ Στησίχορος, καὶ οὕτω μετὰ τὸ παθεῖν γνοὺς τὴν βλάβην ἰάσατο· τρίτος δέ ἐστιν ὁ μολυνθεὶς μέν, πρὶν δὲ βλαβῆναι ἰώμενος, ὧν ἐστι Σωκράτης (οὐ γὰρ παραχρῆμα ἕπεται ἡ βλάβη, ἀλλὰ γίνεταί τις μεταξὺ χρόνος). Ὥσπερ οὖν φασιν οἱ ἰατροὶ ὅτι τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, καὶ οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὸ αὐτὸ εἶδος τῆς ἐναντιώσεως καὶ κατὰ τὸ αὐτὸ μέρος καὶ κατὰ τὰ αὐτὰ μέτρα, οὕτω δὴ καὶ ἐνταῦθα ὁ Σωκράτης, ἐπειδὴ περὶ μ υ θ ο λ ο γ ί α ν ἦν τὸ ἁμάρτημα καὶ ὁ μολυσμός (γίνεται γὰρ καὶ ἀπὸ ῥημάτων μολυσμός) κατὰ τὸ αὐτὸ πάλιν εἶδος καὶ ἰάσασθαι βούλεται· διὰ γὰρ τῆς μυθολογίας τε καὶ παλινῳδίας ἀποκαθήρασθαι καὶ ἰάσασθαι βούλεται τὸ ἁμάρτημα. Ἀλλὰ πῶς ὁ Σωκράτης ἐμολύνθη διὰ τῶν λόγων, τοῦ ἀγαθοῦ ἕνεκα καὶ τῆς τοῦ νέου ὠφελείας μετὰ φρονήσεως τοὺς λόγους
[•38v• ποιούμενος; | ὁ μὲν γὰρ Λυσίας μεμολύνθω καὶ διὰ τὴν προαίρεσιν, ὁ δὲ Σωκράτης πῶς; Ἢ ἐπειδὴ περὶ κοιλοτέρας ἐνεργείας ἑαυτὸν ἐπιδέδωκε καὶ ὅλως κάθαρσιν τῶν ἀλλοτρίων κακῶν καὶ τὴν οἵαν ποτὲ ἀπόβλεψιν εἰς αὐτά, καὶ ὅτι κατὰ τοῦ ὀνόματος τοῦ ἔρωτος εἶπεν, εἰ καὶ τοῦ ἀκολάστου, διὰ τοῦτο καθήρασθαι βούλεται ὡς μολυνθείς. Ὡς γὰρ ὁ ὀρθὸς δικαστὴς κατὰ νόμους καὶ τοῦ ἀγαθοῦ ἕνεκα κολάζων τοὺς ἁμαρτάνοντας δεῖται καθαρσίων, καὶ οὐκ ἂν ἐάν γε σωφρονῇ ἀπὸ κολαστικῆς ἀποφάσεως καὶ φόνου πρὶν καθαρθῆναι ἱερουργίᾳ παραβάλοι, οὕτω δὴ καὶ ὁ Σωκράτης ποιεῖ.

NC 1 πράξεων τινῶν A 6 συνάγῃ M ἀποτίκτει A 10 ὧν] ὡς M πρώτοις dubitanter legi in A propter inusitatum compendium : πρώτη M : fortasse etiam 11 τάξεις pro τάξει legendum 11 τὸν Ὅμηρον DE : τομηρον A sed sub macula fortasse latent accentus unde efficiatur τ'' ὅμηρον : Ὅμηρος M 12 ἐπίστασθαι] ἵστασθαι M 22 καὶ ἰάσασθαι om. M 27 καὶ ὅλως : manca est oratio οἱάν ποτε A[a] 29 ὡς ante μολυνθείς ὁ M ὁ ὀρθὸς] ὀρθῶς M 30 ἕνεκεν M 31 ἐάν γε om. M 32 ἱερουργίαν M παραβάλλοι EM

[98] ξθ'. Τῶν γὰρ ὀμμάτων στερηθεὶς] 243 A.

Περὶ τῆς Ὁμήρου τυφλώσεως διάφοροι φέρονται ἱστορίαι. Οἳ μὲν γὰρ αὐτὸν καὶ τυφλὸν ἐκ γενετῆς λέγουσι καὶ οὕτω τετέχθαι· οἱ δὲ ποιμαίνοντα παρὰ τῷ τάφῳ τοῦ Ἀχιλλέως πολλάς τινας καταβαλέσθαι εἰς τὸν ἥρω χοὰς καὶ στεφάνους, καὶ παρακαλεῖν αὐτὸν ὀφθῆναι αὐτῷ. Ὁ δὲ ἥρως ὤφθη μετὰ τῆς πανοπλίας λάμπων· καὶ ὁ Ὅμηρος μὴ ἐνεγκὼν τὴν θέαν καὶ τὴν λαμπηδόνα τῶν ὅπλων ἐτυφλώθη. Οἳ δὲ ὅτι, ἐπειδὴ εἶπε περὶ τῆς Ἑλένης ὅτι ἡρπάσθη καὶ ἠγάγετο αὐτὴν Ἀλέξανδρος εἰς τὸ Ἴλιον καὶ
p. 99 ἔσχεν ὡς γυναῖκα, κατὰ μῆνιν τῆς ἡρωί|νης ὡς ὑβρισθείσης παρ' αὐτοῦ ἐτυφλώθη. — Ἀλλὰ πῶς τὰ αὐτὰ καὶ ὁ Στησίχορος εἰπὼν εἰς αὐτὴν καὶ τυφλωθεὶς ἀνέβλεψε; Φασὶν ὅτι Λοκροὶ καὶ Κροτωνιᾶται ἐπολέμουν πρὸς ἀλλήλους· ἔθος δὲ ἦν τοῖς Λοκροῖς μέρος τῆς στρατιᾶς ἀφρούρητον ἀνιεροῦν τοῖς ἥρωσιν ὡς ἐκείνων φρουρούντων αὐτό· τὸν οὖν Λεώνυμον τὸν στρατηγὸν τῶν Κροτωνιατῶν ἐπιθέσθαι ἐκείνῳ τῷ μέρει ὡς ἀφρουρήτῳ, καὶ τρωθέντα ἐξ ἀδήλου ἀναχωρῆσαι χαλεπῶς διακείμενον ὑπὸ τοῦ τραύματος· ἐλθεῖν οὖν αὐτὸν εἰς τὸ ἐν Δελφοῖς μαντεῖον διὰ θεραπείαν, καὶ λαβεῖν χρησμὸν ὅτι ὁ τρώσας καὶ ἰάσεται· ἐπανερομένου δ' αὐτοῦ καὶ τίς ὁ τρώσας (καὶ γὰρ ἦν ἄδηλον) ἀκοῦσαι ὅτι ὁ Ἀχιλλεύς· ἀπελθόντα οὖν αὐτὸν εἰς Λεύκην τὴν νῆσον (ἣν δὲ αὕτη ἀνειμένη τῷ Ἀχιλλεῖ) ἱκετεῦσαι τὸν ἥρωα, καὶ ἰδεῖν κοιμηθέντα τινὰς τῶν ἡρώων καὶ λαβεῖν μὲν παρὰ τοῦ Ἀχιλλέως θεραπείαν· ἀκοῦσαι δὲ παρ' αὐτῶν εἰπεῖν τοῖς ἀνθρώποις ὅτι « οὐδὲν λανθάνει θεοὺς οὐδὲ ἥρωας ὧν πράττετε, ὦ ἄνθρωποι, » ἐλθεῖν δὲ καὶ τὴν Ἑλένην καὶ εἰπεῖν ἀπαγγεῖλαι Στησιχόρῳ παλινῳδίαν ᾆσαι ἵνα ἀναβλέψῃ· καὶ γὰρ τὸν Ὅμηρον δι' αὐτὸ τοῦτο τετυφλῶσθαι ὡς κακηγορήσαντά με· καὶ οὕτω τὸν Στησίχορον ἀκούσαντα παρὰ τοῦ Λεωνύμου γράψαι τὴν παλινῳδίαν καὶ οὕτως ἀναβλέψαι. — Τί οὖν βούλεται ὁ Πλάτων διὰ τούτων σημαίνειν; οὐ γὰρ δὴ αὐτόθεν καταψηφιούμεθα ὡς Ὅμηρος εἰς τὴν Ἑλένην ἐδυσφήμησε· τίς γὰρ ἄλλος οὕτως ἐπῄνεσε τὴν Ἑλένην; ,Ἀρτέμιδι γὰρ χρυσηλακάτῳ ἐοικυῖαν αὐτὴν καλεῖ καί

Οὐ νέμεσις Τρῶας καὶ ἐυκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν.

2 περί — 10 ἐτυφλώθη = schol. 243 A (p. 268 Herm.) 11 φασὶν — 26 ἀναβλέψαι = schol. 243 A (p. 268 Herm.) 29 δ 122 Ἀρτέμιδι χρυσηλακάτῳ εἰκυῖα 30 Γ 156-57

TIT 2 περὶ τῆς Ὁμήρου τυφλώσεως C 10 περὶ τῆς Στησιχόρου παλινῳδίας C 14 [περὶ] τοῦ Λεωνύμου [τοῦ Κ]ροτωνιάτου καὶ [τοῦ Σ]τησιχόρου A

NC 1 τῶν, τ rubr. A 2 οἳ scripsi : αἳ libri et schol. 4 ἥρω] ἥρωα schol. 6 ὁ om. M 8 ἠγάγετο] ἤγετο M 10 τὰ] καὶ M εἰς αὐτὴν om. M 11 Κροτωνιάται A 17 δὲ M 18 ὅτι om. schol. ὁ om. M 19 ἣν — Ἀχιλλεῖ om. schol. 20 κοιμηθέντας schol. 24 τὸν om. schol. κακηγορήσαντα] κατηγορήσαντα M 27 αὐτόθεν] ἐνταῦθα M 31 τοιοῦδ' E sed in marg. vitii nota

[99] Ῥητέον οὖν ὅτι πρόσωπα μὲν ἐνταῦθα ὁ Πλάτων οὐ προσποιεῖται, οὐδὲ τῶν ἀνδρῶν χάριν ταῦτα παραλαμβάνει ἵνα δείξῃ Στησίχορον μὲν Ὁμήρου βελτίονα, τὸν δὲ Σωκράτη ἀμφοτέρων· οὕτω γὰρ δοκεῖ δείκνυσθαι δι' ὧν Ὅμηρος μὲν οὐδὲ ᾔσθετο βλαβείς, ὁ δὲ Στησίχορος αἰσθόμενος τῆς βλάβης ἰάσατο, ὁ δὲ Σωκράτης πρὶν βλαβῆναι ἰάσατο. Οὐ τῶν ἀνδρῶν οὖν χάριν ταῦτα παραλαμβάνει, ἀλλὰ τρεῖς ἕξεις ἁπλῶς ἐνταῦθα παραδίδωσι· τὴν μὲν τῷ αἰσθητῷ κάλλει (τοῦτο γὰρ δηλοῖ ἡ Ἑλένη [οὕτως οὖν προσχεῖν τῷ αἰσθητῷ κάλλει]) ὡς τῷ ἀληθινῷ καὶ πρώτῳ ὄντι κάλλει προσέχουσαν καὶ μὴ ἀνανεύουσαν ἀπ' αὐτοῦ, ἀλλ' ἐν αὐτῷ ἀποτυφλωθέντα καὶ ἀπομείναντα, κατὰ τὸν μολυνθέντα μὲν καὶ βλαβέντα, μὴ αἰσθανόμενον δέ, οὗ Ὅμηρος παράδειγμα· τὴν <δὲ> δευτέραν ἕξιν πρῶτον μὲν καὶ ἐξ ἀρχῆς τῷ αἰσθητῷ κάλλει ὡς τῷ πρώτῳ κάλλει καὶ ὄντως ὄντι πιστεύσασαν, ὕστερον δὲ ἀναμνησθεῖσαν ἐντεῦθεν καὶ ἐπὶ τὸ νοητὸν ἀναπεμφθεῖσαν κάλλος [διὸ καὶ ἀναβλέψαι], κατὰ τὸν μολυνθέντα μὲν καὶ βλαβέντα, αἰσθόμενον μέντοι καὶ ἰασάμενον, ἧς ὁ Στησίχορος εἰκὼν ἐλήφθη· τρίτην δὲ τὴν ἀβλαβῆ μὲν παντελῶς, ἐκ βραχείας δὲ ἀναμνήσεως καὶ φιλοσοφίας ἑκατέρῳ καὶ τῷ αἰσθητῷ καὶ τῷ νοητῷ κάλλει τὸ πρόσφορον μέτρον ἐπιβάλλουσαν, κατὰ τὸν μολυνθέντα μέν, πρὶν δὲ βλαβῆναι ταχέως ἰασάμενον, ἧς ὁ Σωκράτης ἔνδειγμα. Καὶ οὐ δήπου ἑαυτὸν βούλεται ὁ Σωκράτης καὶ Στησιχόρου καὶ Ὁμήρου ὑπέρτερον δεῖξαι, ἀλλὰ τῶν ἕξεων ἕνεκα τῶν εἰρημένων ταῖς ἱστορίαις ταύταις ἀποκέχρηται. Κατὰ μὲν οὖν ταύτην τὴν ἀνάπτυξιν καὶ κατ' αὐτὸ τὸ φαινόμενον τῆς ἱστορίας καὶ τὰς Πλατωνικὰς ἕξεις καταδεέστερος μέν ἐστιν Ὅμηρος, ὑπέρτερος δὲ ὁ Στησίχορος, πάντων δὲ ὑπερέχων ὁ Σωκράτης. Δυνατὸν δὲ ἑτέρως τὴν ἀνάπτυξιν ποιησάμενον περὶ τῆς f° 39 r° τυφλότητος ἀνάπαλιν τὴν τάξιν τῶν ἀνδρῶν δεῖξαι, ὑπέρτερον μὲν | πάντων τὸν Ὅμηρον ὑφειμένον δὲ τὸν Στησίχορον, καταδεέστερον δὲ πάντων τὸν Σωκράτην. Καὶ γὰρ καὶ περὶ τοῦ Θαμύριδος λέγουσιν ὅτι συναντήσασαι αὐτῷ αἱ Μοῦσαι τυφλὸν ἔθεσαν, τουτέστι τῆς μὲν αἰσθητῆς καὶ ἔξω τεταp. 100 μένης ὄψεως αὐτὸν ἔπαυσαν καὶ τοῦ τὸ αἰσθητὸν κάλ|λος ἀνυμνεῖν, εἰς δὲ τὸ νοητὸν καὶ τὴν ἀφανῆ οὐσίαν καὶ τὸ ὄντως ὂν κάλλος αὐτοῦ τὸ ὄμμα περιήγαγον. Δηλοῖ οὖν ὅτι Ὅμηρος μὲν τυφλὸς ἀπομείνας ἐνέμεινε τῇ

27 ante omnes Hom. B 594 sqq.

NC 3 Σωκράτην M δι' ὧν] διὸ M 4 βλαβείς] βλάβης M αἰσθόμενος] αἰσθανόμενος M 5 δὲ om. M 7 προσχεῖν jam delebat Ast, ego cetera seclusi 9 licet genus mire mutetur, nihil corrigendum censeo 11 δὲ addidi 12 τῷ ante πρώτῳ om. M 14 διὸ — ἀναβλέψαι seclusi 19 οὐ δήπου] οὐδέ που M 21 post ἀνάπτυξιν EM add. ποιησάμενον (ἣν ἐποιήσαμεν Ast) περὶ τῆς τυφλώσεως (τυφλότητος E) : cf. 24 22 κατ' αὐτὸ] κατὰ M 25 ὑπέρτερον δὲ μὲν M 26 δὲ ante πάντων] μὲν M 29 ἔπαυσαν] ἐποίησαν M : ἀπέστησαν Ast τοῦ τὸ] τοῦτο M (« *ad cerba* τοῦτο κτλ. *intellige* τοῦ » Ast) : τὸ τοῦτο F 30 ὄντως] οὕτως FM (jam correxerat Ast) αὐτοῦ — 77, 2 κάλλος om. M ὄμμα] ὄνομα DE 31 ὅτι om. F μὲν om. CE ἐνέμεινε] ἀνέμεινε E

[100] νοητῇ καὶ ἀφανεῖ ἁρμονίᾳ καὶ ἀπὸ τοῦ αἰσθητοῦ κάλλους καὶ ἔξω προφαινομένου περιήχθη εἰς τὸ νοητὸν καὶ ἀφανὲς κάλλος καὶ ὃ νῷ μόνῳ ἐστὶ ληπτόν· ὁ δὲ Στησίχορος ἐξ ἀρχῆς μὲν καὶ αὐτὸς ἐθεώρει τὸ νοητὸν κάλλος, ὕστερον δὲ ἐκεῖθεν καταβὰς καὶ ἀποπεσὼν ἐκείνης τῆς θεωρίας θεωρεῖ τὸ αἰσθητὸν κάλλος· τοῦτο γὰρ σημαίνει κατὰ ταύτην τὴν ἐπιβολὴν τὸ ἀπὸ τυφλοῦ αὐτὸν ἀναβλέψαι· ὁ δὲ Σωκράτης παραιτεῖται τὸ περὶ τὸ αἰσθητὸν κάλλος ἐνθουσιᾶν καὶ αὐτοῦ ἔχεσθαι μόνου καὶ ἀφίστασθαι τῶν ἄλλων· τοῦτο γὰρ ἂν σημαίνοι τὸ μήπω τυφλωθῆναι αὐτόν, τὸ μήπω ἐνθουσιάσαι περὶ τὸν θεῖον ἔρωτα. Καὶ ὁρᾷς ὅτι σύμφωνος μὲν αὕτη ἡ ἐξήγησις τῷ πανταχοῦ Σωκράτει ἐξυμνοῦντι τοὺς θεολόγους καὶ τοὺς ἔνθους ποιητὰς καὶ Ὅμηρον, βουλομένῳ δὲ αὐτοῖς ἕπεσθαι. Διὸ ὑπέρτερον πάντων ἐδείξαμεν κατὰ ταύτην τὴν ἀνάπτυξιν τὸν Ὅμηρον. Πλὴν ἡ πρώτη ἀνάπτυξις προσφυεστέρα καὶ οἰκειοτέρα ἐστὶ τοῖς ἐνταῦθα ῥητοῖς. Βέλτιον δὲ καὶ τὴν ἀνάπτυξιν τὴν κατὰ τὴν Ἑλένην καὶ τὸ Ἴλιον ἐκθέσθαι καὶ τὸν πόλεμον τῶν Τρώων καὶ τῶν Ἑλλήνων, ἵνα τι καὶ ἐκ τούτων σαφὲς εἰς τὰ προκείμενα λάβωμεν. Ἴλιον μὲν οὖν νοείσθω ἡμῖν ὁ γενητὸς καὶ ἔνυλος τόπος παρὰ τὴν ἰλὺν καὶ τὴν ὕλην Ἴλιον ὠνομασμένον, ἐν ᾧ καὶ ὁ πόλεμος καὶ ἡ στάσις· οἱ δὲ Τρῶες τὰ ἔνυλα εἴδη καὶ αἱ περὶ τοῖς σώμασι πᾶσαι ζωαί, διὸ καὶ ἰθαγενέες λέγονται οἱ Τρῶες· καὶ γὰρ οἰκείαν τὴν ὕλην περιέπουσιν αἱ περὶ τὰ σώματα ζωαὶ πᾶσαι καὶ αἱ ἄλογοι ψυχαί· οἱ δὲ Ἕλληνες αἱ λογικαὶ ψυχαὶ ἐκ τῆς Ἑλλάδος, τουτέστιν ἐκ τοῦ νοητοῦ, ἐλθοῦσαι εἰς τὴν ὕλην, διὸ καὶ ἐπήλυδες λέγονται οἱ Ἕλληνες, καὶ κρατοῦσι τῶν Τρώων ἅτε τῆς ὑπερτέρας ὄντες τάξεως. Μάχη δὲ αὐτοῖς γίνεται περὶ τῷ εἰδώλῳ τῆς Ἑλένης, ὥς φησιν ὁ ποιητής·

Ἀμφί γ' ἄρ' εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ
δῄουν ἀλλήλων ἀμφὶ στήθεσφι βοείας,

τῆς Ἑλένης τὸ νοητὸν κάλλος δηλούσης, ἑλενόη τις οὖσα, ἡ ἐφελκομένη

10 πανταχοῦ e. g. *Ion.* 533-534 17 ὠνομασμένον : eadem nonnulli inter recentes putaverunt (v. Pape s. v.) : apud veteres nusquam alias, quod sciam, reperiuntur 19 ἰθαγενέες ξ 203 22 ἐπήλυδες in Homericis carminibus non inveni, neque ullum in *Thesauro* Stephani exemplum Herodoto antiquius 24 E 451-452 26 ἑλενόη : nihil ejusmodi neque apud Euripidem neque in Etymologicis

NC 1 ἀφανῆ EF ἁρμονίαν E ἀπὸ] ὑπὸ C 2 ὃ om. M ἐστὶ ληπτόν] ἐπιληπτόν M 4 ἐκεῖθεν] ἐκεῖνος M 5 fort. <ἂν> σημαίνοι legendum cf. 8 ἐπιβολὴν] ἀποβολὴν M 8 ἂν om. M σημαίνοι scripsi : σημαίνει libri 8 μήπω ante ἐνθουσιάσαι] μήποτ' M 11 βουλομένῳ M : βουλομένου A 13 ἐστὶ] ἐπὶ M 14 καὶ ante τὴν ἀνάπτυξιν om. M τὴν ante κατὰ om. M 16 γεννητὸς M 17 ἰλὺν] ἰλὴν M (jam correxerat Ast) 18 εἴδη] ἤδη M (« *num* εἴδη? » Ast) 19 ἰθαγενεῖς M (ἰθαιγενέεσσιν, v. l. ἰθαγενέεσσιν Hom.) 20 αἱ ἄλογοι] ἀνάλογοι M 25 γ' ἄρ'] γὰρ M : δ' ἄρ' Hom. : δὲ Christ 26 στήθεσφι] στήθεσσι, v. l. στήθεσφι Hom.

[100] εἰς αὐτὴν τὸν νοῦν. Ἀπόρροια οὖν τούτου τοῦ νοητοῦ κάλλους ἐνδέδοται τῇ ὕλῃ διὰ τῆς Ἀφροδίτης, περὶ ἧς ἀπορροίας κάλλους μάχονται οἱ Ἕλληνες ὡς ἀνθρώπου. Καὶ οἳ μὲν καταχρατήσαντες τῆς ὕλης καὶ κατεξαναστάντες αὐτῆς ἀπέρχονται ἐπὶ τὸ νοητὸν τὴν ὄντως πατρίδα, οἳ δὲ ἐν αὐτῇ καθάπτονται, οἵα δὴ <ἡ> τῶν πολλῶν ζωή. Ὥσπερ οὖν ἐν Πολιτείᾳ ὁ προφήτης προλέγει ταῖς ψυχαῖς πῶς ἂν ἀναχθῶσι καὶ τὰς μυριέτεις καὶ χιλιέτεις τῶν ψυχῶν περιόδους, οὕτω καὶ ἐν τοῖς Ἕλλησιν ὁ Κάλχας προλέγει διὰ δέκα ἐτῶν ἐπανιέναι, τοῦ δέκα ἀριθμοῦ τελείας περιόδου σύμβολον φέροντος. Καὶ ὥσπερ ἐν τοῖς βίοις, τῶν ψυχῶν αἳ μὲν διὰ φιλοσοφίας, αἳ δὲ δι' ἐρωτικῆς, αἳ δὲ διὰ τοῦ βασιλικοῦ καὶ πολεμικοῦ ἀνάγονται, οὕτω καὶ οἱ Ἕλληνες οἳ μὲν διὰ φρονήσεως, οἳ δὲ τῷ πολεμικῷ ἢ ἐρωτικῷ κατορθοῦσι, καὶ διάφορος αὐτοῖς γίνεται ἡ ἐπάνοδος. Ἔχομεν οὖν καὶ τούτων, ὡς ἐν τοῖς προκειμένοις, μετρίαν ἀνάπτυξιν, περὶ ὧν οὐκ ἀπεικὸς... ἐνδείκνυσθαι τὸν Πλάτωνα διὰ τῆς εἰς τὴν Ἑλένην παλινῳδίας συμφώνως τοῖς προκειμένοις ὅτι οὐχ ὁ περὶ τὸ αἰσθητὸν καὶ ἔνυλον κάλλος διατρίβων καὶ τὸ ἐν συνθέσει καὶ ἔξω ῥέον περὶ τὸ ὄντως ὂν κάλλος διατρίβει, ἀλλὰ δεῖ τούτου μὲν ἀποστῆναι τοῦ ἔρωτος καὶ κάλλους, κἂν ψυχικὸν ᾖ καὶ αὐλότερον ὡς πρὸς τὸ αἰσθητόν, περιάγειν δὲ ἑαυτὸν ἐπὶ τὸν ἐνθουσιαστικὸν καὶ ἀναγωγὸν ἔρωτα <καὶ> ἐπὶ τὸ νοητὸν κάλλος καὶ τὴν ἐν τῷ ὅ ἐστιν αὐτὴν ἀλήθειαν τὴν ὡς θεόν, ὥς φησιν ἐν τῇ παλινῳδίᾳ. — Τὸ δὲ ἅτε μουσικὸς ὢν ἔγνω τὴν αἰτίαν ἀντὶ τοῦ· ἅτε μελοποιὸς ὢν καὶ τὴν ἁρμονίαν ἐπεσκεμμένος τοῦ παντός. — Τὸ δὲ ἐγὼ οὖν σοφώτερος ἐκείνων γενήσομαι οὐχ ἁπλῶς εἶπεν, ἀλλὰ προσέθηκε κατ' αὐτό γε τοῦτο· οὐ γὰρ τῆς ἐμμελείας καὶ εἰρωνείας ἦν Σωκράτους τὸ ἑαυτὸν εἰπεῖν σοφώτερον τῶν ποιητῶν, ἀλλὰ προσέθηκε τὸ κατ' αὐτό <γε τοῦτο>, τουτέστι τὸ αἰσθέσθαι πρὶν βλαβῆναι τὸ ἁμάρτημα. Λέγει δὲ βλάβην τὸ ἐναπομεῖναι τῷ αἰσθητῷ καὶ φαινομένῳ κάλλει, κἂν περὶ τὸ μέσον κάλλος
p. 101 τὸ ἐν | ψυχῇ σώφρονι ἀναστρέφηται· δεῖ γὰρ καὶ ἀπὸ τούτου ἀναδραμεῖν [καὶ] ἐπὶ τὸν ὑψηλότερον καὶ ἐνθουσιαστικὸν ἔρωτα καὶ τὸ νοητὸν κάλλος εἰς ὃ ἀνάγει ὁ ἔρως, ὃ καὶ ὑμνήσει ἐν τῇ παλινῳδίᾳ ὁ Σωκράτης. — Τὸ δὲ γυμνῇ τῇ κεφαλῇ ἐπειδὴ μέλλει τὸν ἀναγωγὸν ἔρωτα τὸν ὡς θεὸν ἀνυμνεῖν, εἴωθε δὲ συσχηματίζεσθαι τοῖς λόγοις· εἰ δὲ λέγοις γυμνὸν τὸ

5 *Rep.* X 617-619 7 Κάλχας cf. B 300 sqq 9 cf. *Rep.* *l.* *c.* 19-20 247 E 21 243 A 22 243 B 26 βλάβην hic apud Platonem non legitur

NC 5 ἡ addidi 12 τούτων] τοῦτο M verba περὶ ὧν (ἧς, ut opinor) οὐκ ἀπεικὸς videntur corrupta aut saltem mutila 15 ὁ] ὡς M 18 περιάγειν] περιάγει M 19 καὶ addidi post ἔρωτα 20 Ast ex Platone requirit ὅ ἐστιν <ὂν ὄντως> : certe ὄντως pro αὐτὴν legendum 21 ἀντὶ τοῦ om. M 25 γε τοῦτο addidi 26 αἴσθεσθαι A et sic fortasse legendum apud scriptorem ætatis tam recentis 28 ἀναστρέφεται M 29 καὶ ante ἐπὶ om. M : ego seclusi 31 τῇ om. Plat. cod. B

[101] ἄφετον ὅτι εὔλυτος αὐτοῦ γίνεται ἡ διάνοια πρὸς τὰ ὑπέρτερα ἐνεργοῦσα,
f° 39 v° μερικὴ δὲ καὶ ἀσθενὴς καὶ οἷον ἐγκεκαλυμμένη | περὶ τὰ καταδεέστερα καὶ κοιλότερα στρεφομένη, ἔχοι ἂν καὶ οὕτω πολλὴν ἀλήθειαν ὁ λόγος.

ο΄. **Καὶ γὰρ ὠγαθὲ Φαῖδρε]** 243 B.

Ἔφαμεν ὅτι τρία ἐγκαλεῖ ἑκατέρῳ τῶν λόγων, ὅτι ἀσεβής, ὅτι εὐήθης, ὅτι ἀναιδής. Εἰπὼν <οὖν> περὶ τῶν δύο, νῦν περὶ τῆς ἀναιδείας λέγει τοῦ λόγου, ὅτι οὐκ αἰσχύνεται τοὺς γενναίους τῶν ἀνθρώπων. Γεννάδας δὲ λέγει τοὺς εὐγενῆ ἔρωτα ἐρῶντας καὶ σώφρονα καὶ κόσμιον. — Τὰ δὲ τῶν ναυτῶν ἤθη εἴωθε Πλάτων κακίζειν ὡς ἄνανδρα καὶ ἀγεννῆ καὶ διεφθαρμένα ἤθη· διά τοι τοῦτο καὶ ἐκ τῆς αὐτοῦ Πολιτείας ἐξέβαλε τὸ ναυτικόν. Τάξειας δ' ἂν τοὺς ναύτας ἀνάλογον τοῖς ἐνύλοις εἴδεσι καὶ ταῖς περὶ τὰ σώματα ζωαῖς, ὡς ἐν ὑγρῷ, τουτέστι τῇ γενέσει, ἀεὶ τὴν διατριβὴν ποιουμένους· διὸ καὶ ἀφίστασθαι αὐτῶν κελεύει. — Πότιμον δὲ λόγον τὸν ἀπὸ νοῦ καὶ θεῶν ἐκάλεσε καὶ τὸν περὶ τὴν ἐκείνων θεωρίαν ἀναστρεφόμενον· ἁλμυρὸν δὲ τὸν περὶ τὰ αἰσθητὰ καὶ ἔνυλα διατρίβοντα· διὸ ἐκεῖνος μὲν τρέφει καὶ ἀνάγει τὸ τῆς ψυχῆς πτέρωμα, ὡς ἐν τῇ παλινῳδίᾳ φησίν, οὗτος δὲ φθίνειν ποιεῖ καὶ διόλλυσι. — Τὸ δὲ ἐκ τῶν ὁμοίων δηλοῖ μὲν ἐκ τῶν αὐτῶν καὶ ἴσων ἐπιχειρημάτων· καὶ γὰρ εἶπεν αὐτὸς ἀνωτέρω ὅτι « ὅσα τὸν ἕτερον λελοιδορήκαμεν τῷ ἑτέρῳ τἀναντία τούτων ἀγαθὰ πρόσεστι· » σημαίνει δὲ καὶ τὸ αὐτὰ ἐφ' ἑαυτῶν δεῖν ἐξετάζεσθαι τὰ πράγματα καὶ μὴ μετὰ προσθήκης τινός. Οἷον ἐὰν βούλῃ συγκρῖναι ὑγίειαν καὶ πλοῦτον, μὴ λάβῃς ὑγίειαν μὲν παρὰ ἀδίκῳ καὶ ἀκολάστῳ ἀνθρώπῳ, πλοῦτον δὲ παρὰ σώφρονι· οὐκέτι γάρ ἐστιν ὑγίειαν καὶ πλοῦτον συγκρίνειν, ἀλλὰ ἀκολασίαν καὶ σωφροσύνην. « Καὶ οὖν καὶ νῦν ὦ Λυσία, ἐὰν συγκρῖναι θέλῃς τὸ ἐρᾶν τῷ μὴ ἐρᾶν, μὴ λάβῃς τὸ μὲν ἐρᾶν ἐπὶ τοῦ ἀκολάστως ἐρᾶν τὸ δὲ μὴ ἐρᾶν ἐπὶ τοῦ σωφρόνως, ἀλλ' αὐτὸ καθ' αὑτὸ καὶ ἐφ' ἑαυτοῦ τὸ ἐρᾶν καὶ τὸ μὴ ἐρᾶν· ὀφθήσεταί σοι γὰρ τὸ ἐρᾶν πάντων ἄμεινον· εἰς ταὐτὸ γὰρ ἔρχεται τὸ ἁπλῶς ἐρᾶν τῷ σωφρόνως καὶ θείως ἐρᾶν. » Τοῦτο οὖν ἐστι τὸ ἐκ τῶν ὁμοίων τὸ αὐτὰ ἐφ' ἑαυτῶν κρίνειν τὰ πράγματα καὶ μὴ μετὰ προσθήκης τινὸς ἔξωθεν. — Ὁ δὲ Φαῖδρος ἐπαγγέλλεται πείσειν τὸν Λυσίαν γράψαι καὶ τὸν τοῦ ἐραστοῦ ἔπαινον· συνάγει γὰρ ἑαυτῷ πανταχοῦ τὸν Λυσίαν· ὁ μὲν γὰρ Σωκράτης

5 ἔφαμεν 71, 13 9 εἴωθε e. g. *Rep.* VI 488 B; *Polit.* 302 A 10 *Leg* IV, 704 A-C? 17 246 E 19 241 E

NC 3 πολλὴν om. M 4 καί, κ rubr. A 6 οὖν addidi Hermiæ morem secutus 8 καὶ σώφρονα om. M 9 ἀγενῆ M 10 ἤθη ex ἤδη M 16 ἀνάγει] fort. ex Platone αὔξει vel αὐξάνει legendum 17 φθίνειν] καὶ φθίνειν M 18 καὶ ante γὰρ scripsi : ὡς libri (ὧς A[a]) 20 πρόσεστιν Plat. τὸ] τὰ A[a] 21 πράγματα scripsi : ὀνόματα libri (sed A[a]) cf. 30 22 βούλει A 23 ὑγείαν A 25 μὲν] μὴ Ast 26 μὴ om. M 27 ἐφ'] ἀφ' M cf. 20, 26 (bis), 29 28 ταὐτὸν M 29 ἐφ'] ἀφ' M cf. 27

[101] τὸν Φαῖδρον ἀνάγει, ὁ δὲ Φαῖδρος τὸν Λυσίαν· οὐκ ἀμέσως γὰρ τὰ τελευταῖα πρὸς τὰ πρῶτα ἐπιστρέφει, ἀλλὰ δεῖται τῶν μέσων, εἰ καὶ τὰ ὑπέρτερα πᾶσιν ἀμέσως πάρεστιν, ὅσον ἐπὶ τῇ ἑαυτῶν δυνάμει. — Τὸ δὲ ἕωσπερ ἂν ᾖς ὃς εἶ ἀντὶ τοῦ « ἕως ἂν ᾖς φιλόλογος καὶ θέλῃς μοι ἕπεσθαι καὶ ἔχεσθαί μου. » — Τὸ δὲ οὗτος παρὰ σοὶ μάλα πλησίον· λέγει μὲν ὅτι « ἐγὼ πάρειμί σοι ὅταν βούλῃ· ἀεὶ γάρ σου ἔχομαι· » πρὸς γὰρ Φαῖδρον ἦν καὶ ὁ προειρημένος ἤδη λόγος καὶ ὁ νῦν μέλλων ῥηθήσεσθαι· σημαίνει δὲ ὅτι οἱ καθόλου λόγοι ἐν τῇ διεγηγερμένῃ ψυχῇ ἀεὶ πρόχειροί εἰσιν ὅταν βούληται. Ὁ δὲ Σωκράτης πρὸς ἁπλῶς παῖδα διαλέγεται πᾶσαν διὰ τούτου τὴν νεολαίαν τελειῶν.

οα'. Οὑτωσὶ τοίνυν ὦ παῖ καλέ] 243 E.

Τὸ ταὐτὸν καὶ ἕτερον τούτου τε τοῦ λόγου καὶ τοῦ προειρημένου θεασώ- f° 40 r° μεθα. Κοινὸν μὲν οὖν αὐτοῖς καὶ ταὐτὸν τὸ περὶ ἔρωτος εἶναι καὶ | τῆς τοῦ καλοῦ θεωρίας· ἐρωτικοὶ γάρ εἰσιν ἄμφω οἱ λόγοι. Διαφέρουσι δὲ ὅτι ὁ μὲν προειρημένος τὸ ψυχικὸν ἐθεώρει κάλλος τό τε ἐν ἐπιστήμαις καὶ ἀρεταῖς καὶ τὸν σώφρονα ἔρωτα τὸν τῆς ψυχῆς αὐτῆς ἑαυτὴν θεωρούσης, ὁ δὲ μέλλων ῥηθήσεσθαι τὸ νοητὸν ἐπισκέπτεται κάλλος καὶ τὸν ὑπερουράνιον τόπον ἀνυμνεῖ καὶ τὸν θεῖον καὶ ἀναγωγὸν ἔρωτα· καὶ ὅλως ὃ p. 102 μὲν περὶ τοὺς | μέσους λόγους τῆς ψυχῆς ἀναστρέφεται, ὃ δὲ ἐπὶ τὰ ὑπὲρ τὴν ψυχὴν ἀνατείνεται εἴδη. Πάλιν κοινὸν αὐτοῖς τὸ καθαρτικοῖς εἶναι ἀμφοτέροις· διαφέρουσι δὲ ὅτι ὃ μὲν παντὸς τοῦ φαινομένου καὶ ἔξω κάλλους ἀπεῖργε καὶ τὸν διάστροφον ἐξεκάθαιρεν ἔρωτα (ἐβούλετο γὰρ αὐτὸν εἰς ἑαυτὸν ἐπιστρέψαι καὶ εἰς τὸ ψυχικὸν περιαγαγεῖν κάλλος), ὁ δὲ νῦν καὶ τὸ ψυχικὸν ἀφαιρεῖ κάλλος καὶ πᾶν τὸ πεπληθυσμένον, εἰς δὲ τὸ ἡνωμένον καὶ τὸν νοῦν ἀναπέμπει καὶ εἰς αὐτὸ τὸ ἓν τῶν θεῶν. Πάλιν δ' αὖ καὶ τοῖς προσώποις πρὸς οὓς λέγεται κοινωνοῦσι καὶ διαφέρουσι· καθὸ μὲν γὰρ Φαῖδρος ἦν ὁ κἀκεῖνον ἀκούων τὸν λόγον καὶ τοῦτον, κοινωνοῦσι καὶ κατὰ τοῦτο· καθὸ δὲ οὐχ ὁ αὐτός ἐστι καὶ ὅμοιος Φαῖδρος ὁ πάλαι καὶ νῦν, ταύτῃ διαφέρουσιν· ἐν μὲν γὰρ τῷ πρώτῳ λόγῳ Σωκράτους οὔπω ἦν κεκαθαρμένος ὁ Φαῖδρος (ἐβούλετο γὰρ ἐκεῖ αὐτὸν καθῆραι καὶ εἰς ἑαυτὸν ἐπιστρέψαι), ἐνταῦθα δὲ ὡς ἤδη κεκαθαρμένος καὶ ἑαυτὸν θεωρήσας καὶ τὸ ἐν ψυχῇ κάλλος οὕτω παραλαμβάνεται ὁ Φαῖδρος. Διὸ ἐκεῖ μὲν ἀορίστως ὁ παῖς λαμβάνεται καὶ ὡς πρὸς ἀπόντα διαλέγεται· « ἦν οὕτω δὴ παῖς μᾶλλον δὲ μειρακίσκος μάλα καλός, » καὶ πάλιν « περὶ παντὸς

3 243 E 17 247 C 33 237 B

NC 3 ἑαυτῶν] αὐτῇ M 4 ἀντὶ τοῦ om. M 6 βούλει A cf. 79, 22 9 πρὸς ἁπλῶς] ἁπλῶς πρὸς M 10 τελειῶν] τελέσων? 11 οὑτωσί, οὐ rubr. A 15 fort. τὸ ἐν ἐπιστήμαις τε 16 τῆς scripsi : ὡς libri 19 ἐπὶ] ὑπὲρ M : πρὸς Αστ 22 ἐβούλεται (sic) A ἑαυτὸν] αὐτὸν M 34 μᾶλλον δὲ] μᾶλλον καὶ M καλός] νέος M

[102] ὦ παῖ μία ἀρχή· » ἐνταῦθα δὲ καὶ ἐπιζητεῖ τὸν παῖδα ὡς ἤδη κεκαθαρμένον, καὶ ὡς θεασάμενον τὸ ἐν τῇ ἑαυτοῦ ψυχῇ κάλλος καλὸν αὐτὸν προσαγορεύει· « οὑτωσὶ τοίνυν ὦ παῖ καλὲ ἐννόησον. » Καὶ ἐκεῖνον μὲν τὸν λόγον οὔ φησιν εἰρηκέναι ὁ Σωκράτης, ἀλλὰ Φαῖδρον τὸν Πυθοκλέους τοῦ Μυρρινουσίου διὰ τοῦ Σωκράτους στόματος, τοῦτον δὲ ἑαυτῷ περιτίθησι. Λάβοις δ' ἂν καὶ ἐκ τῆς τῶν ὀνομάτων ἀναπτύξεως τὴν διαφοράν· τὸ μὲν γὰρ Φαίδρου ὄνομα τοῦ φαινομένου κάλλους τοῦ προσηνοῦς καὶ φαιδροῦ ἐστι σημαντικόν· τὸ δὲ Πυθοκλέους ἐπειδὴ τῷ διὰ τῆς ἀκοῆς εἰσρέοντι κάλλει ἐγάννυτο ὁ Φαῖδρος, τῇ γὰρ συνθήκῃ τῶν ῥημάτων τοῦ Λυσίου· τὸ δὲ Μυρρινουσίου τὸ γήινον καὶ ἔνυλον σημαίνει· ἡ γὰρ μυρρίνη δένδρον ἐστι χθονίων θεῶν ταῖς περιπεζίοις αὐτῶν δυνάμεσιν ᾠκειωμένον. Ἐκ πάντων οὖν τούτων δηλοῦται ὅτι οὐ περὶ τὸ πρῶτον καλὸν εἶχεν ὁ πρότερος λόγος, ἀλλὰ περὶ τὸ μέσον καὶ ἔσχατον ὡς ἐν καλοῖς, ὁ δὲ νῦν περὶ τὸ πρῶτον καλὸν ἀναστρέφεται καὶ τὸ ὄντως ὂν καὶ ἁπλοῦν καὶ βέβαιον. Ὁ μὲν γὰρ Στησίχορος τὸ στάσιμον καὶ βέβαιον τοῦ νοητοῦ κάλλους δηλοῖ περὶ ὃ μένον περιχορεύει τὰ ἄλλα καλά. Εὐφήμου δὲ, τοῦ ἀξίου εὐφημίας· Ἱμεραίου δὲ τοῦ ἐπεράστου· πάντα γὰρ ταῦτα ἔχει τὸ νοητὸν κάλλος εἰς ὃ ἀναπέμπει ὁ νῦν Σωκράτους λόγος.

9 cf. 234 D

NC 2 αὐτοῦ M 4 οὔ φησίν A 5 τοῦ ante Μυρρινουσίου om. Plat. 6 τῶν om. M 14 καλοῖς] ἄλλοις M 15 βέβαιον] ἀβέβαιον M 16 μένον] μόνον M

ΕΡΜΕΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΤΩΝ ΕΙΣ ΤΟΝ ΠΛΑΤΩΝΟΣ ΦΑΙΔΡΟΝ ΣΧΟΛΙΩΝ

ΤΩΝ ΕΙΣ ΤΡΙΑ

ΤΟ ΔΕΥΤΕΡΟΝ

---

f° 40 v° [102] α΄. Οὐκ ἔστ᾽ ἔτυμος λόγος] 244 A.

Ἤρξατο μὲν ἀπὸ τῆς αὐτῆς ἀρχῆς τῷ Στησιχόρῳ, ἐπειδὴ καὶ αὐτὸς παλινῳδίαν γράφει εἰς τὸν Ἔρωτα, ὥσπερ ὁ Στησίχορος εἰς τὴν Ἑλένην. Οὐκ ἔτυμον δὲ εἶπε τὸν πρότερον λόγον, ἀλλὰ ψευδῆ, καίτοι γε ὄντα ὅπῃ ἠλήθευεν, ἐπειδὴ περὶ τὸ αἰσθητὸν καὶ ἔξω φαινόμενον ἀπέβλεπε κάλλος· διὸ συναναπέφυρται τῷ ψευδεῖ. — Ἀσφαλῶς δὲ εἶπε τὸ παρόντος· οὐ γὰρ ἁπλῶς εἶπε « ψευδής ἐστιν ὁ λόγος ὃς ἂν μὴ τῷ ἐρῶντι χαρίζηται, » ἀλλ᾽ « ὃς <ἂν> παρόντος ἐραστοῦ τῷ μὴ ἐρῶντι φῇ δεῖν χαρίζεσθαι. » — Εἶτα ἐπειδὴ ἄνω καὶ κάτω τούτῳ μόνῳ ἐχρῆτο τῷ ἐπιχειρήματι ὁ Λυσίας, λέγων μὴ δεῖν χαρίζεσθαι τῷ ἐρῶντι, ἐπειδὴ ὁ μὲν ἐρῶν μαίνεται, ὁ δὲ μὴ ἐρῶν σωφρονεῖ, ἐχρῆτο δὲ αὐτῷ καὶ Σωκράτης (εἶπε γὰρ καὶ αὐτὸς ὅτι οὐ δυνατὸν πάντῃ ἕτερα παρὰ τοῦ Λυσίου λέγειν, ἀλλ᾽ ἔστιν ὅπῃ τοῖς αὐτοῖς ἀνάγκη χρήσασθαι), ἐπειδὴ οὖν καὶ αὐτὸς ἐχρήσατο πρὸς πολλοῖς ἄλλοις ἐπιχειρήμασι καὶ τούτῳ τῷ ὅτι ὁ μὲν ἐρῶν μαίνεται,| p. 103 ὁ δὲ μὴ ἐρῶν σωφρονεῖ, δείκνυσι μὴ ὂν ἁπλοῦν τὸ τῆς μανίας ὄνομα· τριττὸν γὰρ τοὐλάχιστον· τὸ μὲν ὑπέρτερον καὶ κρεῖττον τοῦ σωφρονεῖν, τὸ δὲ ἐν τῇ αὐτῇ συστοιχίᾳ τῷ σωφρονεῖν, ὃ καὶ κατά τι πλεονεκτεῖ καὶ κατά τι πλεονεκτεῖται ὑπὸ τοῦ σωφρονεῖν, τὸ δὲ καταδεέστερον τοῦ σωφρονεῖν. Ἐπειδὴ τοίνυν πάντα τὰ ἐπιχειρήματα ἐν τοῖς ἄνω λόγοις ἐκ τοῦ

11 εἶπε 235 E

TIT 1 ἐντεῦθεν οἱ ὑπὲρ τοῦ ἀγαθοῦ ἔρωτος λόγοι τοῦ Σωκράτους C

NC tit. rubr. A. Σχολίων τῶν εἰς τρία τὸ δεύτερον M 1 λόγος] ὁ λόγος M 5 ἠλήθευεν] ἠλή deinde lacuna « *aliquot verborum* » M teste Astio 6 διὸ A συναναπέφορται D ψευδεῖ] ψεύγει (sic) A[a] 7 μὴ τῷ] τῷ μὴ M χαρίζηται] χαρίζεσθαι M 8 ἂν addidi ex Platone φῇ om. M (jam correxerat Ast) δεῖν Plat. : δεῖ AMD 9 τῷ om. M 11 καὶ] ὁ M : fort. καὶ ὁ 13 ὅποι D 14 ὅτι] ὄντι M : ὄντι <ὅτι> Ast 17 τὸ ex τω A[1] : τῷ D τῷ scripsi : τοῦ libri καὶ post ὃ om. D

[103] μαίνεσθαι αὐτὸν καὶ ἐξεστηκέναι ἐλαμβάνετο, αὐτὸ τοῦτο λαβὼν ὁ Σωκράτης δείκνυσιν οὐχ ἁπλοῦν ὂν τὸ τῆς μανίας ὄνομα. Ἢ γὰρ μόνως κακόν ἐστιν, ἢ μόνως ἀγαθόν, (τοῦτο γὰρ <ἂν> ἦν ἁπλοῦν εἶναι) ἢ καὶ ἀγαθὸν καὶ κακόν. Εἰ μὲν γὰρ μόνως κακὸν ἐσήμαινε τοῦτο τὸ ἁπλοῦν, πάντως ἂν χεῖρον ἦν τοῦ σωφρονεῖν· εἰ δ' αὖ πάλιν μόνως ἀγαθὸν ἦν, ἢ κατά τι μὲν ἀγαθὸν κατά τι δὲ κακὸν, οὐκ ἀρκεῖ τὸ εἶναι ἀγαθὸν τὴν μανίαν πρὸς τὸ καὶ κρείττω εἶναι τοῦ σωφρονεῖν· τί γὰρ εἰ ἔλαττον ἀγαθὸν εἴη; Διὸ δεῖ δεῖξαι ὅτι πρὸς τῷ ἀγαθῷ καὶ μεῖζον ἀγαθόν ἐστι τοῦ σωφρονεῖν· τοῦτο δὴ καὶ ποιήσει, καὶ δείξει ὅτι ἡ κρείττων τοῦ σωφρονεῖν μανία τῶν μεγίστων ἀγαθῶν αἰτία ἐστὶ τοῖς ἀνθρώποις, καὶ οὐχ ἁπλῶς μέγιστον ἀγαθόν ἐστιν ἡ μανία, ἀλλ' αἰτία καὶ μήτηρ τῶν μεγίστων ἀγαθῶν ἐστι. Διὸ καὶ μειζόνως αὐτὴν ἀνυμνεῖ. Εἰ δὲ καὶ ἐκ θεῶν ἐνδίδοται ὡς ἐρεῖ τῶν ἀκροτάτων ἀγαθῶν ἂν εἴη αἰτία· εἰ δὲ καὶ ὁ πρῶτος ἔρως καὶ ὁ μέσος καὶ ὁ ἔσχατος ἔκστασιν ἐμποιοῦσι καὶ μανίαν, εἰ καὶ διάφορα τὰ εἴδη τῶν μανιῶν, ἔοικεν αὐτὸ τοῦτο ἴδιον εἶναι τοῦ ἔρωτος, τὸ μανίαν καὶ ἔκστασιν ἐμποιεῖν τῷ κατεχομένῳ ὑπ' αὐτοῦ.

β'. Ἥ τε γὰρ δὴ ἐν Δελφοῖς προφῆτις] 244 A.

Τὰ μὲν τῶν ῥητῶν ἐν τοῖς ἑξῆς σαφηνιοῦμεν. Ἐπειδὴ δὲ τέσσαρας μανίας, τουτέστιν ἐνθουσιασμοὺς καὶ κατοκωχὰς ἐκ θεῶν, ἐνταῦθα παραδίδωσιν ὁ Πλάτων, μουσικὴν, τελεστικὴν, μαντικὴν, ἐρωτικὴν, πρὸ τοῦ περὶ ἑκάστης εἰπεῖν, περὶ ἐνθουσιασμοῦ πρῶτον ῥητέον, ποῖον μόριόν ἐστιν τῆς ψυχῆς τὸ ἐνθουσιῶν, καὶ εἰ πᾶν μόριον ἐνθουσιᾷ, καὶ εἰ πᾶς ἐνθουσιασμὸς ἐκ θεῶν, καὶ ἐν ποίῳ μορίῳ τῆς ψυχῆς οὗτος ἐγγίνεται ἢ ἄλλῳ τινὶ κρείττονι ψυχῆς. Ποῦ οὖν μάλιστα καὶ τίς ὁ κυρίως καὶ πρώτως λεγόμενος ἐνθουσιασμός; Τῆς δὴ λογικῆς ψυχῆς εἰσι μέρη δύο, τὸ μὲν διάνοια, τὸ δὲ δόξα· πάλιν δὲ τῆς διανοίας τὸ μὲν πεζότατον λέγεται καὶ κυρίως ἐστὶ διάνοια, τὸ δὲ ἀκρότατον ὃ καὶ νοῦς αὐτῆς λέγεται, καθὸ μάλιστα νοερὰ γίνεται ἡ ψυχὴ, ὃ καὶ δυνάμει νοῦν τινες ἐκάλεσαν. Ἄλλο δέ ἐστιν ὑπὲρ τοῦτο ὅ ἐστιν ἀκρότατον τῆς πάσης ψυχῆς καὶ ἑνικώτατον, ὃ πᾶσι τὰ ἀγαθὰ θέλει καὶ ἀεὶ ἑαυτὸ ἐπιδίδωσι τοῖς θεοῖς, καὶ ὅπερ ἂν ἐκεῖνοι βούλωνται τοῦτο ἕτοιμον ἐμποιεῖν· ὃ καὶ ἓν λέγεται τῆς ψυχῆς [ὃ] καὶ ἴνδαλμα φέρει τοῦ ὑπερουσίου| f° 41 r° ἑνὸς, πᾶσαν ἑνίζον τὴν ψυχήν. Ὅτι δὲ καὶ ἀναγκαῖον ταῦτα οὕτως ἔχειν μάθοιμεν ἂν ἐντεῦθεν· ἡ λογικὴ ψυχὴ παρά τε τῶν πρὸ ἑαυτῆς αἰτίων πάν-

TIT 17 περὶ ἐνθουσιασμοῦ C 25 περὶ τῶν τῆς ψυχῆς δυνάμεων C

NC 1 καὶ om. M 3 ἂν addidi 4 μὲν om. M μόνως scripsi : μόνον libri 8 τῷ ἀγαθῷ] τὸν ἀγαθὸν M : sensus est : « præterea quod bonum quid est » 9 ἡ om. D 10 ἐστὶ αἰτία M 17 ἧ rubr. A 19 καταχωχὰς M 20 πρὸ] περὶ M (jam correxerat Ast) 22 ἐνθουσιῶν A[2] : ἐνθουσιοῦν A[1]CED : ἐνθουσιᾶν M εἰ ante πᾶς om. D 23 ἄλλῳ τινι A 27 νοῦς] νῦν D 29 καὶ post ψυχῆς om. M τἀγαθὰ M 30 καὶ om. M 31 ὃ seclusi 33 μάθοιμεν scripsi : μάθωμεν libri αἰτιῶν M

[103] των ὑφίσταται, τουτέστι παρὰ νοῦ καὶ θεῶν· ὑφίσταται δὲ καὶ παρ' ἑαυτῆς· ἑαυτὴν γὰρ τελειοῖ. Καθὸ μὲν οὖν ἐκ θεῶν ὑφίσταται, ἔχει τὸ ἕν, ὃ καὶ πάσας αὐτῆς τὰς δυνάμεις καὶ πᾶν τὸ πλῆθος ἑνίζει καὶ ἑνοῖ εἰς ἕν, καὶ πρῶτον δέχεται τὰ ἀγαθὰ ἐκ θεῶν καὶ ἀγαθοειδῆ ποιεῖ τὴν πᾶσαν τῆς ψυχῆς οὐσίαν, καθὸ καὶ συνάπτεται τοῖς θεοῖς καὶ ἑνοῦται πρὸς αὐτούς. Καθὸ δὲ ἐκ νοῦ ὑφίσταται, ἔχει τὸ νοερὸν, καθὸ ἁπλαῖς ἐπιβολαῖς καὶ οὐ διεξοδικῶς αἱρεῖ τὰ εἴδη, καθὸ καὶ συνάπτεται τῷ ὑπὲρ ἑαυτὴν νῷ. Καθὸ δὲ καὶ ἑαυτὴν ὑφίστησιν, ἔχει τὸ διανοητικὸν, καθὸ ἐπιστήμας τε καὶ θεωρήματα πολλὰ γεννᾷ καὶ διεξοδικῶς ἐνεργεῖ καὶ συλλογίζεται ἀπὸ τῶν προτάσεων τὸ συμπέρασμα. Ὅτι γὰρ καὶ ἑαυτὴν ὑφίστησι, δῆλον ἐκ τοῦ καὶ ἑαυτὴν τελειοῦν· ὃ δὲ εἰς τελειότητα ἑαυτὸ ἄγει καὶ τὸ εὖ εἶναι ἑαυτῷ παρέχει, πολλῷ πλέον τὸ εἶναι αὐτῷ παρέξει· μεῖζον γὰρ τὸ εὖ εἶναι τοῦ εἶναι· εἰ οὖν τὸ μεῖζον ἑαυτῇ παρέχει, πολλῷ πλέον τὸ ἔλαττον παρέξει. Ὁ οὖν πρώτως καὶ κυρίως καὶ ἀληθῶς ἐκ θεῶν ἐνθουσιασμὸς κατὰ τὸ ἓν τοῦτο γίνεται τῆς ψυχῆς, ὅ ἐστιν ὑπὲρ τὴν διάνοιαν καὶ ὑπὲρ τὸν ἐν αὐτῇ νοῦν· ὅπερ ἓν ἐν τῷ ἄλλῳ χρόνῳ παρειμένῳ καὶ καθεύδοντι ἔοικε·
p. 104 τούτου μέντοι τοῦ ἑνὸς κα|ταλαμφθέντος πᾶσα ἡ ζωὴ καταλάμπεται καὶ ὁ νοῦς καὶ ἡ διάνοια καὶ ἡ ἀλογία, καὶ μέχρι καὶ αὐτοῦ τοῦ σώματος ἴνδαλμα τοῦ ἐνθουσιασμοῦ ἐνδίδοται. Γίνονται μὲν οὖν καὶ ἄλλοι ἐνθουσιασμοὶ περὶ τὰ ἄλλα μέρη τῆς ψυχῆς δαιμόνων τινῶν αὐτὴν κινούντων ἢ καὶ θεῶν οὐκ ἄνευ δαιμόνων· καὶ γὰρ ἡ διάνοια ἐνθουσιᾶν λέγεται ὅταν ἐπιστήμας καὶ θεωρήματα ἐξευρίσκῃ ἐν ἀκαρεῖ χρόνῳ καὶ ὑπὲρ τὸν ἄλλον ἄνθρωπον· λέγεται καὶ ἡ δόξα καὶ ἡ φαντασία ἐνθουσιᾶν ὅταν τέχνας εὑρίσκῃ καὶ ἀποτελῇ παράδοξα ἔργα, οἷον Φειδίας ἐν ἀγαλματοποιΐᾳ καὶ ἄλλος ἐν ἄλλῃ τέχνῃ, ὡς καὶ Ὅμηρος περὶ τοῦ ποιήσαντος τὸν τελαμῶνα εἶπε·

μὴ τεχνησάμενος μηδ' ἄλλο τι τεχνήσαιτο·

λέγεται καὶ ὁ θυμὸς ἐνθουσιᾶν ὅταν ἐν τῷ πολεμεῖν ὑπερφυῶς ἐνεργῇ·

μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος...

27 λ 612 29 Ο 605

TIT 8 πῶς ἡ ψυχὴ καὶ παρ' ἑαυτῆς ὑφίσταται C

NC 2 ὃ καὶ] ὅδε M : ὃ δὲ Ast 3 ἑνοῖ] ἑνιοῖ M 7 αἱρεῖτε D 9 πολλὰ] τίνα M (γεννᾷ πολλά D) 10 καὶ post γὰρ om. D 12 αὐτῷ libri εἶναι post εὖ om. M 14 ἐνθουσιασμὸς ἐκ θεῶν M 16 ἐν αὐτῇ] ἑαυτῆς M : cf. tamen 86, 4 ὅπερ] ὅσπερ Ast (« *intellege* νοῦς » : fallitur) ἓν ἐν] ἓν καὶ M : ἐν καὶ Ast καὶ καθεύδοντι] καθεύδοντι M : καὶ εὕδοντι Ast 17 καταληφθέντος D 18 καὶ αὐτοῦ] τοῦ ἑαυτοῦ M : τοῦ αὐτοῦ Ast 19 γίνονται] γίνεται M 20 τῆς ψυχῆς] τοῦ σώματος M cf. 86, 3 αὐτὴν] αὐτὸ M 22 ἐξευρίσκῃ] εὑρίσκῃ M 27 μηδ'] μὴ δ' A ἄλλό τι A

[104] εἰ δὲ καὶ ἐπιθυμήσας τις ἔφαγέ τι ὃ ἀπηγόρευεν ὁ λόγος, κᾆτα ἐκ παραδόξου ὑγίανεν, εἴποις ἂν καὶ τὴν ἐπιθυμίαν ἐντεθουσιακέναι ἀμυδρῶς· ὥστε γίνεται καὶ περὶ τὰ ἄλλα μόρια τῆς ψυχῆς ἐνθουσιασμός. Ὁ μέντοι κυρίως καὶ ἀληθῶς ἐνθουσιασμός ἐστιν, ὅταν τὸ ἓν τοῦτο τὸ ὑπὲρ νοῦν τῆς ψυχῆς ἀνεγείρηται πρὸς τοὺς θεοὺς καὶ ἐκεῖθεν ἐπιπνέηται· ἄλλοτε δὲ ὑπ' ἄλλων κατέχεται θεῶν παρὰ τὰς ἐπιτηδειότητας ἑαυτοῦ, μᾶλλον δὲ καὶ ἔλαττον κατέχεται ὅταν ὁ νοῦς ᾖ ὁ κινούμενος ἢ <ἡ> διάνοια. Ὥσπερ οὖν ὅταν φιλοσοφίαν τίς ἐστι ζητῶμεν, μὴ ἀκριβολογούμενοι δὲ ἀλλὰ καταχρώμενοι πολλάκις, καὶ τὴν μαθηματικὴν ἢ τὴν φυσικὴν ἢ τὴν ἠθικὴν φιλοσοφίαν τε καὶ ἐπιστήμην καλοῦμεν, οὕτω δὴ καὶ ἐπὶ τοῦ ἐνθουσιασμοῦ. Ἐνθουσιασμὸν γὰρ εἰώθαμεν λέγειν κἂν ἡ φαντασία ᾖ ἡ κινουμένη. Οἱ μέντοι τὸν ἐνθουσιασμὸν κράσεσι σωμάτων ἀνατιθέντες ἢ ἀέρος εὐκρασίαις ἢ ἀναθυμιάσεων διαφοραῖς ἢ καὶ καιρῶν ἢ τόπων ἐπιτηδειότησιν ἢ καὶ τῇ τῶν κατ' οὐρανὸν περιιόντων ποιήσει, τὰ συναίτια μᾶλλον καὶ ὑλικὰ τοῦ πράγματος ἤπερ τὰ αἴτια τὰ κυρίως λέγουσιν. Ἔχεις οὖν ποιητικὴν μέν αἰτίαν τοῦ ἐνθουσιασμοῦ τοὺς θεούς, ὑλικὴν δὲ αὐτὴν τὴν ἐνθουσιῶσαν ψυχὴν ἢ καὶ τὰ ἔξωθεν σύμβολα, εἰδικὴν δὲ τὴν ἐκ θεῶν ἐπίπνοιαν περὶ τὸ ἓν τὸ τῆς ψυχῆς, τελικὴν δὲ τὸ ἀγαθόν. Ἀλλ' εἰ ἀεὶ βούλονται τὰ ἀγαθὰ τῇ ψυχῇ οἱ θεοί, διὰ τί μὴ ἀεὶ ἐνθουσιᾷ; Ἢ βούλονται μὲν αὐτῇ τὰ ἀγαθά, βούλονται δὲ καὶ τὴν τοῦ παντὸς τάξιν κρατεῖν· καὶ αὐτὴ δὲ οὐκ ἀεὶ ἐπιτηδεία ἐστὶ διὰ πολλὰς αἰτίας· διόπερ οὐκ ἀεὶ ἐνθουσιᾷ. Τινὲς δὲ λέγουσι τὴν τελεστικὴν ἄχρι τοῦ ὑπὸ σελήνην φθάνειν· εἰ μὲν οὖν οὕτω λέγουσιν ὅτι οὐδὲν τῶν ὑπὲρ σελήνην καὶ οὐρανίων εἰς τὸν ὑποσέληνον τόπον ἐνεργεῖ, ἐναργῶς ἄτοπα λέγουσιν· εἰ δὲ ὅτι οἱ τελεσταὶ οὐ δύνανται ὑπὲρ τὴν σεληνιακὴν σφαῖραν ἐνεργῆσαι, ἐροῦμεν ὅτι, εἰ μὲν αἱ λήξεις τῶν ψυχῶν πᾶσαι ὑποσέληνοί εἰσιν, ἀληθὴς αὐτῶν ἔσται ὁ λόγος, εἰ δέ εἰσι λήξεις ψυχῶν καὶ ὑπὲρ σελήνην (ὥσπερ οὖν εἰσιν· αἳ μὲν γὰρ ἡλίου ὀπαδοί εἰσιν, αἳ δὲ σελήνης, αἳ δὲ Κρόνου· ἔσπειρε γὰρ τὰς μὲν εἰς γῆν, τὰς δὲ εἰς ἥλιον, τὰς δὲ ἄλλας ἀλλαχοῦ), δυνατὸν ἔσται τὴν ψυχὴν καὶ ὑπὲρ σελήνην ἐνεργῆσαι. Ὅπερ γὰρ ἡ ὅλη τάξις αὐτῇ παρέχει πολυχρονίως, τοῦτο δυνήσεται καὶ ἑαυτῇ παρασχεῖν ὀλιγοχρονίως ἡ ψυχὴ διὰ τελεστικῆς ὑπὸ θεῶν βοηθουμένη· ὑπὲρ μὲν γὰρ τὴν ἑαυτῆς λῆξιν οὐκ ἄν ποτε ἐνεργήσειεν, ἄχρι δὲ τῆς ἑαυτῆς λήξεως ἐνεργήσειεν ἄν·

28 cf. *Tim.* 42 D

TIT 19 ἀπορία A

NC 1 τι] τε M ἀπηγόρευσεν M 4 καὶ ἀληθῶς om. M 6 παρὰ] περὶ M, an κατά? 7 ἡ addidi οὖν ex νῦν A 9 ἢ τὴν ἠθικὴν om. M 13 διαφοραῖς] ἀναφοραῖς M 14 περιόντων A ante emend. et M ποιήσει corruptum videtur: fortasse πολήσει? 15 τὰ ante κυρίως om. M 19 βούλωνται A^1 22 φθάνειν *pervenire* (cf. PLUT. *Mor.* 338 a) 28 ὀπαδοί M ἔσπειρε, ex Platone intell. ὁ δημιουργός 30 τὴν ψυχὴν ex τῇ ψυχῇ A

[104] ὥσπερ εἰ λόγου χάριν ἡ λῆξις τῆς ψυχῆς ἄχρι φιλοσοφίας ἦν, ἠδύνατο ἡ ψυχή, καὶ μὴ βίον ἑλομένη φιλόσοφον ἀλλὰ ἄλλον τινά, ἐνεργῆσαί τι *41 r* καὶ ἐν ἐκείνῳ τῷ βίῳ φιλόσοφον. | Λέγονται δὲ εἶναί τινες καὶ ὑπερκόσμιοι ψυχαί. Πῶς μὲν οὖν ἡ ψυχὴ ἐνθουσιᾷ, εἴρηται. Πῶς δὲ καὶ ἄγαλμα λέγεται ἐνθουσιᾶν; Ἢ αὐτὸ μὲν οὐκ ἐνεργεῖ περὶ τὸ θεῖον, ὅ γε ἄψυχόν ἐστιν, ἀλλὰ τὴν ὕλην ἡ τελεστικὴ διακαθήρασα καί τινας χαρακτῆρας καὶ σύμβολα περιθεῖσα τῷ ἀγάλματι πρῶτον μὲν ἔμψυχον αὐτὸ διὰ τούτων ἐποίησε καὶ <οἷόν τε> ζωήν τινα ἐκ τοῦ κόσμου καταδέξασθαι, ἔπειτα μετὰ τοῦτο ἐλλαμφθῆναι παρὰ τοῦ θείου αὐτὸ παρεσκεύασεν· ὅπερ ἄγαλμά ἀεὶ χρηματίζει ἕως δύνανται δέχεσθαι οἱ ἐπιτήδειοι· τὸ μὲν γὰρ ἄγαλμα |
p. 105 ὡς ἂν τελεσθῇ μένει ἐφεξῆς ἕως ἂν πάντη ἀνεπιτήδειον γένηται πρὸς τὴν θεῶν ἔλλαμψιν· ὁ μέντοι δοχεὺς παρὰ μέρος· νῦν μὲν γὰρ δεξάμενος ἀποπαύεται, αὖθις δὲ πάλιν ἐμφορεῖται· τὸ δὲ αἴτιον ὅτι ἡ μὲν ψυχὴ ἐμφορουμένη αὐτὴ ἐνεργεῖ περὶ τὸ θεῖον, διὸ ἀποκάμνει ὑπὲρ τὴν ἑαυτῆς δύναμιν ἐνεργοῦσα (ἦ γὰρ ἂν ἦν θεὸς καὶ ὁμοία ταῖς τῶν ἄστρων ψυχαῖς, εἰ μὴ ἀπέκαμνε), τὸ δὲ ἄγαλμα ὡς ἂν πάθῃ οὕτω μένει ἐλλαμπόμενον, διὸ καὶ ἡ ἀνεπιτηδειότης αὐτοῦ εἰς στέρησιν παντελῆ χωρεῖ, ἐὰν μὴ πάλιν ἐκ νέας ὑπὸ τοῦ τελεστοῦ τελεσθῇ καὶ ἐμψυχωθῇ.

Ὅτι μὲν οὖν περὶ τὸ ἓν τῆς ψυχῆς γίνεται ὁ κυρίως ἐνθουσιασμὸς καὶ ὅτι ἐπίπνοια καὶ ἔλλαμψίς ἐστι τῶν θεῶν, ἱκανῶς εἴρηται. Ἐφεξῆς δὲ περὶ τῆς τάξεως καὶ τῆς χρείας τῶν τεσσάρων μανιῶν διαλάβωμεν, καὶ διὰ τί τούτων μόνων ὁ φιλόσοφος ἐμνημόνευσεν. Ἆρα ὡς μὴ οὐσῶν ἑτέρων, ἢ καὶ ταύταις ἀρκούμενος εἰς τὸ προκείμενον; Ὅτι μὲν οὖν εἰσι καὶ ἄλλαι κατοκωχαὶ καὶ μανίαι καὶ αὐτὸς μὲν προιὼν ἐνδείξεται· καὶ ἐν τοῖς φθάσασι δὲ ἐμνημόνευσεν εἰπών « μὴ νυμφόληπτος γένωμαι »· εἰσὶ δὲ καὶ πανόληπτοι καὶ μητρόληπτοι καὶ κορυβαντισμοί, ὧν καὶ αὐτὸς ἀλλαχοῦ μνημονεύσει· μόνας δὲ ἐνταῦθα ταύτας τὰς τέσσαρας παραδέδωκε, πρῶτον μὲν ὅτι καὶ μόναι αὗται ἀρκοῦσι τῇ ψυχῇ εἰς τὴν οἰκείαν ἀποκατάστασιν, ὡς ἑξῆς εἰσόμεθα, ἔπειτα ὅτι καὶ τὰς προσεχῶς ἐπιβεβηκυίας τῇ ψυχῇ παραδίδωσι. Πολλαὶ μὲν γὰρ εἰς ἅπαντα τὰ ὄντα καὶ ἀπερίληπτοι τῶν θεῶν αἱ δόσεις· νυνὶ δὲ τὰς πρὸς τὰς ψυχὰς τῶν θεῶν ἐνεργείας παραδίδωσι· παραδίδωσι δὲ καὶ τὰς τέσσαρας ταύτας μανίας οὐχ ὡς οὐχὶ καὶ μιᾶς αὐτῶν

24 ἐν τοῖς φθάσασι 238 D 26 ἀλλαχοῦ e. g. *Ion.* 533 (cf. *Conviv.* 215 E al.)

TIT 4 ἀπορία. λύσις A 20 περὶ μουσικῆς, τελεστικῆς, μαντικῆς, ἐρωτικῆς C

NC 1 fort. ἠδύνατο <ἂν> 4 πῶς] πῇ M ἐνθουσιᾶν A ἄγαλμα scripsi : ἀγάλματα libri 5 οὐκ ἐνεργεῖ] ἐνεργεῖ οὐ M 8 οἷόν τε addidi sensus causa 12 θεῶν] θείαν M 17 παντελῆ] πανταχῇ M 18 τελεστοῦ EM : τελετοῦ A 20 τῶν θεῶν A[2] : τοῦ θεοῦ A[1]M 22 μόνων] μόνον M 23 εἰς] πρὸς M

[105] ἀρκούσης, καὶ μάλιστα τῆς ἐρωτικῆς, εἰς τὸ περιαγαγεῖν τὴν ψυχήν, ἀλλ' ἡ κατὰ τάξιν καὶ βαθμὸν αὐτῶν σειρὰ καὶ ἡ ἐν τάξει τελειότης τῆς ψυχῆς παραδίδοται νῦν. Ὥσπερ οὖν τὸν τυραννικὸν δυνατὸν μὲν καὶ ἀθρόον μεταβάλλοντα προθυμίᾳ τε συντόνῳ καὶ θείᾳ μοίρᾳ χρώμενον ἀριστοκρατικὸν γενέσθαι, ἀλλ' ἥ γε κατὰ βαθμὸν αὐτοῦ ἄνοδος ἀπὸ τοῦ τυραννικοῦ ἐστιν εἰς δημοκρατικόν, καὶ ἀπὸ τούτου εἰς ὀλιγαρχικόν, εἶτα εἰς τιμοκρατικόν, καὶ τελευταῖον εἰς ἀριστοκρατικόν, ἀνάπαλιν δὲ ἡ κάθοδος καὶ ἀπόπτωσις, οὕτω δὴ καὶ ἐνταῦθα μέλλουσα ἀνιέναι καὶ ἀποκαταστῆναι ἡ ψυχὴ πρῶτον μὲν τῇ μουσικῇ μανίᾳ κατέχεται, εἶτα τῇ τελεστικῇ, εἶτα τῇ μαντικῇ, καὶ τελευταῖον τῇ ἐρωτικῇ, ὡς προιόντες γνωσόμεθα. Συμπνέουσι δὲ ἀλλήλαις καὶ δέονται ἀλλήλων αὗται αἱ τέσσαρες κατοκωχαί, <καὶ> οὕτω πολλή τίς ἐστιν αὐτῶν ἡ κοινωνία· ἡ μὲν γὰρ τελεστικὴ δεῖται τῆς μουσικῆς, τὰ πολλὰ γὰρ τῶν κατὰ τὴν τελεστικὴν μαντικὴν ὑπαγορεύει· καὶ πάλιν αὖ ἡ μαντικὴ τῆς τελεστικῆς προσδεῖται, ἡ γὰρ τελεστικὴ τελεῖ καὶ καθιδρύει τὰ μαντεῖα· ἥ τε αὖ μαντικὴ τῇ ποιητικῇ καὶ μουσικῇ προσχρῆται, ἔμμετρα γὰρ ὡς ἔπος εἰπεῖν ἀεὶ φθέγγονται οἱ μάντεις· ἥ τε μουσικὴ πάλιν προσχρῆται τῇ μαντικῇ αὐτοφυῶς ὡς αὐτός φησι. Θεῖον γὰρ οὖν καὶ τὸ ποιητικὸν ἐνθεαστικὸν ὂν γένος χρησμῳδοῦν πολλῶν τῶν κατ' ἀλήθειαν σύν τισι Μούσαις καὶ Χάρισιν ἐφάπτεται ἑκάστοτε. Περὶ δὲ τῆς ἐρωτικῆς καὶ μουσικῆς τί δεῖ καὶ λέγειν; σχεδὸν γὰρ οἱ αὐτοὶ τήν τε μουσικὴν καὶ τὴν ἐρωτικὴν ἤσκησαν, ὡς ἄνευ ἀλλήλων εἶναι μὴ δυναμένων, ὥσπερ δὴ Σαπφώ τε καὶ Ἀνακρέων καὶ οἱ ὅμοιοι. Πρόδηλον δὲ ὅτι καὶ ἡ ἐρωτικὴ πάσαις συμβάλλεται, ὅπου οὐ μόνον ταύταις ἀλλὰ γὰρ ἅπαξ καὶ ἁπλῶς παντὶ ἐνθουσιασμῷ· οὐδένα γὰρ ἐνθουσιασμὸν ἄνευ τῆς ἐρωτικῆς ἐπιπνοίας συμβαίνει γίνεσθαι. Ὁρᾷς πῶς Ὀρφεὺς πάσας ἐπιτηδεύσας φαίνεται ὡς δεομένας καὶ ἐχομένας ἀλλήλων· τελεστικώτατον μὲν γὰρ αὐτὸν καὶ μαντικώτατον παρειλήφαμεν καὶ ὑπὸ τοῦ Ἀπόλλωνος κινούμενον, ἔτι ποιητικώτατον ὄν γε
f°42r° δι' αὐτὸ τοῦτο καὶ Καλλιόπης | υἱὸν γενέσθαι φασίν· ἐρωτικώτατός τέ ἐστιν ὡς αὐτὸς λέγων φαίνεται πρὸς τὸν Μουσαῖον καὶ προτείνων αὐτῷ τὰ θεῖα ἀγαθὰ καὶ τελειῶν αὐτόν. Πάσαις οὖν ὤφθη ἡμῖν οὗτος ὁ ἀνὴρ κατασχεθεὶς
p. 106 ταῖς μανίαις· καὶ ἀναγκαίως δὲ | τοῦτο συμβαίνει· πολλὴ γὰρ ἕνωσις καὶ σύμπνοια τούτων τῶν θεῶν πρὸς ἀλλήλους τῶν ἐφόρων τούτων τῶν μανιῶν, καὶ πολλὴ οἰκειότης πρὸς ἑαυτούς ἐστι Μουσῶν, Διονύσου, Ἀπόλλωνος, Ἔρωτος.

17 φησί : vocem αὐτοφυῶς invenies *Gorg.* 513 B et *Leg.* I 642 C
24 οὐδένα — 30 αὐτόν jam ediderat Gesner in *Orphicis* (fr. 275 Abel)
28 in Suida s. v. Ὀρφεύς dicitur filius Oeagrii et Calliopes

NC 1 ἀλλ' ἢ A 3-4 μεταβαλόντα A[1] 4 ἀριστοκρατικῶς M 10 ὡς om. M. 11 καὶ addidi 13 ὑπαγορεύει μαντικήν M 14 καθιδρεύει M 17 αὐτὸς φησὶ A 18 ἐνθουσιαστικὸν M 19 δὲ scripsi : γὰρ libri 20 δεῖ] δὴ A[1] 23 παντὶ om. M 25 Ὀρφεὺς] ὁ Σωκράτης A (sed linea transversa deducta superscripsit eadem manus ὀρφεύς) : ὁ Ὀρφεὺς Gesner

106] Τίς οὖν ἑκάστη τῶν μανιῶν λοιπὸν δεῖ διαλαβεῖν. Πρότερον δὲ διαστειλώμεθα ὅτι ἄλλαι μέν εἰσιν αἱ ἔνδον καὶ ἐπ' αὐτῆς τῆς ψυχῆς ὁρώμεναι καὶ αὐτὴν τὴν ψυχὴν τελειοῦσαι, ἄλλαι δὲ αἱ ἔξω αὐτῆς ἐνέργειαι καὶ τὸν ἔξω ἄνθρωπον καὶ τὴν φύσιν ἡμῶν σῴζουσαι. Ἀναλογίαν δὲ ἔχουσιν αἱ ἔξω τέσσαρες πρὸς τὰς ἔνδον τέσσαρας. Λάβωμεν οὖν πρότερον τὰς ἔνδον καὶ ἐπ' αὐτῆς τῆς ψυχῆς μόνας, καὶ ἴδωμεν τί δρῶσιν εἰς τὴν ψυχήν· καὶ ἵνα τοῦτο σαφὲς γένηται καὶ ἐν τάξει ληφθῶσιν, ἄνωθεν τὴν κάθοδον καὶ πτερόρρυσιν, ὡς αὐτός φησι, τῆς ψυχῆς θεωρήσωμεν. Ἐξ ἀρχῆς μὲν οὖν καὶ πρῶτον ἥνωτο τοῖς θεοῖς ἡ ψυχή, καὶ τὸ ἓν αὐτῆς ἐκεῖνο συνῆπτο τοῖς θεοῖς. Εἶτα ἀποστᾶσα ταύτης τῆς θείας ἑνώσεως κατῆλθεν εἰς νοῦν καὶ οὐκέτι ἡνωμένως καὶ ἐν ἑνὶ εἶχε τὰ ὄντα, ἀλλὰ ἁπλαῖς ἐπιβολαῖς καὶ οἷον θίξεσι τοῦ νοῦ αὐτῆς αὐτὰ ἤθρει καὶ ἑώρα. Ἔπειτα καὶ τοῦ νοῦ ἀποστᾶσα καὶ εἰς λογισμὸν καὶ διάνοιαν κατελθοῦσα, οὐκέτι οὐδὲ ἁπλαῖς ἐπιβολαῖς αὐτὰ ᾕρει, ἀλλὰ συλλογιστικῶς καὶ μεταβατικῶς καὶ ἄλλο ἐξ ἄλλου, ἀπὸ προτάσεων ἐπὶ συμπεράσματα ἐρχομένη. Ἔπειτα καὶ τοῦ καθαροῦ λογισμοῦ ἀποστᾶσα καὶ τοῦ ψυχικοῦ ἰδιώματος, κατῆλθεν εἰς γένεσιν καὶ πολλῆς τῆς ἀλογίας καὶ τῆς ταραχῆς ἀνεπλήσθη. Δεῖ οὖν αὐτὴν πάλιν ἐπὶ τὰς οἰκείας ἀρχὰς ἀναδραμεῖν, καὶ ὅθεν κατῆλθεν ἐκεῖ πάλιν ἀνελθεῖν· εἰς δὴ τὴν ἄνοδον ταύτην καὶ ἀποκατάστασιν συμβάλλονται αὐτῇ αἱ τέσσαρες αὗται μανίαι· τὸ <γὰρ> τεταραγμένον τῶν μερῶν αὐτῆς καὶ εἰς ἀοριστίαν καὶ εἰς ἀναρμοστίαν ὑπενεχθὲν καὶ πολλῆς ταραχῆς ἀναπλησθὲν εἰς συμφωνίαν καὶ ἁρμονίαν ἄγει ἡ μουσική· ἡ δὲ τελεστικὴ τελέαν καὶ ὁλόκληρον ποιεῖ τὴν ψυχὴν καὶ νοερῶς ἐνεργεῖν παρασκευάζει. Ἡ μὲν γὰρ μουσικὴ μόνα τὰ μόρια ἁρμόζει καὶ καταστέλλει, ἡ δὲ τελεστικὴ ὅλην αὐτὴν ποιεῖ ἐνεργεῖν καὶ ὁλόκληρον παρασκευάζει· ὥστε καὶ τὸ νοερὸν αὐτῆς ἐνεργεῖν· Κατελθοῦσα γὰρ ἡ ψυχὴ συντεθραυσμένη καὶ παρειμένη ἔοικε, καὶ ὁ μὲν ταὐτοῦ κύκλος πεπέδηται, τουτέστι τὸ νοερὸν αὐτῆς, ὁ δὲ θατέρου πολλὰς κλάσεις καὶ στροφὰς ὑπομένει, τουτέστι τὸ δοξαστικόν· μερικῶς οὖν καὶ οὐ κατὰ πᾶσαν ἑαυτὴν ἐνεργεῖ. Ἡ οὖν Διονυσιακὴ κατοκωχὴ μετὰ τὴν τῶν μερῶν συναρμονίαν τελέαν αὐτὴν ἀπεργάζεται καὶ ποιεῖ κατὰ πᾶσαν ἑαυτὴν ἐνεργεῖν καὶ νοερῶς ζῆν· ἡ δὲ Ἀπολλωνιακὴ πάσας τὰς πεπληθυσμένας αὐτῆς δυνάμεις καὶ πᾶσαν αὐτὴν ἐπὶ τὸ ἓν αὐτῆς ἐπιστρέφει καὶ συνεγείρει (διὸ καὶ Ἀπόλλων εἴρηται ὡς ἀπὸ τῶν πολλῶν ἐπὶ τὸ ἓν ἐπανάγων τὴν ψυχήν)·

8 φησι 246 C, 248 C 26 ταὐτοῦ — θατέρου cf. *Tim.* 36-37 33 aliud Plato *Crat.* 405 D sed cf. *Anon. Vit. Plat.* (ap. Westermann *Biogr.* 389, 49) Ἀπόλλων γὰρ δηλοῖ ὁ κεχωρισμένος τῶν πολλῶν· τὸ γὰρ απ στερητικόν ἐστι μόριον: citius igitur α pro απ reposuit Westermann

NC 1 διαστελλώμεθα M 3 pro αὐτῆς potius in A[a] legeris αὐτῶν 6 μόνας] μόνης M 7 καὶ ἐν <ᾗ> τάξει Ast 14 ᾕρει] ἤθρει M cf. l. 12 16 ψυχικοῦ] λυτικοῦ M : ὑλικοῦ E 18 ἀνελθεῖν] ἀναδραμεῖν M ex præcedentibus 19 καὶ αἱ τέσσαρες M 20 γὰρ addidi 22 τελείαν M 24 fort. ὅλην αὐτὴν ποιεῖ καὶ ὁλόκληρον καὶ ἐνεργεῖν παρασκευάζει cf. 22 29 τῶν om. A 30 τελείαν M

[106] ἡ δὲ Ἐρωτικὴ λοιπὸν ἡνωμένην παραλαβοῦσα τὴν ψυχὴν τοῦτο τὸ ἓν τῆς ψυχῆς τοῖς θεοῖς καὶ τῷ νοητῷ κάλλει συνάπτει. Ὁρῶνται μὲν οὖν ὅπερ εἴπομεν ἐν ἑκάστῃ καὶ αἱ λοιπαὶ, ἀλλὰ κατὰ τὸ ἐπικρατοῦν ἑκάστη λέγεται· τριῶν γὰρ ὄντων τούτων αὐτῶν τῶν θεῶν τῶν διδόντων <καὶ> τῶν δόσεων αὐτῶν καὶ τριττῶν τῶν μεταλαμβανόντων, ἐπειδὴ τὰ διδόντα ἥνωται καθ' ὑπερβολὴν καὶ ἐν ἀλλήλοις ἐστὶ, διὰ τοῦτο καὶ αἱ δόσεις μετέχουσι καὶ κοινωνοῦσιν ἀλλήλων, καὶ τὸ ὑποδεχόμενον ὅ ἐστιν ἡ ψυχὴ πρὸς πάσας ἐπιτηδείως ἔχει τὰς δόσεις. Λάβοις δ' ἂν καὶ ἄλλως ἐκ διαιρέσεως τὰς τέσσαρας μανίας· ἐπεὶ γὰρ ἡ ὁλότης τριχῶς, ἢ ὡς ἐν τῷ μέρει ἢ ὡς ἐκ τῶν μερῶν ἢ ὡς πρὸ μερῶν (ἔστι γὰρ μερικῶς τὸ ὅλον, ὥσπερ ὁ ἄνθρωπος μικρὸς κόσμος λέγεται μέρος ὢν τοῦ κόσμου, καὶ ὁ μερικὸς νοῦς πάντα ἔχει τὰ εἴδη ὅσα ὁ παντέλειος· ἔστι δὲ καὶ τὸ ἐκ τῶν μερῶν ὅλον, ὥσπερ ὁ κόσμος ὁ αἰσθητὸς ἐκ πάντων ἐστὶ τῶν μερῶν αὐτοῦ· ἔστι δὲ τὸ ὅλον τὸ πρὸ τῶν μερῶν, ὡς τὸ ἐν τῇ φύσει ἢ τῇ ψυχῇ τῇ ὅλῃ ἢ τῷ νῷ εἶδος τοῦ κόσμου, καὶ ἐν τῇ ψυχῇ τοῦ τεχνίτου τὸ εἶδος τῆς οἰκίας), τοῦ μὲν ὅλου τοῦ ὡς μέρους συναρμοστικαί εἰσιν αἱ Μοῦσαι καὶ ἡ μουσικὴ μανία, τοῦ δ' ὅλου τοῦ ἐκ τῶν μερῶν ὁ Διόνυσος καὶ ἡ τελεστικὴ, τοῦ p. 107 δ' ὅλου τοῦ πρὸ τῶν μερῶν ὁ Ἀπόλλων καὶ ἡ μαντική· | ὁ δὲ Ἔρως ἐπὶ πᾶσι τοῦτο τὸ ἓν τῆς ψυχῆς καὶ αὐτὴν τὴν ψυχὴν τοῖς θεοῖς ἐνιδρύει, καὶ τοῦτο ἔστιν ἔργον τῆς ἐρωτικῆς, συνάψαι τὴν ψυχὴν τοῖς θεοῖς καὶ τῷ ἀφράστῳ αὐτῶν κάλλει. Λάβοις δ' ἂν καὶ ἐκ τῶν ἀριθμῶν αὐτῶν τὴν τάξιν· τὴν μὲν γὰρ μονάδα Ἀπόλλωνι ἀνιεροῦσι διὰ τὸ ἑνιαῖον αὐτοῦ τῆς ἐνεργείας, ὡς καὶ ἡ μονὰς ἑνιαίως πάντας ἔχει τοὺς ἀριθμούς· τὴν δὲ τριάδα τῷ Διονύσῳ ὡς τελείαν, ἀρχὴν καὶ μέσα καὶ τέλος ἔχουσαν, ὥσπερ καὶ ὁ Διόνυσος τελέαν ποιεῖ τὴν ψυχήν· ταῖς δὲ Μούσαις τὸν ἐννέα, διότι πάσας τὰς ἁρμονίας καὶ τὰς σχέσεις ἔχει ἐν ἑαυτῷ, ἐπεὶ καὶ πᾶσα ἡ πρόοδος τῶν ἀριθμῶν εἰς τὸν ἐννέα περαιοῦται (διὸ καὶ ἔννεον αὐτὴν ἐκάλουν), καὶ f°42 v° ὁρᾷς ὅτι ἡ μὲν μονὰς ὡς πρώτη | τὸν τρία τέλειον ποιεῖ, ὁ δὲ τρία τὸν ἐννέα, πρὸ δὲ τῆς μονάδος λάβοις ἂν τὸ ἓν ἀνάλογον τῷ ἔρωτι καὶ τἀγαθῷ, οὗ πάντ' ἐφίεται· εἰς γὰρ τὸ ἓν τὸ τῶν θεῶν ἀνάγει πάντα ὁ Ἔρως. Καὶ τὴν τετράδα δὲ κατ' ἄλλας ἐπιβολὰς τῷ Διονύσῳ ἀνατιθέασι διὰ τὸ πρώτην πάσας ἔχειν τὰς ἁρμονίας (ἐπίτριτον $\overline{\delta\gamma}$', ἡμιόλιον $\overline{\gamma\beta}$', [τὸν] διπλάσιον

11 λέγεται a Neo-Pythagoricis : cf. *Vita Pythag.* in Phot. cod. 249
27 ἐκάλουν : de hoc nihil inveni

NC 4 τῶν ante διδόντων om. M καὶ addidi 5 τριττῶν] τρίτων A 8 δ' om. M 9 ἐπεὶ] ἐπειδὴ M 11 μικρὸς] μερικὸς M 15 καὶ scripsi : ὡς libri οἰκίας] οἰκείας M (jam correxerat Ast) 19 ἐνιδρύει] ἐνεδρεύει M (jam correxerat Ast) 23 ἔχει πάντας M 25 τελείαν M 26 ἁρμονίας] ἐνεργείας M 27 ἔννεον] ἐννεὸν M : quid sit nescio αὐτὴν] αὐτὸν M 28 τὸν τρία τέλειον] τὴν τριάδα τελείαν M ὁ δὲ τρία] ἡ δὲ τριὰς M 29 τἀγαθῷ] ἀγαθῷ M 31 τὴν τετράδα] τήν τε τριάδα M : τήν τε τετράδα Ast 32 et 91, 1 τὸν ter seclusi διπλάσιον] διπλασίονα A[a]

[107] δβ', [τὸν] τριπλάσιον γα', [τὸν] τετραπλάσιον δα'· τουτέστι διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν, διὰ πέντε καὶ διὰ πασῶν, διὰ δὶς διὰ πασῶν), καὶ διὰ τὸ περιέχεσθαι δὲ καὶ τοὺς ἀριθμοὺς πάντας ἐν ἑαυτῇ· ῥίζα γὰρ πάντων τῶν ἀριθμῶν ἡ τετρὰς διὰ τὸ κατ' ἐπισύνθεσιν τῆς μονάδος ἄχρις αὐτῆς ἀποτελεῖσθαι τὸν δέκα, τὸν δὲ δέκα πάντα εἶναι τὸν ἀριθμὸν καὶ ὅλως τετρόμματον καὶ τετραπρόσωπον αὐτὸν ἡ θεολογία καλεῖ. — Λάβοις δ' ἂν τῶν ἐνθουσιασμῶν τούτων εἰκόνας καὶ ἐκ τῶν λογικῶν θεωρημάτων· τῇ μὲν γὰρ μουσικῇ ἀνάλογον λήψῃ τὴν ὁριστικήν, ἥτις τὸν ἄνθρωπον καὶ τὸν ὁρισμὸν αὐτοῦ συναρμόζει ἐκ ζῴου καὶ θνητοῦ καὶ ἀποτελεῖ τὸ εἶδος αὐτοῦ· τῇ δὲ τελεστικῇ τὴν διαιρετικὴν καὶ ἀναλυτικήν, ἥτις διὰ τῶν ὑπαλλήλων γενῶν ἀναπέμπει ἐπὶ τὸ γενικώτατον· τῇ δὲ Ἀπολλωνιακῇ καὶ μαντικῇ αὐτὸ τὸ γενικώτατον ὃ ἀπὸ τῶν πολλῶν εἰς τὸ ἓν τὸ ἑνικώτατον ἀφῖκται. Λάβοις δ' ἂν καὶ πάντων τῶν δέκα γενικωτάτην τὴν ἐπὶ τὸ ὂν τὸ κοινῶς πάντων κατηγορούμενον ἀντὶ τῆς ἐρωτικῆς· πάντα γὰρ ἐπὶ τὸ ἀγαθὸν καὶ ὁ Ἔρως ἀνάγει.

Αὕτη μὲν οὖν ἡ τάξις καὶ αἱ ἔνδον ἐν αὐτῇ τῇ ψυχῇ τῶν τεσσάρων τούτων μανιῶν ἐνέργειαι καὶ δυνάμεις. Λάβωμεν δὴ καὶ τὰς ἐκτὸς αὐτῶν εἰς τὸν ἄνθρωπον ἐνεργείας καὶ ἃ ἀποτελοῦσιν ἔξω περὶ ἡμᾶς. Ἡ μὲν οὖν μουσικὴ ἐμμέτρως τε φθέγγεσθαι ποιεῖ καὶ πράττειν καὶ κινεῖσθαι εὐρύθμως καὶ τὰ κατορθώματα τῶν θείων ἀνδρῶν καὶ τὰς ἀρετὰς καὶ τὰ ἐπιτηδεύματα αὐτῶν ἐμμέτρως ᾄδειν, καὶ διὰ τούτων παιδεύειν τὸν βίον, ὥσπερ δὴ καὶ ἔνδον συνήρμοζεν ἡμῶν τὰ μέρη τῆς ψυχῆς. Ἡ δὲ τελεστικὴ πᾶν τὸ ἀλλότριον καὶ μολυσματῶδες καὶ βλαβερὸν ἀποδιώκουσα, τέλεον ἡμῶν καὶ ἀβλαβῆ τὸν βίον τηρεῖ, καὶ τὰς μανίας καὶ δαιμονιώδεις φαντασίας †ἀποδιώκουσα, ὑγιεῖς καὶ ὁλοκλήρους καὶ τελείους ἡμᾶς ποιεῖ, ὥσπερ δὴ καὶ τὴν ἔνδον ψυχὴν τελέαν καὶ ὁλόκληρον ἐποίει. Ἡ δὲ μαντικὴ ἑνιαίως συναιρεῖ τὸ ἐκτεταμένον καὶ ἄπειρον τοῦ χρόνου, καὶ ὡς ἐν ἑνὶ παρόντι τῷ νῦν τὰ πάντα ὁρᾷ τά τε παρεληλυθότα <καὶ> τὰ ἐνεστῶτα καὶ τὰ μέλλοντα· διὸ προλέγουσα τὰ ἐσόμενα, ἅπερ αὐτὴ ὡς παρόντα ὁρᾷ, ἄπταιστον ἡμῶν ποιεῖ διοδεύειν τὸν βίον· ὥσπερ δὴ καὶ ἔνδον πάσας τὰς πεπληθυσμένας καὶ

6 ἡ θεολογία : fragm. orphicum adhuc ineditum; vox τετρόμματον vel τετρώμματον abest a lexicis.

NC 2 καὶ post πέντε om. M frustra hæc omnia tentavit Ast cum non intellexisset de musica hic agi : verum vidit Ruelle δὶς διὰ τεσσάρων πασῶν scripserat A, sed τεσσάρων statim delevit 5 πάντα] παντελῆ? 6 τετρόμματον] τετρώμματον M : τετράμματον E 9 θνητοῦ mirum mihi videtur : nam nusquam homo ζῷον θνητόν definitur 10 ὑπαλλήλων] ὑπ' ἀλλήλων M 12 τὸ ἓν om. M 13 γενικωτάτων A 14 κατηγορουμένην M 21 τούτων ex τοῦ A 22 τῆς bis scripsit A 24 τὴν μανίαν καὶ δαιμονιώδη φαντασίαν M ἀποδιώκουσα errore e præcedenti versu repetitum 26 τελείαν M 27 ἐντεταμένον M 28 καὶ addidi post προεληλυθότα τὰ μέλλοντα καὶ τὰ ἐνεστῶτα M 29 ἅπερ] ὅπερ M αὐτὴ] αὐτῇ M ὡς om. M ἡμῶν] ἡμῖν M 30 ποιεῖ D ex corr. M : ποιεῖν A

[107] πολλὰς ζωὰς καὶ δυνάμεις τῆς ψυχῆς ἐπὶ τὸ ἓν συναιρεῖ καὶ ἀνάγει, ἵνα μᾶλλον σῴζηται καὶ συνέχηται. Ἡ δὲ ἐρωτικὴ ἐπιστρέφει τοὺς νέους εἰς ἡμᾶς καὶ εἰς φιλίαν ἡμῶν ἄγει, παιδευτική τις οὖσα καὶ αὐτὴ τῶν νέων, καὶ ἀπὸ τοῦ αἰσθητοῦ κάλλους ἐπὶ τὸ ψυχικὸν ἡμῶν κάλλος συνάγουσα τοὺς νέους, καὶ ἀπὸ τούτου ἐπὶ τὸ νοητὸν ἀναπέμπουσα, ὥσπερ δὴ καὶ ἔνδον τὸ ἓν τῆς ψυχῆς τοῖς θεοῖς συνῆπτεν. — Ἠπόρησεν ὁ ἑταῖρος Πρόκλος πῶς, εἰ ἐκ διαιρέσεως λαμβάνονται αἱ μανίαι, δυνατὸν ἄλλην εἶναι παρὰ ταύτας. Πρὸς ὃ εἶπεν ὁ φιλόσοφος ὅτι, εἰ καὶ ἐκ διαιρέσεως λαμβάνονται, οὐδὲν κωλύει, μᾶλλον δὲ καὶ ἀναγκαῖον, ἕκαστον αὐτῶν ὑπὸ πολλῶν κεῖσθαι
p. 108 θεῶν, κατ' | ἄλλας μέντοι καὶ ἄλλας ἐπιβολάς. Πῶς δέ, φησί, τὴν τελεστικὴν ἀεὶ προτάττοντες πασῶν τῶν παρ' ἡμῖν ἐπιτηδεύσεων, καὶ αὐτῆς <τῆς> φιλοσοφίας τῆς ἀνθρωπικῆς ὑπερτέραν αὐτὴν λέγοντες, νῦν καὶ μαντικῆς καὶ ἐρωτικῆς ποιοῦμεν καταδεεστέραν; Ἦ πρῶτον μὲν ἐν τοῖς τοῦ ἀνθρωπίνου βίου πράγμασιν αὐτὴν προτάττομεν, ἀλλ' οὐχὶ καὶ ἐν τοῖς τῆς ψυχῆς αὐτῆς καθ' αὑτήν. Ἀλλὰ διὰ τί μὴ ὡς ἔνδον ἔχει, οὕτω καὶ ἔξω; καὶ γὰρ ἐλέγομεν εἶναι ἀναλογίαν τοῖς ἔνδον πρὸς τὰ ἔξω. Ἢ ἔστι μὲν ὅπῃ ἔχει τὴν πρὸς τὰ ἔνδον ἀναλογίαν, ἔστι δὲ ὅπῃ οὐκ ἔχει. Προτάττεται μὲν γὰρ πασῶν τῶν ἄλλων ἡ τελεστική, ὅτι δὴ καὶ τὰς ἄλλας πάσας συλλαβοῦσα ἔχει (καὶ γὰρ θεολογίαν καὶ φιλοσοφίαν σύμπασαν καὶ ἐρωτικὴν μέντοι· δεῖ γὰρ αὐτὴν σφόδρα ἐρωτικῶς ἐξῆφθαι αὐτῶν, ἵνα καὶ κατορθωθῇ), τὴν μέντοι ἐρωτικὴν τὴν ἔξω μόνην καθ' ἑαυτὴν ἀποδιαλαβόντες οὕτω θεωροῦμεν, καὶ ταύτῃ φαίνεται ἡμῖν καταδεεστέρα τῆς τελεστικῆς. Τῆς τελεστικῆς οὖν ἐὰν ἀποδιαλάβῃς τὰς ἄλλας, πολὺ αὐτὰς καταδεεστέρας αὐτῆς ὄψει. Οὐ δεῖ οὖν τὰς ἀναλογίας κατὰ πάντα παραβάλλειν, ἀλλὰ καθὸ μόνον παραλαμβάνονται· οἷον ὡς εἰ σχήματα παρα-
f° 43 r° λαμβά|νοιτο ἀνάλογον κατὰ τὰ ἐμβαδά, μηκέτι δὲ κατὰ τὰς περιμέτρους· οὐ γὰρ πάντως ἀκολουθήσει.

Αὗται μὲν οὖν πᾶσαι αἱ εἰρημέναι μανίαι κρείττους εἰσὶ τῆς σωφρονούσης ψυχῆς. Ἔστι μέντοι τις τῇ σωφροσύνῃ σύστοιχος μανία, ἣν καὶ κατά τι πλεονεκτεῖσθαι ὑπὸ τῆς σωφροσύνης ἐλέγομεν. Κατὰ γὰρ τοὺς μέσους λόγους τῆς ψυχῆς καὶ ἔτι τοὺς δοξαστικοὺς ἐπίπνοιαί τινες γίνονται, καθ' ἃς ὑπὲρ ἐλπίδα ἀποτελοῦσί τινα οἱ τεχνῖται καὶ θεωρήματα εὑρίσκουσιν, ὡς Ἀσκληπιὸς φέρε ἐν ἰατρικῇ καὶ Ἡρακλῆς ἐν πρακτικῇ.

6 Πρόκλος in commentario in *Phædrum* deperdito? 8 οἶμαι (εἶναι BC) Συριανὸν τὸν μέγαν φησί· οὗ μαθητὴς Πρόκλος (Πρόκλου BC) in margine ABC

TIT 6 ἀπορία ACDE

NC 7 εἶναι ἄλλην M 9 ἑκάστην? 12 τῆς addidi 15 τὶ] τὸ M ἔχει] ἔχειν M 18 πάσας ἄλλας M 20 καὶ om. M 21 κατορθωθῇ scripsi : κατορθώῃ libri 23 ἀπολάβῃς M 24 καὶ καταδεεστέρας M 26 ἔμβαδα M 27 πάντως] πάντα M 29 τις om. M τῆς σωφροσύνης M 33 πρακτικῇ] πυκτικῇ Aβτ

108| Τῷ θεωρητικωτέρῳ μὲν οὖν δόξει ἡ τεχνικὴ σωφροσύνη πλεονεκτεῖν· κατὰ μέντοι τὴν ἐμὴν κρίσιν τοῖς πᾶσι δοκεῖ ἡ ἔνθους τέχνη κρατεῖν. Ἀλλὰ τί οἱ μὲν ἄλλοι ἐνθουσιασμοὶ πρὸς ὀλίγον γίνονται χρόνον, οἱ δὲ κατὰ τὰς τέχνας καὶ τὰς ἐπιστήμας διαρκεῖς εἰσιν; Ἢ, ὥσπερ ἐπὶ τοῦ ἀγάλματος ἐλέγομεν, ὅτι ἔχει τινὰς χαρακτῆρας καὶ σύμβολα ἅτινα ἔστ' ἂν σῴζηται ἡ πᾶσα τελετὴ ἀεὶ αὐτὸ ἐλλάμπεσθαι ποιεῖ, οὕτω δὴ καὶ ὁ τεχνίτης πρὸς τῇ ἄλλῃ ἐπιτηδειότητι ἔχει καὶ τὰ θεωρήματα, ἅτινα ὥσπερ σύμβολα ἐνόντα τῇ ψυχῇ ἀεὶ αὐτὴν ἐλλάμπεσθαι ποιεῖ· διὰ δὴ τοῦτο δεῖ τὰ θεωρήματα τῶν ἐπιστημῶν καὶ αὐτῆς τῆς μαντικῆς μελετᾶν, ἵν' ὦμεν ἐν προθύροις τῆς τῶν ἐφόρων θεῶν αὐτῶν ἐπιπνοίας. Ἐκεῖνο μέντοι ἡμᾶς μὴ ταράξῃ πῶς εἴρηται ὁ Διόνυσος τὸ ὅλον καὶ τέλεον ἡμῖν παρέχειν, καίτοι λεγόμενος τῆς διαιρέσεως καὶ τοῦ διῃρημένου νοῦ καὶ πάσης τῆς μερίστης δημιουργίας προστάτης; Ἢ ὥσπερ δὴ λέγεται ἡ ψυχὴ κατιέναι εἰς γένεσιν κατὰ πρόνοιαν καὶ ἀγαθοειδῆ αὐτῆς προαίρεσιν, κατελθοῦσα μέντοι ἐπὶ πλέον φιλοφρονεῖται τὴν γένεσιν, καὶ διὰ τοῦτο αὐτῇ κακὸν λέγεται εἶναι ἡ κάθοδος, καίτοι οὐχ ἁπλῶς οὖσα κακόν, οὕτω δὴ καὶ τὴν κατ' οὐσίαν διαίρεσιν, τουτέστι τὴν ἑτερότητα τὴν πρὸς τὰς ἄλλας ψυχάς, ὑπὸ τοῦ Διονύσου λαβοῦσα καὶ ὑποστᾶσα, ἐπὶ πλέον ἑαυτὴν διαιρεῖ καὶ μερικωτέραν ποιεῖ, ὥστε μηκέτι κατὰ πάσας αὐτῆς τὰς δυνάμεις ἐνεργεῖν· τὸ ὅλον οὖν καὶ τέλεον λέγεται τότε παρὰ τοῦ Διονύσου λαμβάνειν, τουτέστι τὴν κατ' οὐσίαν αὐτῆς ὁλότητα ἀπολαμβάνειν καὶ ὑγιὴς γίνεσθαι. Σῴζεται οὖν ἡμῖν ἅμα καὶ τὸ διαιρέσεως εἶναι ἡμῶν τὸν θεὸν αἴτιον καὶ τὸ ὅλους πάλιν καὶ τελέους καὶ ὁλοκλήρους παρ' αὐτοῦ γίνεσθαι.

β'. Ἥ τε γὰρ δὴ ἐν Δέλφοις προφῆτις] 244 Λ.

Τεσσάρων, ὡς εἴρηται, παραδιδομένων ἐνταῦθα μανιῶν τῶν κρειττόνων τῆς σωφροσύνης, πρώτου μέμνηται τοῦ μαντικοῦ..., διὰ τὸ ἐκφανῆ αὐτὰ εἶναι ἐν Ἑλλάδι. Λέγει δὲ αὐτῶν νῦν τὰς ἔξω ἐνεργείας ἃ περιποιοῦσιν ἀγαθὰ τοῖς ἀνθρώποις. — Περὶ δὲ τοῦ Δωδωναίου μαντείου διάφορά εἰσι τὰ ἱστορούμενα. Ἔστι μὲν γὰρ παλαιότατον τῶν Ἑλληνικῶν μαντείων· λέγουσι δὲ οἳ μὲν ὅτι δρῦς ἦν ἐκεῖ ἡ μαντεύουσα, οἳ δὲ ὅτι περιστεραί.
p. 109 Τὸ δὲ ἀληθὲς | ὅτι γυναῖκες ἦσαν ἱέρειαι αἱ μαντεύουσαι δρυὶ τὴν κεφαλὴν

28 Περὶ — 94, 4 Ἀπόλλωνος = schol. 244 B (p. 269 Herm.)

TIT 28 περὶ τοῦ Δωδωναίου μαντείου C (qui μαντίου)

NC 4 τὰς ante ἐπιστήμας om. M 7 ἅτινα — 8 θεωρήματα om. M 11 τέλειον M λεγόμενος] λέγομεν M 19 ὥστε καὶ M 20 τέλειον M 21 γίγνεσθαι M 22 τὸ ante διαιρέσεως scripsi : τοῦ libri τὸ scripsi : τοὺς libri 23 τελείους M 24 ἣ rubr. A 25 τεττάρων M 26 vocem αὐτὰ nihil est cui referas : supple καὶ δυοῖν μαντείων μνημονεύει τοῦ τε ἐν Δελφοῖς καὶ τοῦ Δωδωναίου vel similia 28 δὲ om. schol. 29 ἔστι — μαντείων om. schol. 30 οἳ μὲν] οἱ μὲν ex ἡ μὲν et οἱ δὲ ex ἡ δὲ, ut videtur, A prim. manu

[109] στεφόμεναι, αἵτινες ἐκαλοῦντο πελειάδες· ἴσως οὖν ἀπὸ τοῦ ὀνόματός τινες πλανηθέντες ὑπώπτευσαν εἶναι περιστερὰς τὰς μαντευούσας· ἐπειδὴ δὲ καὶ τὴν κεφαλὴν δρυῒ κατεστέφοντο, ἴσως διὰ τοῦτο εἰρήκασι καὶ τὴν δρῦν μαντεύειν. Ἔστι δὲ Διὸς τὸ μαντεῖον, τὸ δὲ ἐν Δελφοῖς Ἀπόλλωνος. Εἰκότως οὖν ἀμφότερα παρέλαβεν ὡς συγγενῆ τὰ μαντεῖα. Καὶ γὰρ ὁ Ἀπόλλων ὑπουργὸς λέγεται εἶναι τῆς τοῦ Διὸς δημιουργίας, καὶ πολλάκις εἰ ἔδοξεν αὐτοῖς ἀσαφὴς εἶναι ὁ τοῦ Δωδωναίου χρησμός, ἀπήεσαν εἰς τὸ ἐν Δελφοῖς, χρησόμενοι τί βούλεται ὁ τοῦ Διὸς χρησμός, καὶ πολλοὺς αὐτῶν ἐξήγησατο πολλάκις ὁ Ἀπόλλων. — Ἐνθουσιῶσαι μὲν οὖν καὶ μαντευόμεναι αἱ ἱέρειαι πολλὰ εὐηργέτουν τοὺς ἀνθρώπους προλέγουσαι τὰ μέλλοντα καὶ προδιορθούμεναι, σωφρονοῦσαι δὲ ὅμοιαι ἦσαν ταῖς ἄλλαις γυναιξίν. Οὕτως οὐχ ἁπλῶς μανία κακόν ἐστιν, ἀλλά τι κρεῖττον τῆς σωφροσύνης καὶ πολλῶν ἀγαθῶν τοῖς ἀνθρώποις αἴτιον. Ἀλλὰ διὰ τί πολλάκις δοκοῦσαι μηδὲν σεμνὸν ἔχειν ἐν τῷ βίῳ τῷ ἄλλῳ αἱ γυναῖκες ἐνεφοροῦντο; Ἢ ἡμεῖς μὲν ἐπὶ σμικρὸν βλέπομεν, εἰς τοῦτον μόνον αὐτῶν ἀποβλέποντες τὸν βίον, οἱ δὲ θεοὶ καὶ τὰς προβιοτὰς εἰδότες καὶ τὰς περιόδους τῶν ψυχῶν, τοῦτο αὐταῖς νῦν ἀπεκλήρωσαν τὸ γέρας.

Περὶ δὲ τῆς Σιβύλλης οὕτως ἐστὶ θαυμαστὰ τὰ λεγόμενα, ὥστε δόξαι μύθους εἶναι. Πολλαὶ μέντοι Σιβύλλαι γεγόνασι, πᾶσαι τὸν μαντικὸν ἑλόμεναι βίον. Πᾶσαι μέντοι διά τινα ἴσως αἰτίαν εἵλοντο Σιβύλλαι προσαγορεύεσθαι, ὥσπερ δὴ ὁ Τρισμέγιστος Ἑρμῆς λέγεται πλεονάκις ἐπιδημήσας τῇ Αἰγύπτῳ ἑαυτοῦ ἀνεμνῆσθαι καὶ τρίτον κεκλῆσθαι Ἑρμῆς. Καὶ τρεῖς δὲ λέγονται Ὀρφεῖς παρὰ Θρᾳξὶ γενέσθαι. Ἴσως οὖν καὶ αὗται κατά τινα κοινωνίαν καὶ ἀνάμνησιν εἵλοντο ταύτας τὰς προσηγορίας, ἐπεὶ αὕτη γε ἡ Σιβύλλα ἡ Ἐρυθραία περὶ ἧς νῦν λέγει Ἐριφύλη ἐκαλεῖτο ἐξ ἀρχῆς. Λέγουσι δὲ αὐτὴν εὐθὺς προελθοῦσαν προσειπεῖν ἐξ ὀνόματος ἕκαστον καὶ ἔμμετρα φθέγξασθαι καὶ εἰς βραχὺν χρόνον τέλειον εἶδος ἀνθρώπου
f° 43 v° λαβεῖν|. — Τρία δέ ἐστιν ἐπιχειρήματα ἀφ' ὧν κατασκευάζει ὅτι ἡ μανία ἀγαθὸν καὶ κρεῖττον σωφροσύνης· ἓν μὲν ἀπὸ τῆς οὐσίας, καθὸ ἐκ θεῶν ἐνδίδοται, πᾶν δὲ τὸ παρὰ θεῶν διδόμενον μέγιστόν ἐστι τῶν ἀγαθῶν, τοῦτο δὲ αὐτοῦ καὶ οὐσία· δεύτερον δὲ ἀπὸ τῆς ἐνεργείας, ὅτι πολλὰ ἀγαθὰ τὴν Ἑλλάδα ἡ τοιαύτη μανία εἰργάσατο· τρίτον ἀπὸ τοῦ ὀνόματος ὅτι οἱ παλαιοὶ καὶ ἔνδοξοι ὀνοματοθέται τὸ μέγιστον τῶν ἐπιτηδευμάτων, τουτέστι τὴν μαντικήν, τῷ τῆς μανίας ὀνόματι προσηγόρευσαν, μανικὴν προσαγορεύσαντες τὴν νῦν λεγομένην παρ' ἡμῶν

22 καὶ τρεῖς — 23 γενέσθαι jam edid. GESNER *Orphica* (HERMANN *Orph.* I, 505, fr. ined. 2) ex P 26 λέγουσι κτλ. cf. schol. 244 B (p. 270 Herm.)

NC 1 τινες om. schol. τινὲς A 3 τῇ κεφαλῇ M (jam correxerat AST) 4 μαντεύειν] μαντεύεσθαι A[1] 13 post πολλῶν, sed in margine, καὶ μεγίστων addidit A[1] 18 τὰ om. M 19 Σιβύλλαι sic ibi, 20 et 25 libri 21 δὴ om. M 22 τρεῖς] τρὶς M (τρεῖς GESNER) 24 γε om. M αὐτή γε A 28 ἐστι M 31 καὶ ἡ οὐσία M 34 προσηγόρευται A[a] 35 pro μανικὴν et 95, 1 μαντικήν lege μανίαν et μαντείαν ut sequentia intellegantur

[109] μαντικήν· ὅπερ ὄνομα [τὸ τῆς μανίας] ἐμπλέξαντες εἰς τὸ τῆς τέχνης ὄνομα μανικὴν τὴν τέχνην ἐκάλεσαν· οἱ [παλαιοὶ] δὲ μεταγενέστεροι ὑπὸ ἀπειροκαλίας προσέθεσαν τὸ τ̄ στοιχεῖον, φοβηθέντες τὸ τῆς μανίας ὄνομα. Καὶ κυρίως τῷ ἀπειροκάλως ἐχρήσατο· αὐτὸ γὰρ τὸ καλὸν ἔχοντες ὄνομα τὸ τῆς μανίας, ἀπειρίᾳ τοῦ καλοῦ ἠγνόησαν τὸ καλὸν τοῦ ὀνόματος. Ὅτι δὲ οἱ παλαιοὶ τὴν θείαν μαντικὴν μανικὴν ἐκάλουν, καὶ ἐκ τοῦ ἀντικειμένου δῆλον γίνεται· τὴν γὰρ τῶν ἐμφρόνων, φησί, ζήτησιν τοῦ μέλλοντος, τουτέστι τὴν ἀνθρωπίνην πᾶσαν μαντικὴν τὴν στοχαστικήν, ἥτις κατὰ τὴν ἡμετέραν φρόνησιν ἡμῶν ἐνεργούντων καὶ ζητούντων γίνεται (οἷαί εἰσιν αὗται αἱ διὰ σημείων, ὡς ἀστεροσκοπία, οἰωνοσκοπία ἡ νῦν λεγομένη, ἡ διὰ τῶν οἰωνῶν καὶ ὄρνεων, σπλαγχνοσκοπία, συμβολική, καὶ αἱ ὅμοιαι), ἐπειδὴ ἐκ τῶν τριῶν τούτων συνεκροτήθησαν, οἰήσεως, νοῦ, ἱστορίας (ἔχουσι γὰρ τὸ μέν τι ἐκ τῆς ἡμετέρας οἰήσεως καὶ στοχασμοῦ, παρὸ καὶ ἀποτυχίαι γίνονται πολλάκις, τὸ δέ τι ἀπὸ τοῦ νοῦ, ἀδύνατον γὰρ ἄνευ τοῦ καθόλου τέχνην συστῆναι, τὸ δέ τι καὶ ἀπὸ ἱστορίας ἔχουσι, τουτέστι πείρας, ὥσπερ δὴ καὶ ποιοῦσιν οἱ τὰς|
p. 110 πείρας ἀναγράψαντες), τὰ τρία ταῦτα οἱ παλαιοὶ ὀνόματα οἴησιν καὶ νοῦν καὶ ἱστορίαν ἐντείναντες εἰς ἓν ὄνομα, οἰονοϊστικὴν αὐτὴν προσηγόρευσαν, πᾶσαν στοχαστικὴν καὶ ἀνθρωπικὴν τέχνην οἰονοϊστικὴν προσαγορεύσαντες, ἀπὸ μὲν τοῦ οἰο τὴν οἴησιν δηλοῦντες, ἀπὸ δὲ τοῦ νο τὸν νοῦν, ἀπὸ δέ τοῦ ιστικην τὴν ἱστορίαν σημαίνοντες· ἥντινα οἰονοϊστικὴν τὸ ο̄ μεταβάλλοντες εἰς τὸ ω̄, ὡς εἰς ὀγκοειδέστερον καὶ μακρότερον στοιχεῖον καὶ μεγαλοφωνότερον, οἰωνιστικὴν προσηγόρευσαν πᾶσαν ἀνθρωπίνην καὶ στοχαστικὴν μαντείαν. Ἐκ δὴ τῆς τῶν παλαιῶν μαρτυρίας τοσούτῳ ἐστιν ὑπερτέρα ἡ μανία ἡ ἐκ θεῶν διδομένη τῆς ἀνθρωπικῆς σωφροσύνης καὶ στοχαστικῆς μαντείας, ὅσῳ ἐστὶ καὶ τὸ ὄνομα τοῦ ὀνόματος ὑπέρτερον τὸ τῆς μαντικῆς <τοῦ> τῆς οἰωνιστικῆς, καὶ τὸ ἔργον τὸ ἐκ τῆς μανίας ἀποτελούμενον τοῦ ἔργου τοῦ ἐκ τῆς οἰωνιστικῆς ἐγγινομένου. — Θαυμάσειε δ' ἄν τις τοῦ φιλοσόφου τὴν εὐγνωμοσύνην, ὅπως οὐδὲν πλέον ἐν τοῖς συμπεράσμασι λαμβάνει, ἀλλ' αὐτὸ τὸ ἐκ τῶν ὡμολογημένων συναγόμενον ἄντικρυς κατὰ τὴν γεωμετρικὴν δικαιοσύνην.

4 κυρίως — 6 ὀνόματος = schol. 244 C (p. 270 Herm.)

NC 1 τὸ — μανίας seclusi εἰς prius omissum 2 παλαιοὶ seclusi 3 ἀπειροκακίας M (jam correxerat Ast) 4 ἀπείρως M. (jam correxerat Ast) αὐτὸ] αὐτοῦ schol. 5 τὸ καλὸν] καλῶς schol. ἔχοντες] ἔχοντος schol. ὄνομα τὸ] τοῦ ὀνόματος schol. 7 τοῦ] τούτου M ὀμφρόνων Ast errore typothetæ 10 αὐταὶ libri ἀστροσκοπία M 11 ἡ ante διὰ om. M ὀρνέων libri 17 οἴησιν νοῦν M 20 μὲν] μέντοι M 23 ὠωνιστικὴν A 25 τοσούτῳ] τοσούτων M (jam correxerat Ast) 27 τοῦ addidi

[110] γʹ. Ἀλλὰ μὴν νόσων γε καὶ πόνων τῶν μεγίστων] 244 D.

Μεταβέβηκεν ἀπὸ τῆς μαντικῆς ἐπὶ τὴν τελεστικὴν μανίαν, ἥντινά φησιν ἀπαλλάττειν τῶν μεγίστων κακῶν καὶ τὸν καθ' ἕκαστον ἡμῶν καὶ γένη ὅλα καὶ πόλεις, ἵν' ὥσπερ ἡ ἔνδον τελεστικὴ τελέαν ἡμῶν ἐποίει τὴν ψυχὴν καὶ ὁλόκληρον, ὥστε κατὰ πάσας τὰς δυνάμεις αὐτὴν ἐνεργεῖν, οὕτω δὴ καὶ ἡ ἔξω τελεστική, ἀπαλλάττουσα ἡμῶν τὴν ψυχὴν καὶ τὸ σῶμα καὶ
f° 44 r° τὰ ἐκτὸς τῶν ἐνοχλούντων | δυσχερῶν εὔροιαν ἡμῖν καὶ εὐδαιμονίαν παρασκευάσῃ κατὰ τὸν βίον. — Ἀλλὰ πῶς λόγον ἔχει τὸ ἐκγόνους ὑπὲρ προγόνων δίκας διδόναι; ἢ μάλιστα μὲν καὶ διεδέξαντο τὰς ἐκείνων κτήσεις, καὶ χρυσὸν καὶ ἄργυρον, ἐξ ἀδικιῶν πολλάκις συναχθείσας, ὃ καὶ ἱκανὸν αὐτοῖς ἐπαγαγεῖν τὴν δίκην; ἔπειτα δὲ καὶ συμπάσχουσιν αἱ τῶν προγόνων ψυχαὶ ταῖς τῶν ἀπογόνων, περιστατικῶς ἀναστρεφομέναις, οὐδὲ τούτων ἀναξίως ὑπομενόντων τὰς δίκας· συνάγεται γὰρ ὁ ἄξιος τοῦ τάδε παθεῖν εἰς τὸ τοιόνδε γένος, τῆς προνοίας ἐξῃρημένως καὶ τῆς θείας δὲ φύσεως καὶ τῶν μοιρηγετῶν θεῶν συνδιαπλεκόντων πάντα ἐν τάξει καὶ κατὰ δίκην.

Ἔπειτα δὲ καὶ μία τις συνέχεια ὁρᾶται τοῦ γένους· ὥσπερ γὰρ τῶν σπερμάτων καὶ τῶν φυσικῶν λόγων γίνεταί τις κοινωνία, οὕτω δὴ καὶ τῶν τοιῶνδε ψυχῶν καὶ γενῶν καὶ τῶν τούτοις ἑπομένων ἀγαθῶν ἢ κακῶν. Ὥσπερ γὰρ εἰ ἡμεῖς κοιμώμενοι ἐπελανθανόμεθα τῆς προτέρας ζωῆς τῆς χθὲς γενομένης, ἔδοξαν ἂν ἡμῖν πολλοὶ βίοι εἶναι ἐν ἑνὶ ἀνθρωπίνῳ βίῳ, συνεχοῦς οὔσης τῆς ζωῆς ἐν τοῖς ἑβδομήκοντα ἢ ὀγδοήκοντα τούτοις ἔτεσιν, οὕτω δὴ καὶ ἐν τῷ γένει τῷδε ἐστί τις συνέχεια ἣν ἡμεῖς μὲν οὐχ ὁρῶμεν, οἱ μέντοι μοιρηγέται θεοὶ καὶ οἱ τὰ γένη κληρωσάμενοι δαίμονες... Ὥσπερ οὖν ἐν ἑνὶ βίῳ τήνδε τὴν νόσον ὁ ἰατρὸς οὐκ εὐθὺς χειρουργίᾳ θεραπεύει, ἀλλὰ περιμένει ἄχρις οὗ ἐπιτήδειος γένηται ὁ πάσχων ὑπομεῖναι τὴν χειρουργίαν, οὕτω καὶ ἐν τῷ γένει ποιοῦσιν οἱ ἔφοροι τοῦ γένους δαίμονες, ὡς καὶ Ἡρόδοτος ἱστορεῖ, ὅτι μετὰ πέντε γενεὰς ἐξέτισαν οἱ τοῦ Λυδοῦ ἀπόγονοι τὴν δίκην. — Τὸ δὲ παλαιῶν ἐκ μηνιμάτων ὅτι τὰ πολυχρόνια τῶν ἁμαρτημάτων δυσεκνιπτότερά εἰσιν, ἃ καὶ τελεστικῆς μόνης δεῖται εἰς κάθαρσιν, τὰ δὲ ὀλιγοχρονιώτερα εὐιατώτερα· Ὥσπερ δὴ καὶ ἐπὶ ἰατρικῆς ὁρῶμεν, ὀλιγοχρονίων μὲν γὰρ ὄντων τῶν παθῶν καὶ εὐθὺς ἀρξαμένων, ἐὰν ἐπιμελεῖσθαί τις ἄρξηται ἑαυτοῦ, ῥᾷον ἀπαλλάττεται, πολυχρονίων δὲ γενομένων δυσχερέστερον, οἷον γὰρ εἰς φύσιν καὶ ἕξιν καθίσταται τὸ κακὸν καὶ γίνεται ὥσπερ οὐλὴ ἐνσκιρρωθεῖσα· οὕτως οὖν καὶ ἐπὶ τῶν ἀδικημάτων, ἐὰν μὲν αὐτὸς ὁ ἁμαρτὼν εὐθὺς μεταγνῷ καὶ προσ-

27 I 13

NC 1 ἀλλὰ, ἀ rubr. A 4 τελείαν M 7-8 παρασκευάζει M 15 μοιρηγενετῶν libri 21 τῆς ζωῆς τῆς A 22 μὲν om. M μοιρηγενέται libri: cf. 15 23 ἴσως λείπει ἐνταῦθά τι E in margine 30 δὴ] δὲ A[a] 31 γὰρ om. M 32 ἑαυτοῦ] αὐτοῦ M 33 οἷον γὰρ δεῖ εἰς M 35 ἐὰν μὲν οὖν ὁ αὐτὸς M

[110] ελθὼν ἀπολογήσηται τῷ ἀδικηθέντι, ἀναλύει τὸ ἀδίκημα καὶ ἀνυπεύθυνον p. 111 ἑαυτὸν ποιεῖ τῇ δίκῃ, ὅταν δὲ πατρός | τις ἀδίκημα ἀναλύῃ, ὃν ἥρπασεν ἐκεῖνος ἀγρὸν φέρε ἀποδιδούς, ἑαυτόν τε ἀνυπεύθυνον ποιεῖ τῇ δίκῃ, τήν τε ψυχὴν τοῦ πρώτως ἁρπάσαντος ἐπικουφίζει καὶ ὠφελεῖ (ταῦτα δὲ καὶ ἡ τελεστικὴ θᾶττον ἰᾶται), ἐὰν μέντοι ἀπὸ προγόνων ἁρπάσας τύχῃ τὸν ἀγρὸν καὶ ἐφεξῆς ὅλον τὸ γένος χρήσηται, πρῶτον μὲν ἄδηλον λοιπὸν γίνεται τὸ ἀδίκημα καὶ ταύτῃ δυσιατώτερον, ἔπειτα δὲ καὶ ὁ χρόνος ὥσπερ φυσιοῖ τὸ κακόν. Διὰ δὴ τοῦτο πολλάκις οἱ θεοὶ προφητεύουσι καὶ εἰς τούσδε τοὺς τόπους ἀπελθεῖν καὶ ἀπολογήσασθαι τῷδε τῷ ἀνθρώπῳ, ᾧ μηδέποτε γνώριμος γέγονε, καὶ ἐξευμενίσασθαι τόνδε, ἵν' οὕτως ἰάσεως τύχῃ καὶ ἀποθῆται τὰ δυσχερῆ καὶ παύσηται ποινηλατούμενος. Προφητεύουσι δὲ οἱ θεοὶ οὐχ ἵνα τὴν δίκην ἀνέλωσιν, ἀλλ' ἵνα τὰ τῆς δίκης γένηται καὶ ἡμεῖς ἐπανορθώμεθα.

Ἡ τελεστικὴ οὖν, ᾧ ἂν ἐγγένηται αὐτόν τε ἀνορθοῖ τὸν ἔχοντα τὴν μανίαν, καὶ δι' αὐτοῦ καὶ ἄλλους πολλοὺς σῴζει· ὥσπερ δὴ καὶ ἐπὶ ἐκείνου λέγεται τοῦ τεμόντος τὴν δρῦν καὶ παρακαλουμένου ὑπὸ τῆς Νύμφης μὴ τεμεῖν, ὅμως οὐκ ἐφείσατο, ἀλλ' ἔτεμε καὶ ἔμεινε ποινηλατούμενος καὶ τῶν ἀναγκαίων τροφῶν δεόμενος, καὶ εἴ ποτε καὶ ἐνέπιπτέ <τι> αὐτῷ εὐθὺς ἐξεφορεῖτο ἄχρις οὗ ὁ τελεστὴς αὐτῷ εἶπε βωμὸν ἱδρύσασθαι καὶ θῦσαι τῇδε τῇ Νύμφῃ· καὶ οὕτως ἐπαύσατο τῶν συμφορῶν. Ἄλλῳ δὲ μητροκτονήσαντι εἶπεν ὁ θεὸς ζητῆσαι ἄλλην γῆν παρὰ τὴν οὖσαν καὶ ἐκεῖ οἰκῆσαι, ὁ δὲ, νῆσον ἀναδοθεῖσαν ὑπὸ τοῦ ποταμοῦ συμβαλὼν δηλοῦσθαι, ἀπελθὼν ᾤκησε, καὶ ἐπαύσατο ποινηλατούμενος. Καλῶς δὲ προέταξε τοὺς καθαρμοὺς τῶν τελετῶν· οἱ μὲν γὰρ ἀπαλλάττουσιν ἡμᾶς τῶν ἀλλοτρίων, αἱ δὲ τελεταὶ λοιπὸν ἐνιδρύουσι, καὶ θεοῖς. Ἐξάντη δὲ λέγει ἀντὶ τοῦ καθαρὸν καὶ ἐξ ἐναντίας, ᾗ διέκειτο πάλαι ποινηλατούμενος, ἀντὶ τοῦ ὑγιῆ καὶ ἔξω ἄτης· τὸ δὲ ν̄ ἔγκειται δι' εὐστομίαν.

δ'. Τρίτη δὲ ἀπὸ Μουσῶν] 245 A.

Τρίτην ταύτην τὴν μουσικὴν μανίαν παραδίδωσιν, ἥτις τὰ τῶν παλαιῶν ἔργα ὑμνοῦσα καὶ ἀρετὰς καὶ ἐπιτηδεύματα διὰ μέτρων ἐντείνασα, παιδεύει τὸν βίον. Μὴ θαυμάσῃς δὲ, εἰ ἐνταῦθα παιδευτικὴν εἶναί φησι τὴν ποιη-

16 λέγεται : nihil de hoc scio 20 ἄλλῳ : nihil de hoc scio 25 ἐξάντη — 27 εὐστομίαν jam edidit RUHNKEN ad *Tim.* p. 79 ex P 27 cf. TIM. *Lex.* ἐξάντη· τὸ ν̄ ἔγκειται δι' εὐστομίαν· ἀντὶ τοῦ ὑγιῆ καὶ ἔξω ἄτης : eadem ap. SUIDAM

TIT 15 ζήτει τὴν ἱστορίαν C

NC 1 ἀπολογήσηται] ὁμολογήσηται M 3 ἀποδοὺς M 8 φυσιεῖ AE 10 ἐξευμενίζεσθαι M 11 ἀπόθηται libri 16 τέμνοντος (?) 17 ἐφείσατο | ἐφύσατο M (jam correxerat AST) 18 ἐνέπιπτέ <τι> scripsi : ἐνέπιπτεν A : ἀνέπιπτεν M 21 καὶ om. M 23 προσέταξε M 28 τρίτη, τρ rubr. A 29 παλαιῶν] πολλῶν M 30 ἔργα om. M

[111] τικήν, ἀλλαχοῦ αὐτὴν ἐκβάλλων· τὴν μὲν γὰρ ἔνθουν ποιητικὴν προσίεται, f°44v° τὴν δὲ ἐξ ἀνθρώπων τεχνικὴν | παραιτεῖται. Κάτοχοι μὲν οὖν εἰσιν, οὓς εἰώθαμεν καὶ δοχέας καλεῖν, καὶ κατοκωχὴ ἡ τῷ θεῷ κατασχεθεῖσα. Ἁπάλην δὲ λέγει τὴν εὔπλαστον καὶ εὐπαθῶς ἔχουσαν πρὸς ὑποδοχὴν τοῦ θείου· ἄβατον δὲ τὴν μὴ διαστραφεῖσαν ἀπὸ ἀλλοτρίων δοξασμάτων καὶ ἀναπλησθεῖσαν ἀνθρωπικῆς φλυαρίας. — Ἐγείρουσα δὲ ἀντὶ τοῦ ἀπὸ τοῦ σώματος κουφίζουσα καὶ τῷ θείῳ προσάγουσα. — Τὸ δὲ ἐκβακχεύουσα μὴ ταράξῃ ἡμᾶς ὡς Διονυσιακὸν ὄνομα· καὶ γὰρ ἐπιπλέκονται ἀλλήλοις οἱ ἐνθουσιασμοί· εἴποις δ' ἂν καὶ τοῦτο ὅτι ἐξηρτῆσθαι ἀλλήλων βούλεται τοὺς ἐνθουσιασμούς, τὸν μὲν τελεστικὸν τοῦ μαντικοῦ, τὸν δὲ μουσικὸν τοῦ τελεστικοῦ· διὸ καὶ τοῖς οἰκείοις τῶν ἐπαναβεβηκότων ὀνόμασι χρῆται ἐπὶ τῶν ἐφεξῆς· διὸ ἐπὶ τῆς τελεστικῆς εἶπεν. — Ἡ μανία ἐγγενομένη καὶ προφητεύσασα· τὸ γὰρ προφητεύσασα ὄνομα οἰκεῖον τῆς μαντικῆς· πάλιν δ' αὖ ἐπὶ τῆς μουσικῆς εἶπε τὸ ἐκβακχεύουσα, ὅ ἐστιν ἴδιον τῆς τελεστικῆς, οὕτως ἔχεσθαι ἀλλήλων βούλεται τοὺς ἐνθουσιασμούς.

Ἐρεῖ δὲ ἐν τοῖς ἑξῆς φανερῶς ὅτι ἡ τελεστικὴ παρὰ Διονύσου δέδοται. — Ὠιδὰς δὲ λέγει τὰ τῶν λυρικῶν συγγράμματα· τὴν δὲ ἄλλην ποίησιν ἐποποιίαν καὶ ἰαμβοποιίαν καὶ τἆλλα εἴδη τῆς ποιήσεως, ἣ καὶ [ὡς] Ἀριστοτέλης διαιρεῖ ἐν τῷ Περὶ ποιητικῆς.

ε'. Μυρία τῶν παλαιῶν ἔργα κοσμοῦσα] 245 A.

Ἡ μὲν ἔνδον ἐν τῇ ψυχῇ ἐνέργεια τῆς ποιητικῆς μανίας ἐπιβάλλουσα τοῖς ὑπερτέροις καὶ νοητοῖς μεταδίδωσι τοῖς καταδεεστέροις ἁρμονίας καὶ τάξεως· ἡ δὲ ἔξω ἔνθους ποιητικὴ τά τε τῶν παλαιῶν ἔργα ὑμνεῖ τούς p. 112 τε ἐφ' ἑαυ|τῆς καὶ μεταγενεστέρους παιδεύει, πανταχῇ ἑαυτῆς ἐκτείνουσα τὰς ἐνεργείας. Καὶ ταῦτα μὲν οἱ ἔνθοι ποιηταί· ὃς δ' ἂν ἄνευ, φησίν, ἐνθέου μανίας τῶν Μουσῶν ἐκ τέχνης ἐλπίσῃ γενέσθαι ἔνθους ποιητής, ἀτελὴς αὐτός τε ἔσται τοῦτο οἰόμενος καὶ ἡ ποίησις αὐτοῦ κατακρατεῖται καὶ καλύπτεται ὑπὸ τῆς τῶν μαινομένων ποιήσεως. Τί γὰρ ὅμοιον ἡ Χοιρίλου καὶ Καλλιμάχου ποίησις πρὸς τὴν Ὁμήρου ἢ Πινδάρου; — Καλῶς δὲ εἶπεν ἐπὶ ποιητικὰς θύρας καὶ οὐχὶ Μουσῶν θύρας ἀφικνεῖσθαι τὸν ἐκ τῆς τέχνης ἀνθρωπίνης ποιητήν· τὴν ἀρχὴν γὰρ

1 ἀλλαχοῦ *Rep.* X 605 C 3 εἰώθαμεν : invenitur enim in oraculis, e. g. ap. Euseb. *Præp. evang.* 194 12 εἶπεν 244 D 16 ἑξῆς 265 B 19 I-III

TIT 25 ποίαν ποιητικὴν ὁ Πλάτων προσίεται C

NC 4 λέγει ψυχὴν A[a] 6 ἀναπλασθεῖσαν M (jam correxerat Ast) 12 διὸ καὶ ἐπὶ M 13 οἰκεῖον ὂν M 14 ἐκβακχεύουσα scripsi coll. l. 7 et Plat. : ἐκβακχεύσασα libri (sed A[a]) 16 ἑξῆς] ἐφεξῆς M 18 ἣ καὶ Ast : ἢ καὶ ὡς A : ἢ καὶ M 19 διαιρεῖ om. M 20 μυρία, μ rubr. A (qui δ' pro ε') 23 ἔνθεος libri 25 ἔνθεοι M 29 Χοιρίλλου libri (correxerat Ast)

[112] οὐδὲ πελάζουσι ταῖς τῶν Μουσῶν θύραις· οἱ μέντοι ἔνθοι ποιηταὶ μονονουχὶ τὰς θύρας τῶν Μουσῶν ἀράττουσι καὶ οὕτως ἐκεῖθεν πληροῦνται,

ἔσπετε νῦν μοι Μοῦσαι

βοῶντες, καὶ

μῆνιν ἄειδε θεὰ

καὶ

ἄνδρα μοι ἔννεπε Μοῦσα·

ἀεὶ γὰρ εἰς αὐτὰς ἀνατεινόμενοι τὸν ἑξῆς λόγον ὡς ἐκεῖθεν ἀπ' αὐτῶν τῶν Μουσῶν πληρωθέντες διατιθέασιν. — Ἐπισημαντέον δὲ τοῦτο καὶ ζητητέον πῶς εἰπὼν ἔνθουν μαντείαν καὶ ἀντεξετάσας αὐτῇ τὴν ἀνθρωπικὴν μαντείαν ἣν ἐκάλεσεν οἰωνιστικήν, καὶ πάλιν εἰπὼν ἔνθουν ποιητικὴν καὶ ἀντιπαραβαλὼν αὐτῇ πάλιν τὴν ἀνθρωπικὴν καὶ τεχνικὴν ποιητικήν, ἐπὶ τῆς τελεστικῆς τοῦτο οὐκ ἐποίησεν, ἀλλὰ μόνον τὴν ἔνθουν ἐξέθετο τελεστικήν. Καίτοι καὶ ἐκεῖ ἔστιν ἡ ὑποδυομένη ταύτην ἀνθρωπικὴ καὶ τεχνικὴ τελεστική, οἵᾳ χρῶνται καὶ οἱ ἱερεῖς περὶ τὰς θεραπείας τῶν ἀγαλμάτων νόμῳ πόλεως καὶ κατὰ τὰ οἰκεῖα πάτρια· καὶ αἱ ἐπῳδαὶ δὲ καὶ αἱ διὰ βοτανῶν ἢ λίθων θεραπεῖαι εἴησαν ἂν τῆς τεχνικῆς τελεστικῆς. Ἢ οὖν ὡς σαφὲς παρῆκε· πολὺ γὰρ τοῦτο ἐν ταῖς πόλεσιν, ἢ ὡς μηδὲν μέγα ἀνύουσαν, ἢ εἰ καὶ ἀνύει κατὰ τὸν ἐξ ἀρχῆς ἐνθουσιασμὸν ἀνύει· εἰκόνας γὰρ φέρουσιν αἱ ὑποδυόμεναι τῶν ἀληθινῶν αἰτιῶν.

ϛ'. Τοσαῦτα μέν σοι] 245 B.

Περὶ τριῶν μανιῶν εἰπὼν τῆς τε μαντικῆς καὶ τῆς τελεστικῆς καὶ τῆς μουσικῆς, περὶ τῆς ἐρωτικῆς ὑπερέθετο νῦν εἰπεῖν ὡς ἑξῆς ἐρῶν περὶ αὐτῆς· ἔδει γάρ τινα πρὸ αὐτῆς ἀποδειχθῆναι. Ἐπεὶ γὰρ ἡ ἐρωτικὴ εἰς τὸ νοητὸν βούλεται κάλλος ἀνάγειν τὴν ψυχήν, ἔδει πρότερον περὶ ψυχῆς ποιήσασθαι τὸν λόγον καὶ τῆς τῶν θείων ψυχῶν χορείας καὶ περὶ τῆς συμπεριπολήσεως τῶν τε ἄλλων καὶ τῶν ἡμετέρων ψυχῶν, καὶ πολὺ πρότερον περὶ τῆς ἀθανασίας αὐτῶν, ὃ καὶ ποιήσει ἑξῆς. Καὶ οὕτως ἐπάξει μετὰ ταῦτα· « ἔστι δὴ οὖν δεῦρο πᾶς ἥκων λόγος περὶ τῆς τετάρτης μανίας· » καὶ
f° 45 r° οὕτως | ἐφεξῆς ἐρεῖ περὶ τῆς ἐρωτικῆς. Διὰ ταῦτα μὲν οὖν ἀπεσιώπησε νῦν τὰ περὶ τῆς ἐρωτικῆς· δῆλος δ' ἐστὶν ἐν τούτοις ὁ Πλάτων εἰδὼς καὶ

3 Hom. B 484 5 Hom. A 1 7 Hom. α 1 11 ἐκάλεσεν 244 C 23 ἑξῆς 249 sqq. 28 ἑξῆς 245 C 249 D

NC 1 ἔνθεοι M 12 καὶ ποιητικὴν M 13 τῆς om. M 16 νόμῳ] νόμων M αἱ ante ἐπῳδαὶ om. M 19 εἰ om. M 20 αἰτιῶν scripsi : αἰτίων libri 21 τοσαῦτα, ϛ rubr. A μέν σοι] μέντοι Plat. cod. B 22 τοσαῦτα περὶ M 23 ὑπερέθετο] ὑπέθετο M 28 ἔστιν Plat. 29 <ὁ> πᾶς Plat.

[112] ἄλλους ἐνθουσιασμοὺς παρὰ τούτους τοὺς τέσσαρας· εἶπε γὰρ ἔχειν εἰπεῖν καὶ ἄλλα πλείω μανίας εἴδη γινόμενα ἀπὸ θεῶν. Τὸ δὲ ἐπ' ὠφελείᾳ τοῦ τε ἐρῶντος καὶ τοῦ ἐρωμένου γίνεσθαι τὴν φιλίαν οἰκεῖον τῆς θείας ἐρωτικῆς. Ὁ μὲν γὰρ Λυσίας ἀκολάστως ἐρῶν ἑαυτῷ μὲν δοκοῦσαν ὠφέλειαν περιποιεῖ, τῷ δὲ ἐρωμένῳ μεγίστην βλάβην· ὁ δὲ σώφρων ἔρως αὐτὸν τὸν ἔχοντα ὠφελεῖ· ὁ δὲ ἔνθους ἐραστὴς κοινὴν τὴν ὠφέλειαν ἑαυτῷ τε καὶ τῷ ἐρωμένῳ περιποιεῖ· εἰς ἑαυτὸν γὰρ ἐπιστρέφει τὸν ἐρώμενον καὶ ἅμα τὴν τοῦ νοητοῦ κάλλους θεωρίαν ποιοῦνται. Σημειωτέον δὲ παρὰ Πλάτωνι τὸ τῆς εὐτυχίας ὄνομα ὅτι δὴ οὐκ ἐπὶ τῶν ἐκτὸς ἀλλ' ἐπὶ τῶν ψυχικῶν ἀγαθῶν τὴν μεγίστην εὐτυχίαν τάττει. — Πάνυ δὲ θαυμαστῶς
p. 113 εἴρηται περὶ τῆς ὅλης ἀποδείξεως τῆς παλινῳδίας τὸ δεινοῖς μέν, | τουτέστι τοῖς ἐριστικοῖς, ἄπιστον αὐτὴν εἶναι, σοφοῖς δὲ πιστήν. Ἡ μὲν γάρ τις τῶν ἀποδείξεων χρῆται λήμμασι τοιούτοις ἅτινα πάντα ἄνδρα καὶ ἑκόντα καὶ ἄκοντα τὸ δὴ λεγόμενον καταναγκάσει πεισθῆναι, ὡς ἐρεῖ τὰ περὶ ἀθανασίας ψυχῆς, ἡ δέ τις χρῆται τοιούτοις λήμμασιν ἃ τοῖς μὲν λογικωτέροις καὶ ἐριστικοῖς τῶν διαλεκτικῶν καὶ παντὸς τοῦ λεγομένου λόγον ἀπαιτοῦσιν ἔσται ἄπιστα, τοῖς δὲ ἐπιστήμοσι καὶ ἐπιβλητικοῖς καὶ βραχείας μόνον ἀναμνήσεως δεομένοις παντὸς μᾶλλον ἔσται πιστά. Οὗτοι δέ εἰσι μὲν οἱ καὶ τὴν ἀθανασίαν τῆς ψυχῆς ἑαυτῶν ἑωρακότες, ταῦτα δέ ἐστι τὰ περὶ θεῶν. Τὰ μὲν οὖν περὶ ἀθανασίας ψυχῆς δι' ἀναμφισβητήτων ἀποδείξεων κατασκευάσει ἀπ' αὐτῆς τῆς οὐσίας τῆς ψυχῆς τὰς ἀποδείξεις φέρων· εἰς μέντοι τοὺς περὶ τοῦ Διὸς λόγους καὶ τῶν ἡγεμόνων θεῶν καὶ τῶν ἑπομένων τούτοις θεῶν καὶ δαιμόνων καὶ ψυχῶν τῶν τε θείων καὶ ἀνθρωπίνων καὶ εἰς τὴν θέαν τοῦ νοητοῦ κάλλους ἀνάγων τὴν ψυχὴν καὶ τὸν ὑπερουράνιον τόπον, οὐκέτι ἀξιοῖ αὐτὰ ἀποδεικνύναι, ἀλλ' ἀποφαντικῶς ἀποφαίνεται περὶ αὐτῶν, ἅτε δὴ τῷ ὄντι ἐνθουσιῶν. Διαλέξεται δὲ ἀποφαντικῶς καὶ περὶ τῶν ἐννέα βίων ὧν ἕνα αἱρεῖται ἡ ψυχὴ πρώτως ἐκ τοῦ νοητοῦ κατιοῦσα. Διὰ ταῦτα καὶ ἄλλα τοιαῦτα πολλὰ οὐκ ἀξιῶν χρῆσθαι ταῖς λογικωτέραις ἀποδείξεσιν, ἀλλ' αὐτοπτεῖν αὐτὴν ἐφ' ἑαυτῆς ἀξιῶν αὐτὰ τὴν ψυχήν, εἶπε τό « ἡ δὲ δὴ ἀπόδειξις ἔσται δεινοῖς μὲν ἄπιστος, σοφοῖς δὲ πιστή· δεῖ οὖν πρῶτον ψυχῆς φύσεως πέρι θείας τε καὶ ἀνθρωπίνης ἰδόντα πάθη τε καὶ ἔργα τἀληθὲς νοῆσαι. » Ἐπειδὴ γὰρ περὶ τῆς εἰς τὸ νοητὸν κάλλος ἀναγωγῆς ὁ λόγος καὶ ἀναγόντων καὶ ἀναγομένων ἐρώντων τε καὶ ἐρωμένων πληρούντων τε καὶ πληρουμένων,

24 247 C

NC 3 τε om. M γίγνεσθαι M 5 περιποιεῖ scripsi : περιέποι libri : περιέπει Ast : cf. 7, et 101, 26 8 ποιοῦνται] ποιοῦντα M σημειωτέον] σημαντέον M δὲ καὶ παρὰ M 10 ψυχικῶν] ψυχῶν M 11 τὸ δὲ δεινοῖς A ante emend. 12 et 15 ἡ] εἰ M 18 οὗτοι — 20 θεῶν : manca videtur esse sententia 20 τῶν θεῶν M 23 τῶν ante τε om. M καὶ ante εἰς om. M 27 ἐκ] ἀπὸ M 29 ἐφ'] ἀφ' M 34 τε post πληρούντων om. A

[113] καί εἰσιν οἱ μὲν ἀνάγοντες καὶ πληροῦντες οἱ θεοὶ καὶ πᾶσαι αἱ θεῖαι ψυχαὶ [πολὺ δὲ πρότερον καὶ αὐτοὶ οἱ θεοὶ καὶ πᾶσαι αἱ θεῖαι ψυχαὶ] ἀγγελικαί τε καὶ δαιμόνιαι καὶ ἡρωϊκαὶ ἐφιέμεναι τοῦ θείου κάλλους καὶ ἑπόμεναι τοῖς ἡγεμόσιν αὐτῶν, καὶ ὥς φησι πρώτῳ τῷ ἡγεμόνι Διί, αἱ δὲ ἀναγόμεναι ὡς ἐν ἐσχάτοις αἱ ἀνθρώπειαι ψυχαί, διὰ δὴ τοῦτο περὶ θείας ψυχῆς καὶ ἀνθρωπίνης τὸν λόγον ποιήσεται, δηλονότι τῆς λογικῆς. Ἤδη γὰρ ἐντεῦθεν οἷον πρὸ ἀποδείξεως ἐνδείκνυται ὅτι ἀθάνατος ἡμῶν ἡ ψυχὴ ἅτε συντα‍ττομένη ταῖς θείαις ψυχαῖς καὶ ἔχουσα πρὸς αὐτὰς κοινωνίαν. — Τὸ δὲ πάθη τε καὶ ἔργα, πάθη μὲν ἂν λέγοι περὶ τῆς ἡμετέρας ψυχῆς· ἐρεῖ γὰρ πῶς μὲν ἀνάγεται, πῶς δὲ πτερορρυεῖ πάλιν καὶ πίπτει εἰς γένεσιν· ἔργα δὲ ἐπὶ τῶν θείων ψυχῶν. — Τὸ δὲ τἀληθὲς νοῆσαι ἀντὶ τοῦ· τὴν ἀθανασίαν αὐτῆς ἰδεῖν· τοῦτο γὰρ οὐσία καὶ φύσις αὐτῆς ἐστι καὶ ἀλήθεια. — Ἀναγκαίως δὲ ἦλθεν εἰς τὸ τὴν ἀθανασίαν τῆς ψυχῆς κατασκευάσαι, οἷον κατὰ ἀνάλυσιν ἐπὶ τοῦτο ἐλθών, ὡς αὐτὸς ὕστερον ἐρεῖ. Ἔστι δὲ τοιάδε τις ἡ ἀνάλυσις. Ὁ ἔρως τῶν μεγίστων ἐστὶν ἀγαθῶν αἴτιος· μέγιστον δὲ τῶν ἀγαθῶν ἡ εὐδαιμονία· εὐδαιμονία δὲ ὁμοίωσις θεῷ· ὁμοιούμεθα δὲ θεῷ τῶν αὐτῶν ἐφαπτόμενοι· τῶν αὐτῶν δὲ ἐφαπτόμεθα τὸ νοητὸν κάλλος θεασάμενοι· ὁρῶμεν δὲ αὐτὸ ἀναμνησθέντες αὐτοῦ ἐνταῦθα ὄντες· ἀναμιμνήσκεται δὲ ὅ ποτε θεασάμενος· ἐθεασάμεθα δέ ποτε εἰ ἀθάνατος εἴη ἡμῶν ἡ ψυχή· ὥστε δεῖ τοῦτο αὐτὸ προηγουμένως ἀποδεῖξαι ὅτι ἀθάνατος ἡ ψυχή· ἐὰν γὰρ μὴ ᾖ ἀθάνατος, περιττοὶ πάντες καὶ μάταιοι οἱ ἑξῆς λόγοι. Ποῦ γὰρ καὶ ἀναχθήσεται θνητὴ οὖσα; Εἰ δέ ἐστιν ἀθάνατος, ἐθεάσατό ποτε, ὥστε καὶ ἀναμιμνήσκεται τοῦ νοητοῦ κάλλους· ὥστε τῶν αὐτῶν ἐφάπτεται τοῖς θεοῖς· ὁμοιοῦται ἄρα τούτοις· ὥστε εὐδαιμονεῖ καὶ μεγίστων ἀγαθῶν τυγχάνει. Ταῦτα δὴ αὐτῇ ὁ θεῖος καὶ ἀναγωγὸς ἔρως περιποιεῖ· διὸ τῷ κατὰ ἀνάλυσιν τρόπῳ πως χρώμενος ἦλθεν| f°45v° ἐπὶ τὸ τὴν ἀθανασίαν τῆς ψυχῆς πρῶτον κατασκευάσαι, τοῦτο δὲ δείξας συντίθησι πάντα τὰ ἐφεξῆς. — Συντομώτερον δ' ἂν οὕτως ἀναλύσαις· πρόκειται τῷ ἐνθέῳ ἐραστῇ ἐπὶ τὸ νοητὸν κάλλος καὶ ὄντως ὂν ἀναπέμψαι p. 114 τὸν ἐρώμενον· τοῦτο δ' ἂν ποιήσειεν, | εἰ ἀναμνήσειεν αὐτὸν ἐκείνου ἀπὸ τῶν τῇδε καλῶν· ἀναμιμνήσκει δὲ εἰ ἀθάνατον αὐτοῦ δείξει τὴν ψυχήν· καὶ γὰρ ἀναμιμνήσκεται ὅ ποτε θεασάμενος· ὁ γὰρ μηδέποτε θεασάμενος οὐδὲ ἀναμιμνήσκεται· ὥστε ἀναγκαίως πρῶτον περὶ ἀθανασίας ψυχῆς ποιήσεται τὸν λόγον· οὐ πάσης (οὐ γὰρ καὶ τῆς τοῦ μύρμηκος), ἀλλ' ὡς εἶπεν αὐτὸς θείας τε καὶ ἀνθρωπίνης.

4 φησι 246 E 14 ὕστερον, an *Theætetum* significat Hermias? 16 *Theæt.* 176 B

NC 1 θεῖαι om. M 2 πολὺ — ψυχαὶ seclusi 4 τῷ om. M 11 τἀληθὲς] ἀληθὲς M τὴν om. M 14 δέ τις M 25-26 ἀναγωγὸς] ἀναγωγεὺς M 27 τὸ om. M 30 εἰ ἀναμνήσειεν om. M : quamobrem Ast ἀναμιμνήσκων post καλῶν addebat; εἰ ἀναμνήσειεν ἂν A[1] (ἂν del. a, ut videtur) 31 δείξῃ M 34 τοῦ om. M

[114] ζ'. Ἀρχὴ δὲ ἀποδείξεως ἥδε] 245 C.

Οὐ τῆς πάσης ἁπλῶς ἀποδείξεως τῆς παλινῳδίας ἀρχὴ ἥδε (ἀνωτέρω γὰρ περὶ αὐτῆς εἶπε τῆς ἀρχῆς τῆς παλινῳδίας ὅτι δεινοῖς μὲν ἄπιστος, σοφοῖς δὲ πιστή), ἀλλὰ ἀρχὴ τῆς περὶ ἀθανασίας ψυχῆς ἀποδείξεως ἥδε. Οὐ τὸ συμπέρασμα οὖν λέγει ἀρχὴν ἀποδείξεως· πρῶτον μὲν γὰρ καὶ τὸ τέλος ἐστί πως ἀρχὴ τῶν πρὸς τὸ τέλος· ἀλλ' ἐνδείκνυται ὅτι ἐν αὐτῇ τῇ οὐσίᾳ τῆς ψυχῆς ἐστιν ἡ ἀθανασία; καὶ συνεσπειραμένως καὶ ἡνωμένως περιέχεται ἐν τῷ συμπεράσματι ἡ πᾶσα ἀπόδειξις.

η'. Ψυχὴ πᾶσα ἀθάνατος] 245 C.

Πρῶτον περὶ ποίας ψυχῆς ὁ λόγος ζητητέον. Οἱ μὲν γὰρ περὶ τῆς τοῦ κόσμου μόνης ᾠήθησαν εἶναι τὸν λόγον διὰ τὸ εἰρηκέναι αὐτὸν πᾶσα καὶ μετ' ὀλίγα ἐπάγειν « ἢ πάντα τε οὐρανὸν πᾶσάν τε γένεσιν ξυμπεσοῦσαν στῆναι· » ὧν ἐστι Ποσειδώνιος ὁ Στωϊκός. Οἱ δὲ περὶ πάσης ἁπλῶς καὶ τῆς τοῦ μύρμηκος καὶ μυίας, ὧν ἐστιν Ἁρποκρατίων· τὸ γὰρ πᾶσα ἐπὶ πάσης ψυχῆς ἀκούει. Εἰ δὲ δεῖ μήτε ἁπλῶς ἀποστενῶσαι τὸ πρόβλημα μήτ' ἐπὶ πάντα ἐκτείνειν ἁπλῶς τὰ ζῷα, ἀπ' αὐτοῦ τοῦ Πλάτωνος ληψόμεθα περὶ ποίας ψυχῆς νυνὶ διαλέγεται· προεῖπε δὴ αὐτὸς δεῖν πρῶτον ψυχῆς φύσεως πέρι διαλεχθῆναι θείας τε καὶ ἀνθρωπίνης, τουτέστι περὶ πάσης λογικῆς ψυχῆς· ὥστε περὶ τῆς λογικῆς ψυχῆς ἐστιν ὁ παρὼν λόγος. Καὶ γὰρ ἄλλως κυρίως ψυχὴν εἰώθασιν οἱ παλαιοὶ καλεῖν τὴν λογικήν· τό τε γὰρ ὑπὲρ αὐτὴν νοῦν καλοῦσι, τό τε καταδεέστερον αὐτῆς οὐχ ἁπλῶς ψυχήν, ἀλλ' ἄλογον ψυχὴν καὶ θνητὸν εἶδος ψυχῆς καὶ δεύτερον ἴχνος ζωῆς καὶ ἄλογον ζωήν, ἢ καὶ ἐμψυχίαν τοῦ πνεύματος καὶ περὶ τοῖς σώμασι ζωὴν καὶ τὰ τοιαῦτα· ἰδίως δὲ καὶ κυρίως ψυχὴν τὴν λογικήν. Καὶ γὰρ τὸν κυρίως ἄνθρωπον τὴν λογικὴν ψυχὴν ἀποκαλεῖ. Συνελόντι οὖν φάναι, περὶ πάσης λογικῆς ψυχῆς ὁ λόγος. Προανεφώνησε δὲ τὸ συμπέρασμα, ἐπειδὴ μέλλει ἐκ τῶν καθ' αὑτὰ ὑπαρχόντων τῇ ψυχῇ καὶ ᾗ αὐτὸ ποιεῖσθαι τὰς ἀποδείξεις· διὰ τοῦτο οὖν προέθηκε τὸ συμπέρασμα, ἐνδεικνύμενος ὅτι ἐν αὐτῷ τῷ ὅτι συνεσπειραμένως περι-

12 μετ' ὀλίγα 245 E 13 Ποσειδώνιος p. 241 Bake (fragmentum non aliunde cognitum, sive ex libro περὶ ψυχῆς, sive ex commentario in *Timæum*) 14 Ἁρποκρατίων cf. 32, 3

TIT 1 ἀρχὴ τῶν περὶ ἀθανασίας ψυχῆς ἀποδείξεων C 13 Ποσιδώνιος C 14 Ἁρποκρατίων C 19 περὶ πάσης λογικῆς ψυχῆς λόγος C 21 [νοῦ]: ὑπὲρ τὴν ψυχήν A

NC 1 ἀρχὴ, ἀρ rubr. A 6 τῶν om. M 7 συνεσπειρασμένως M 9 ψυχὴ, ψυ rubr. A 11 αὐτὸν] τὸ M 12 γένεσιν] γῆν M (Plat. T marg.) 12-13 συμπεσοῦσαν Plat. 14 τοῦ om. M, cf. 101, 34 17 προεῖπε] προσεῖπε M δὴ] δὲ M 20 γὰρ om. M 22 ψυχὴν καὶ — 23 ἄλογον om. M 25 καὶ γὰρ — 26 ἀποκαλεῖ corruptela videntur laborare 29 ὅτι] ὄντι M

114] ἔχεται τὸ διότι· ἐκ γὰρ αὖ τῆς οὐσίας αὐτῆς ἔχει τὸ ἀθάνατον ἡ ψυχή. Πρὸ τῆς οὖν ἀνεπτυγμένης καὶ διῃρημένης καὶ ἀνηπλωμένης ἀποδείξεως τὸ συνεσπειραμένον καὶ ὁμοῦ τὸ ὅτι τὸ διότι περιέχον προσέθηκε. Δύο δέ εἰσι συλλογισμοὶ ἐνταῦθα ἀποδεικτικοί, δι' ὧν ἡ τῆς ψυχῆς ἀθανασία ἀποδείκνυται, ἐπ' εὐθείας δεικνύμενοι, εἷς δὲ ἄλλος ὁ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. Ἀλλὰ διὰ τί τοσοῦτος ὁ τῶν συλλογισμῶν ἀριθμός; οὐ γὰρ δὴ ἁπλῶς πλῆθος ἐπιχειρημάτων ἐκθέσθαι βούλεται (ἦ γὰρ ἂν καὶ ἄλλοις πλείοσιν ἐχρήσατο ὡς ἐν Φαίδωνι), ἀλλ' οἰκείως δηλονότι ἑκάστῃ πραγματείᾳ χρῆται. Νῦν γὰρ ὡς εἴπομεν ἐκ τῆς οὐσίας καὶ τῶν καθ' αὑτὰ ὑπαρχόντων τῇ ψυχῇ φέρει τὰ ἐπιχειρήματα· φημὶ δὲ ὅτι, ἐπειδὴ πρόκειται ἀθάνατον δεῖξαι τὴν ψυχήν, ἐὰν εἰδῶμεν πόσοι τρόποι εἰσὶ φθορᾶς καὶ ἐπιδείξωμεν ὅτι κατ' οὐδένα αὐτῶν φθείρεται ἡ ψυχή, δεδειχότες ἂν εἴημεν ὅτι ἄφθαρτός ἐστι καὶ ἀνώλεθρος, καὶ δῆλον ὅτι ἀθάνατος. Πᾶν δὴ τὸ φθειρόμενον διχῶς φθείρεται· ἢ γὰρ αὐτὸ ὑφ' ἑαυτοῦ διὰ τὴν ἐν αὐτῷ ὕλην, ἢ ἔξωθεν· οἷον τὸ ξύλον καὶ κείμενον μόνον φθείρεται διὰ τὴν ἐν αὐτῷ σηπεδόνα (ἐν ἑαυτῷ γὰρ ἔχει τὸ αἴτιον τῆς φθορᾶς· ὡς καὶ ἐν Πολιτείᾳ εἶπεν ὅτι πᾶν τὸ φθειρόμενον ὑπὸ τῆς οἰκείας κακίας φθείρεται), ἢ ἔξωθεν· δύναται γὰρ καὶ κατακαῆναι καὶ καταπρισθῆναι ὑπό τινος. Ἐπειδὴ οὖν δύο τρόποι εἰσὶ φθορᾶς, διὰ τοῦτο καὶ δύο συλλογισμοὶ ἐξετέθησαν· ὃ μὲν γὰρ δείκνυσιν | p. 115 ὅτι οὔτ' ἐξ ἑαυτῆς φθείρεται ἡ ψυχή, ὅπερ διὰ τοῦ αὐτοκινήτου δείκνυσι καὶ ἀεικινήτου· ὃ δὲ ὅτι οὔτε ὑπ' ἄλλου, ὅπερ διὰ τοῦ εἶναι αὐτὴν ἀρχὴν κινήσεως δείκνυσιν. Ἆρ' οὖν ἑκάτερος αὐτῶν ἀτελής ἐστιν, ἐκ δὲ ἀμφοτέρων τὸ τέλειον τῇ ἀποδείξει συμβαίνει, ἢ ἐν ἑκατέρῳ μὲν αὐτοῖν ὁ ἕτερος περιέχεται, προφαίνεται δὲ ἑκατέρου τὸ ἰδίωμα; Τό τε γὰρ ὑφ' ἑαυτοῦ μὴ φθειρόμενον οὐδ' ἂν ὑπ' ἄλλου φθαρείη· ἔχον γὰρ αὐτὸ ἐν ἑαυτῷ τὸ αἴτιον τοῦ ἑαυτὸ σῴζειν καὶ ἀεὶ ἑαυτῷ συνόν, πότ' ἂν ὑπ' ἄλλου φθαρείη (τοιοῦτον γὰρ τὸ αὐτοκίνητον ὡς δειχθήσεται);| f° 46 r° τό τε ὑπ' ἄλλου μὴ φθειρόμενον, ἀλλὰ ἀρχὴ καὶ αἰτία οὖσα τοῦ σῴζειν τὰ ἄλλα, ἥ γε τοιαύτη πῶς ἂν ὑφ' ἑαυτῆς φθαρείη· τοιαύτη γὰρ δειχθήσεται ἡ ἀρχὴ τῆς κινήσεως· οὔτε γὰρ ἐκ τῶν ὑπὲρ αὐτὴν φθείρεται, ἥ γε σῴζεται ὑπ' αὐτῶν, οὔτε ἐκ τῶν μετ' αὐτήν, ἥτις αἰτία ἐστὶ τοῦ εἶναι καὶ ζῆν αὐτά;

9 εἴπομεν 102, 27   17 *Rep.* X 608 sqq.   27 δειχθήσεται 106, 6-7

TIT 3 πόσοις συλλογισμοῖς ἐνταῦθα δείκνυται τὸ πρόβλημα C

NC 3 τὸ ante ὅτι scripsi : τῷ libri cf. 102, 29   ὅτι] ὄντι M   5 ὁ om. M   6 ἀναγωγῆς M   8 οἰκείως] οἰκείαις M   10 δὲ] δὴ M   13 ὅτι καὶ ἀθάνατος M   γὰρ δὴ M   14 ἐν ante αὐτῷ om. A[1]   αὐτῷ] ἑαυτῷ M   20 αὐτῆς M   21 ὅτι om. M   22 τοῦ] τὸ M   ἄρ' A   27 ad calcem f[i] 45 v° hoc schema invenitur : ἀθάνατον ἀεικίνητον αὐτοκίνητον ψυχή (lineæ rubr.) cf. 105, 28. Duo schemata conjuncta in C   29 ἥ γε scripsi ἡ δὲ A[a] : ἥδε M   31 μετ' αὐτὴν scripsi : μεθ' ἑαυτὴν libri

[115] Εἰ οὖν ὑπ᾽ οὐδενὸς φθείρεται, πῶς ἂν ἑαυτὴν φθείρειεν αὐτὴ πηγὴ οὖσα ζωῆς; Ὥστε ὅπερ ἔφαμεν ἑκάτερος τῶν λόγων αὐτὸς καθ᾽ ἑαυτὸν τέλειός ἐστι, περιέχων ἐν ἑαυτῷ καὶ τὸν λοιπόν, ἐκφαίνεται δὲ καὶ χαρακτηρίζεται ὃ μὲν τῷ ὅτι ὑφ᾽ ἑαυτῆς οὐ φθείρεται, ὃ δὲ τῷ ὅτι οὐδ᾽ ὑπ᾽ ἄλλου. — Πρότερον δὲ αὐτὰς ψιλὰς ἐκθώμεθα τῶν συλλογισμῶν τὰς προτάσεις ἐν τάξει, ἐπειδὴ σποράδην αὐτὰς ὁ Πλάτων ἐξέθετο. Ὁ μὲν οὖν πρότερος τοιοῦτός ἐστιν· ἡ ψυχὴ αὐτοκίνητος· τὸ αὐτοκίνητον ἀεικίνητον· τὸ ἀεικίνητον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος. Οὗτος οὖν ἡμῖν δείξει ὁ λόγος ὅτι ἐξ ἑαυτῆς οὐ φθείρεται. <Ὁ δὲ δεύτερος τοιοῦτος·> ἡ ψυχὴ αὐτοκίνητος· τὸ αὐτοκίνητον ἀρχὴ κινήσεως· ἡ ἀρχὴ τῆς κινήσεως ἀγένητος· τὸ ἀγένητον ἄφθαρτον· τὸ ἄφθαρτον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος. Οὗτος ὁ λόγος δείξει ἡμῖν ὅτι οὐδ᾽ ὑπ᾽ ἄλλου τινὸς φθείρεται ἡ ψυχή. — Περὶ μὲν οὖν τῆς ἀληθείας τῶν λημμάτων ἐν τοῖς ἑπομένοις ἀκριβῶς ἐροῦμεν τὸ ῥητὸν σαφηνίζοντες· νῦν δὲ τὴν πρώτην καὶ κοινὴν τῶν δύο συλλογισμῶν πρότασιν, τὴν λέγουσαν « ἡ ψυχὴ αὐτοκίνητος », ἣν ὁ Πλάτων τελευταίαν τοῦ παντὸς λόγου ἐκθήσεται, ἡμεῖς αὐτὴν ἐφ᾽ ἑαυτῆς ἀποδιαλαβόντες, περὶ τοῦ αὐτοκινήτου σκεψώμεθα, ὅπως πρῶτόν ἐστι τῶν κινουμένων, ἐπειδὴ καὶ περὶ τοῦ εἶναι ὅλως αὐτὸ οὐχ ὁ τυχὼν ἀνὴρ ἠμφισβήτησεν. Ἴσως δὲ εὑρεθήσεται ὅπου οὐδὲ διαφωνοῦσιν οἱ φιλόσοφοι. Καὶ γὰρ ὁ μὲν Ἀριστοτέλης τὰς σωματικὰς πάσας κινήσεις ἀνεῖλε τῆς ψυχῆς, ὅπερ καὶ ἡμεῖς φαμεν ἀληθέστατον εἶναι, ὁ δὲ Πλάτων σαφῶς ἄλλας εἶναι τὰς τῆς ψυχῆς κινήσεις παρὰ πάσας τὰς σωματικὰς ἀποφαίνεται· φησὶ γὰρ ἐν τῷ δεκάτῳ τῶν Νόμων· « ἄγει μὲν δὴ ψυχὴ πάντα τὰ κατ᾽ οὐρανὸν καὶ γῆν καὶ θάλατταν ταῖς ἑαυτῆς κινήσεσιν, αἷς ὀνόματά ἐστι βούλεσθαι, σκοπεῖσθαι, ἐπιμελεῖσθαι, βουλεύεσθαι, δοξάζειν ὀρθῶς ἐψευσμένως, χαίρουσαν λυπουμένην, θαρροῦσαν φοβουμένην, μισοῦσαν στέργουσαν. » Ὅτι μὲν οὖν ἔστι τις ἀρχὴ κινήσεως καὶ αὕτη ἐστὶ τὸ αὐτοκίνητον ἐντεῦθεν δῆλον· ὄντος γὰρ προδήλου τοῦ ὅτι ἔστι τὸ ἑτεροκίνητον, ἤτοι πάλιν τοῦτο τὸ ἑτεροκίνητον ὑπὸ ἑτέρου καὶ αὐτοῦ ἑτεροκινήτου ὄντος κινηθήσεται καὶ ἐκεῖνο ὑπὸ ἄλλου ἑτεροκινήτου καὶ οὕτως ἐπ᾽ ἄπειρον, ἢ κύκλῳ ἄλληλα κινήσει τὰ ἑτεροκίνητα ὥστε τὸ πρῶτον πάλιν ὑπὸ τοῦ ἐσχάτου κινεῖσθαι, ἤ, εἰ μηδέτερον τούτων δυνατὸν τῶν τρόπων ὑποστῆναι, ἀνάγκη τὸ αὐτοκίνητον προηγεῖσθαι. Ὅτι μὲν οὖν

2 ἔφαμεν 103, 23 19 Ἀριστοτέλης in *Ethicis* 23 *Leg.* X 896 E

TIT 19 περὶ τῆς δοκούσης διαφωνίας Ἀριστοτέλους καὶ Πλάτωνος ἐν τῷ κινεῖσθαι τὴν ψυχὴν C 22 τίνες κινήσεις ψυχῆς κατὰ Πλάτωνα C

NC 3 et 7 ἐστὶ A αὐτῷ M τὸν] τὸ M 5 αὐτὰς] αὖ τὰς M 9 αὐτῆς M ὁ — τοιοῦτος addidi ex 6 15 λέγουσαν ὅτι M 16 ἐφ᾽] ἀφ᾽ M cf. 100, 29 19 οὐδὲ] οὐ M 20 φαμὲν A 22 σωματὸν a ut videtur 24 θάλασσαν M 26 θάρσουσαν M 28 ἔστι τὸ] ἔστιν A[a] 29 ἤτοι πάλιν τοῦτο om. M, sed ante ὑπὸ add. τοῦτο ἤ

5] οὐκ ἐπ' ἄπειρον πρόεισι τὰ κινοῦντα δῆλον· οὔτε γὰρ ἔστι τὸ ἄπειρον ἐν οὐσίᾳ οὔτε ἐπιστήμη αὐτοῦ ἔστιν. Ἀλλ' οὐδὲ κύκλῳ οἷόν τε ἰέναι τὰ κινοῦντα· ἀναιρεθήσεται γὰρ τῶν ὄντων ἡ τάξις, καὶ τὸ αὐτὸ ἔσται τε αἴτιον καὶ αἰτιατόν. Ὥστε δεῖ εἶναι ἀρχήν τινα κινήσεως καὶ μήτε ἐπ' ἄπειρον ἰέναι τὰς κινήσεις μήτε κύκλῳ. — Ταύτην δὴ τὴν ἀρχὴν τῆς κινήσεως, ἥτις ἐστὶ κατὰ ἀμφοτέρους τοὺς φιλοσόφους ἡ ψυχή, ὁ μὲν Πλάτων φησὶν αὐτοκίνητον, ὁ δὲ Ἀριστοτέλης ἀκίνητον. Ὅτι δὲ δεῖ ταύτην τὴν ἀρχὴν τῆς κινήσεως αὐτοκίνητον δείκνυσθαι, καὶ ἐξ αὐτῶν τῶν Ἀριστοτέλους δογμάτων μάθοις ἂν ἐντεῦθεν· ἐν πᾶσι τοῖς οὖσιν οὐκ ἀμέσως ἡ φύσις ἀπὸ
16 τοῦ ἐναντίου ἐπὶ τὸ ἐναντίον χωρεῖ, οἷον ἀπὸ χειμῶνος εἰς θέρος, | ἀλλὰ δεῖ πάντως τὴν μεσότητα προηγήσασθαι, τοτὲ μὲν ἔαρ, τοτὲ δὲ μετόπωρον· καὶ οὕτως ἐπὶ πάντων σωμάτων τε καὶ ἀσωμάτων. Καὶ δὴ καὶ ἐνταῦθα ὄντος τοῦ ἑτεροκινήτου, ὄντος δὲ καὶ τοῦ ἀκινήτου, δεῖ καὶ τὸ μέσον εἶναι, ὅ ἐστι τὸ αὐτοκίνητον, ἓν καὶ ταὐτὸν ὂν τῷ ἀριθμῷ καὶ τῷ ὑποκειμένῳ. Ὃ γάρ φησιν Ἀριστοτέλης αὐτοκίνητον, οἷον τὸ ζῷον, οὐκ ἔστι τὸ νῦν προκείμενον εἰς ζήτησιν· ἐκ γὰρ τοῦ ἀκινήτου καὶ ἑτεροκινήτου συγκειμένου κατ' αὐτὸν τοῦ ζῴου τὸ ὅλον φησὶν αὐτοκίνητον εἶναι. Ὥστε ὄντος τοῦ πάντῃ ἀκινήτου οἷον τῆς πάντων ἀρχῆς, ὄντος καὶ τοῦ ἑτεροκινήτου οἷον τῶν σωμάτων, ἔσται μεταξὺ καὶ τὸ αὐτοκίνητον, ὅπερ οὐδὲν ἄλλο ἔσται ἢ ψυχή. Ὃ γὰρ ἂν εἰδῶμεν ἐξ αὐτοῦ κινούμενον, τοῦτό φαμεν ἔμψυχον εἶναι, ὡς ταύτης οὔσης φύσεως ψυχῆς, τοῦ αὐτὴν ἑαυτὴν κινεῖν. Ὥσπερ οὖν τριῶν ὄντων τούτων [τῶν] καὶ κατὰ τὸν Ἀριστοτέλην, νοῦ, ζωῆς, ὄντος, καί, πρῶτον ὡς ἐπὶ τοῦ ὄντος εἰπεῖν, ὄντος τινὸς [τοῦ] γινομένου ὑφ' ἑτέρου καὶ τὸ εἶναι παρ' ἑτέρου δεχομένου, ἔστιν ὃ ἑαυτῷ παρέχει τὸ εἶναι, οἷον ὁ οὐρανὸς καὶ οἱ νοῖ, ἅπερ αὐτὸς ὥσπερ ἀεὶ ὄντα ἀγένητά φησιν ὑπὸ πάσης ἄλλης αἰτίας (οὐ γὰρ βούλεται αὐτὰ οὐδὲ κατ' αἰτίαν γεγενῆσθαι, ὥσπερ οὐδὲ κατὰ χρόνον, ἀλλ' ἅτε ἀεὶ ὄντα ἀγένητα εἶναι καὶ ἑαυτοῖς αἴτια
6 v° τοῦ εἶναι)· καὶ πάλιν ὡς ἐπὶ τῆς ζωῆς, ὄντων ἃ παρ' ἑτέρων | καταδέχεται

7 e. g. *Metaph.* III 8, 1012 *b* 31 8 sæpe, e. g. in *Categoriis* 15 *de nat. ausc.* VIII 5 25 *de cœlo* I 10

TIT 5 ἀρχὴ τῆς κινήσεως ἡ ψυχὴ κατὰ Πλάτωνα αὐτοκίνητον, κατ' Ἀριστοτέλη ἀκίνητον C 22 νοῦ ζωῆς ὄντος C 26 ὁ Ἀριστοτέλης κατ' αἰτίαν καὶ κατὰ χρόνον ἀγέννητον βούλεται τὸν κόσμον C

NC 2 αὐτοῦ] αὐτῶν A ἰέναι scripsi coll. l. 5 : εἶναι libri 3 et 12 τέ A 4 μήτε] μὴ M 5 ἰέναι] εἶναι M 6 ἔστι A μὲν om. M 10 ἐπὶ τὸ] ἐπ' M 11 δεῖ] δὴ M 17 αὐτὸν] αὐτὸ M 20 ἂν om. M εἰδῶμεν] εἴδομεν M αὐτοῦ A 22 τῶν seclusi καὶ om. M 23 τοῦ seclusi 25 ὥσπερ om. M (ἅπερ A[1]) 26 οὐ] καὶ M αἰτίαν] αἴτια M 27 ἀλλ' ἅτε] ἀλλὰ τὰ M καὶ ἑαυτοῖς scripsi : ἑαυτοῖς καὶ libri 28 ὡς scripsi : ὥσπερ libri ad calcem f[i] 46 r° hoc schema invenitur (lin. rubr.) :
ἀθάνατον ἄφθαρτον ἀγένητον ἀρχὴ κινήσεως αὐτοκίνητον ψυχή

[116] τὸ ζῆν (ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος), ἔστιν ἃ παρ' ἑαυτῶν ἔχει τὸ ζῆν, ὥσπερ δὴ πάλιν ὁ οὐρανὸς καὶ ὁ νοῦς (οὐ γὰρ ἐπείσακτον ἔχειν αὐτοὺς, ἀλλὰ συμφυᾶ τὴν ζωήν)· καὶ πάλιν ὡς ἐπὶ τοῦ νοῦ, ὄντων ἃ παρ' ἄλλων καταδέχεται τὸ νοεῖν καὶ νοητικὰ γίνονται, ὥσπερ ὁ δυνάμει νοῦς καθ' αὑτὸν, ἔστιν ὁ ἐνεργείᾳ νοῦς ὃς παρ' ἑαυτοῦ ἔχει τὸ νοεῖν καὶ ἑαυτὸν νοεῖ· οὕτω δὴ ὄντος τοῦ ὑφ' ἑτέρου κινουμένου, ἀνάγκη εἶναι καὶ ὃ ἑαυτῷ αἴτιόν ἐστι τοῦ κινεῖσθαι καὶ ἑαυτῷ τοῦτο χορηγεῖ. Καὶ γὰρ ἄλλως ἄλογον ἀπὸ τοῦ ἑτεροκινήτου ἐπὶ τὸ ἀκίνητον πάντῃ ἐλθεῖν, μὴ μεταξὺ τὸ αὐτοκίνητον παραλαβόντας ὥσπερ ἄλογον ἀπὸ τοῦ γινομένου καί ποτε ὄντος ἐπὶ τὸ μὴ ὂν τὸ ὑπερούσιον ἐλθεῖν, μὴ μεταξὺ τὸ ὂν παραλαβόντας· ἄδηλον γὰρ ἔσται ποῖον μὴ ὂν παραλαμβάνομεν, πότερον τὸ χεῖρον τοῦ γινομένου ἢ τὸ κρεῖττον, τοῦ μεταξὺ μὴ παραληφθέντος, ὅπερ ἐστὶ τὸ ἀεὶ ὄν· οὕτω δὴ καὶ ἐπὶ κινήσεως ἄδηλον ἔσται ποῖον ἀκίνητον παραλαμβάνομεν, πότερον τὸ καταδεέστερον τοῦ ἑτεροκινήτου ἢ τὸ ὑπέρτερον, μὴ μεταξὺ τοῦ αὐτοκινήτου παραληφθέντος· ὁμοίως δὴ καὶ ἐπὶ ζωῆς καὶ νοῦ καὶ τῶν ἄλλων.

Αὕτη γοῦν ἡ αὐτοκίνητος κίνησις καὶ ἐν τοῖς Νόμοις ὑπὸ τοῦ φιλοσόφου πρώτη πασῶν καὶ ἀρχὴ τῶν ἄλλων κινήσεων ἀποδέδεικται, καὶ αἰτία κατὰ πάντα τὰ σημαινόμενα τῆς αἰτίας. Καὶ γὰρ ποιητικὴ καὶ παραδειγματικὴ καὶ τελικὴ αὐτῶν αἰτία (αἳ καὶ μόναι κυρίως εἰσὶν αἰτίαι· τὸ γὰρ εἰδικὸν ἐν αὐτῷ ἐστι τῷ ἀποτελέσματι καὶ αὐτό ἐστι τὸ ἀποτέλεσμα, τὸ δὲ ὑλικὸν ἔτι πλέον πόρρω ἐστὶ τοῦ κυρίως αἰτία εἶναι· τῶν γὰρ ὧν οὐκ ἄνευ λόγον ἐπέχει). Ὅτι μὲν οὖν ποιητικὴ αἰτία ἐστὶ τῶν ἄλλων κινήσεων τὸ αὐτοκίνητον δῆλον, ὡς αὐτὸς ἐν Νόμοις ἀποδείκνυσιν· εἰ γὰρ σταίη, φησὶ, τὰ πάντα, ποῖον πρῶτον κινηθήσεται; ἢ δῆλον ὅτι τὸ αὐτοκίνητον· εἰ γὰρ τὸ πλησιάζον τῷ κινητικῷ αἰτίῳ κινεῖται, δηλονότι πάντων τῶν ὄντων ἑτεροκινήτων ὄντων, τοῦ δὲ αὐτοκινήτου ἐν ἑαυτῷ ἔχοντος τὸ κινητικὸν καὶ οὐχ ἁπλῶς πλησιάζοντος πρὸς αὐτὸ, ἀλλ' ἡνωμένου, μᾶλλον δὲ οὐσίαν ἔχοντος τὴν κίνησιν, δῆλον ὡς αὐτὸ πρῶτον κινηθὲν τἄλλα κινήσει. Ὥσπερ γὰρ εἰ ὁ ἥλιος μὴ ἔδυνε καὶ ἀνέτελλεν ἀλλ' ἀκίνητος ἦν,

1 Aristot. *de natur. ausc.* II 2, 11 17 *Leg.* X 894 D 24 *ibid.* 895 A

TIT 17 ἡ αὐτοκίνητος κίνησις αἰτία κατὰ πάντα τὰ σημαινόμενα τῆς αἰτίας C

NC 1 ἔστιν scripsi coll. 105, 24 : ἔστι δ' libri 3 ὡς ἐπὶ τοῦ νοῦ, ὄντων scripsi : ὥσπερ ὄντων libri 5 κατ' αὐτὸν a 7 ὃ ἑαυτῷ] ὃ αὐτῷ M 9 et 10 παραλαβόντα M 10 ποτέ A 12 μὴ om. M 14 τὸ post πότερον om. M 15 ἐπὶ τῆς ζωῆς M 16 τῶν om. M 17 γοῦν] οὖν M αὐτοκίνησις, sed ος statim suprascr. A 20 τὸ E²M : εἰ AE¹ (?) 22 ἔτι] ἐπὶ M πλέον ex emend. A de verbis τῶν ὧν οὐκ ἄνευ cf. Olympiod. in *Phædon.* 84, 19 Finckh 29 τἆλλα A ut solet 30 εἰ om. M (jam correxerat Ast)

[116] ἠπορήσαμεν ἂν τί ἐστι τὸ αἴτιον τοῦ τοσούτου φωτός, εἰ δὲ καὶ αὐτὸς ἀόρατος ὢν κατηύγαζεν, ἔτι πλέον ἂν ἠπορήσαμεν, οὕτω δὴ καὶ ἐπὶ ψυχῆς, ἐπειδὴ ἀόρατος οὖσα αἰτία ἐστὶ πασῶν τῶν κινήσεων, ἀπορίαν ἡμῖν παρέσχεν. Ὥσπερ οὖν ὁ ἥλιος τὰ πάντα φωτίζων ἑαυτὸν πολλῷ πλέον φωτεινὸν ποιεῖ, οὕτω δὴ καὶ ἡ ψυχὴ τὰ πάντα κινοῦσα ἑαυτὴν πολὺ| p. 117 πρότερον κινεῖ· ἕκαστον γὰρ ἀφ' ἑαυτοῦ τῆς ἐνεργείας ἄρχεται. — Καὶ παραδειγματικὰς δὲ εὕροις ἂν τὰς τῆς ψυχῆς κινήσεις τῶν σωματικῶν κινήσεων· λάβωμεν δὲ τὰς σωματικάς· εἰσὶ δὲ αὗται ὀκτὼ τὸν ἀριθμόν, παθητικαὶ οὖσαι μᾶλλον ἢ ποιητικαί· γένεσις φθορά, αὔξησις μείωσις, φορὰ περιφορά, σύγκρισις διάκρισις. Ἐν οὖν τῇ ψυχῇ αὔξησίς ἐστιν ὅταν ἑαυτὴν ἐπιδοῦσα τοῖς κρείττοσι πολλαπλασιάζῃ ἑαυτῆς τὰς νοήσεις· φθίσις δὲ ὅταν ἐκεῖθεν ἀφισταμένη ἀσθενεστέρα ἑαυτῆς γίνηται καὶ ἀργοτέρα ταῖς νοήσεσι· πάλιν γένεσιν μὲν <φαμεν> τὴν ἐντεῦθεν αὐτῆς ἄνοδον, φθορὰν δὲ τὴν ἐσχάτην ἀπὸ τοῦ νοητοῦ πτῶσιν· καὶ σύγκρισιν μὲν τὴν ἀθρόαν νόησιν καὶ τὴν τῶν εἰδῶν ἅμα θεωρίαν, διάκρισιν δὲ τὴν μερικωτέραν νόησιν καὶ τὴν κατ' εἶδος ἓν θέαν <ἂν> εἴποιμεν· φορὰ δὴ ἡ κατ' εὐθεῖαν αὐτῆς καὶ εἰς γένεσιν κίνησις, περιφορὰ δὲ ἡ τῶν εἰδῶν περίοδος καὶ ἀνέλιξις καὶ εἰς τὸ αὐτὸ ἀποκατάστασις. Οἰκειότερον μὲν οὖν ἀποδοίη τις ἂν τὴν μὲν περιφορὰν ταῖς θείαις ψυχαῖς, τὴν δὲ φορὰν ταῖς ἡμετέραις· ἴδοις δ' ἂν καὶ ἐν ταῖς θείαις ἀμφοτέρας τὰς κινήσεις· εὐθείας γάρ, φησί, λαβὼν ὁ δημιουργὸς εἰς κύκλον κ α τ έ κ α μ ψ ε· δῆλον οὖν ὡς οὐκ ἄνευ τοῦ εὐθέος ἡ κυκλική ἐστι κάμψις καὶ νόησις τῶν ψυχῶν· τὸ γὰρ καθαρῶς κύκλῳ κινεῖσθαι μόνῳ ἀπονέμει τῷ νῷ. Ἡ δὲ ἐνάτη κίνησις ἥτις ἐστὶ τῶν ἀσωμάτων περὶ τοῖς σώμασιν, οἷαι θερμότητες ἢ ψύξεις ἢ ἐμψυχίαι, ἔχει τὴν παραδειγματικὴν αἰτίαν ἐν τῇ ψυχῇ, καθὸ ἡ ψυχὴ τοῖς σώμασιν ἐνδίδωσι ζωήν. — Ὅτι μὲν οὖν καὶ παραδειγματικαί εἰσιν <αἰτίαι> αἱ τῶν ψυχῶν κινήσεις τῶν σωματικῶν ἀρκούντως ὑπομέμνηται· λείπεται δὲ καὶ τελικὰς αὐτὰς ἀποδεῖξαι, ἐπειδὴ καὶ ὁ σπουδαῖος ἐνταῦθα καὶ ἔμ-

20 *Tim.* 36 B

TIT 8 ὀκτώ φησι τὰς σωματικὰς κινήσεις **C**

NC 1 ἂν **om. M** **3** ἀόρατος] ἀσώματος **M** τῶν **omisit M** **6** τῆς ἐνεργείας] τὰς ἐνεργείας **L** **11** πολλαπλασιάζει **L** φθίσις, **suprascripto eadem manu** μείωσις **in ll'** **12** ἑαυτῆς] ἑαυτῇ **M (jam correxerat Ast)** **13** φαμεν **addidi cf.** ***addenda* et *corrigenda*, 7** **16** νόησιν] γένεσιν **L (sed in margine adscripto** γρ. νόησιν**)** ἂν **addidi** δὴ] δὲ **A Lll'** **18** ἀποκατάστασις] κατάστασις **M** **21** λαβὼν ὁ δημιουργὸς **E¹** **22** ἡ **omiserunt Lll'M** τὸ μὲν γὰρ **E** **23** ἐννάτη **M** ἐστὶ περὶ τῶν **L** **24** ἀσωμάτων] σωμάτων **l'** οἷαι] οἷον **M** : οἷον αἱ **Lll'** **26** αἰτίαι **addidi** **27** τῶν ψυχῶν] τῆς ψυχῆς **ELll'** ὑπομέμνηται **M (vel fortasse Ast)** : ὑπέμνησται **AELll' (de ceteris codicibus nihil notavi) quod monstrum recipere non ausus sum** **28 potius** δὴ **quam** δὲ **in A legeris** καὶ τὰς τελικὰς **ll'** καὶ ὁ ἔμφρων **L**

117 [illegible] ....

....

f° 47 v° ..... [illegible] ὡς [illegible] ἡ ἀθανασία τῆς ψυχῆς. [illegible] τῇ [illegible] καὶ [illegible] τὴν [illegible] ἐστιν ἡ ἀθανασία, ὡς καὶ ἡ [illegible]. Ἐπειδὴ [illegible] ἀνηλιγμένην καὶ [illegible] γὰρ ἀεικίνητον ἀθάνατον, καὶ τὰ ἑξῆς. [illegible] τὴν ψυχὴν [illegible] αὐτοκίνητον, ὡς [illegible] τῶν ἐκ συλλογισμῶν. [illegible] αὐτὴν [illegible] τῶν ἐκ λόγων. [illegible] καὶ ἡμεῖς ἀκριβέστερον αὐτὴν ἐξετάσομεν. Νῦν δὲ τὴν τῆς κατὰ μέρος τῶν προτάσεων ἐξέτασιν. ἐπι-γνῶμεν τῆς πρώτης λογιστικῶς ὥσπερ ὁ Πλάτων ἤρξατο. Τρεῖς μὲν οὖν εἰσιν αἱ πᾶσαι προτάσεις τοῦ συλλογισμοῦ· ἡ ψυχὴ αὐτοκίνητος. τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀεικίνητον ἀθάνατον. τουτέστιν ἄφθαρτον καὶ ἀθάνατον. Τὴν οὖν πρώτην καὶ ἐσχάτην πασῶν πρότασιν τὴν λέγουσαν « ἡ ψυχὴ αὐτοκίνητος » ὕστερον ὡς εἴπομεν δείξομεν. Τὴν δὲ τρίτην καὶ μείζονα πασῶν πρώτην ἐξέθετο, ὡς συνεκτικὴν τοῦ παντὸς λόγου, εἰπὼν « τὸ γὰρ ἀεικίνητον ἀθάνατον. » Τὴν δὲ μετ' αὐτὴν τὴν λέγουσαν « τὸ αὐτοκίνητον ἀεικίνητον, » διὰ τοῦ ἐναντίου τοῦ ἑτεροκινήτου μετὰ ἀποδείξεως παρέθετο, εἰπὼν « τὸ δ' ἄλλο κινοῦν καὶ ὑπ' ἄλλου κινούμενον (τουτέστι τὸ δὲ ἑτεροκίνητον) παῦλαν ἔχον κινήσεως (τουτέστι μὴ ὂν ἀεικίνητον) παῦλαν ἔχει ζωῆς (τουτέστιν οὐκ

6 245 C 10 ἐξετάσομεν 109. 11 15 εἴπομεν ll. 8-9

TIT 11 ἐνταῦθα ἡ ἀνάπτυξις τοῦ (ultimum verbum non legi in A, συλλογισμοῦ L, legendum πρώτου συλλογισμοῦ) AL

NC 1 post καὶ reliquum f^{um} 46 v° et totum 47 r° vacua in A : in E spatium vacuum ad calcem f° 179 r° (in marg. ἐνταῦθα λείπει) : idem in D : in CFM nulla lacuna (sed C in marg. m. rec. : *hiatus*) : in L 2 1/2 paginæ vacuæ : in I 3 paginæ : in I' 5 paginæ, quarum in prima hæc leguntur (rubr.) : ἐκ τοῦ κειμένου οὐ λείπει τι, μόνον ἐκ τῆς ἐξηγήσεως, in ultima rursus hæc : ἐνταῦθα οὐ λείπει τι ἐκ τοῦ κειμένου, ἀλλὰ ἀπὸ τῆς ἐξηγήσεως μόνον : de ceteris vide præfationem : nihil suspicatus est AST 3 διότι om. DII' in margine codicum A et L hi duo versus leguntur (rubr.) quorum alter Byzantinæ prosodiæ rationem sequitur

τί δὴ τὸν εἱρμὸν ἐξέ|κοψας τοῦ λόγου |
ἄφνω στερήσας ἡ|[δ]ονῆς ἀθανάτου

in quibus signo (|) finem versuum in A indicavi (δὴ legi in A, sed et μοι legi potest : μοι L; τὸν om. L; vocis ἡδονῆς littera δ margine abscisso periit : falso SCHANZ ἡ[μᾶς] γονῆς quod et nihil est et metrum vitiat) τῆς ψυχῆς ἡ ἀθανασία M 4 τῇ om. M 5 ἐστιν om. II' 6 ἀνηλιγμένην E 9 ἀκριβέστερον] ἀκριβῶς ὕστερον II' αὐτὴν om. E 10 προτάσεων] πρώτων M 11 λογιστικῶς E 12 τοῦ συλλογισμοῦ] τῶν συλλογισμῶν M 13-14 τουτέστιν ἄφθαρτον καὶ ἀθάνατον (leg. ἀγένητον, opinor) om. M 14 πασῶν scripsi : πάντων libri (sed A²) 15 δὲ scripsi : γὰρ libri 17 τὴν ante δὲ] τὸ M 19 μετ' A 20 δὲ om. II'M 21-109, 1 ἀθάνατον οὐκ ἔστι M

[117] ἔστιν ἀθάνατον). » Εἰ οὖν τὸ ἑτεροκίνητον, μὴ ὂν ἀεικίνητον, οὐκ ἔστιν ἀθάνατον, τὸ αὐτοκίνητον ἀεικίνητον ὂν ἀθάνατόν ἐστι. Καθ' αὑτὸ δὲ πᾶσαι λαμβάνονται αἱ προτάσεις καὶ ᾗ αὐτό ἐστιν· ἐκ μὲν γὰρ τοῦ ἑτεροκινήτου δείκνυται οὐ μόνον τὸ αὐτοκίνητον ἀεικίνητον, ἀλλὰ καὶ τὸ ἀεικίνητον αὐτοκίνητον, ὥστε καὶ ἀντιστρέφειν οἷον « τὸ αὐτοκίνητον ἀεικίνητον » καὶ « τὸ ἀεικίνητον αὐτοκίνητον. » Εἰ γὰρ τὸ ὑπ' ἄλλου κινούμενον παῦλαν ἔχει κινήσεως (τουτέστι· τὸ ἑτεροκίνητον οὐκ ἔστιν ἀεικίνητον), δῆλον ἂν εἴη ὅτι τὸ ἀεικίνητον αὐτοκίνητον· καὶ γὰρ καὶ κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν τοῦτο συνάγεται· εἰ γὰρ τὸ ἑτεροκίνητον οὐκ ἀεικίνητον, δηλονότι τὸ ἀεικίνητον οὐχ ἑτεροκίνητον· τὸ δὲ οὐχ ἑτεροκίνητον αὐτοκίνητον. Ἐκ δὲ τοῦ « ἅτε οὐκ ἀπολεῖπον ἑαυτό, » ὅτι p. 118 καὶ πᾶν τὸ ἀεικίνητον αὐτοκίνητον· εἰ γὰρ | καὶ τὸ ἑτεροκίνητον ἔστ' ἂν συνῇ τῷ κινητικῷ αἰτίῳ κινεῖται (ἐν ὅσῳ γὰρ αὐτοῦ πλησίον ἐστὶ κινεῖται) πολλῷ πλέον τὸ αὐτοκίνητον οὐ μόνον ἀεὶ συνὸν ἑαυτῷ ἀλλὰ καὶ ἡνωμένον πρὸς ἑαυτὸ ἀεικίνητον ἔσται. — Ἀναλαβόντες δὲ ἐξ ἀρχῆς ἑκάστην τῶν προτάσεων σαφηνίσωμεν κατὰ τὸ δυνατόν. « Ἡ ψυχὴ αὐτοκίνητος· » τὴν κίνησιν ἐνταῦθα ἀκουστέον τὴν ζωὴν αὐτῆς· αὐτόζωος οὖν ἐστιν ἡ ψυχή, ἐν ἑαυτῇ ἔχουσα ἀρχὴν καὶ πηγὴν τῆς ζωῆς· εἰ γὰρ καὶ τὰ σώματα ἤθελεν ἡ φύσις αὐτοκίνητα εἶναι, ἀρχὴν ἂν αὐτοῖς καὶ πηγὴν ἐνετίθει κινήσεως· νῦν δὲ ἐπεὶ ἔδει καὶ τὰ ἑτεροκίνητα προελθεῖν, γέγονε τὰ σώματα τὴν ἀρχὴν τῆς κινήσεως ἐξ ἄλλων καταδεχόμενα. Φαίνεται δὲ πολλὰ προαιρουμένη ἡ ψυχὴ καὶ κατὰ τὴν οἰκείαν προαίρεσιν πράττουσα· τοῦτο δὲ οὐκ ἂν εἶχεν εἰ μὴ ἦν αὐτοκίνητος. Ὅμως δὲ εἰς τὴν φύσιν τοῦ πράγματος ἐπιβλέποντί σοι πολλὴ φανεῖται ἀφθονία ἐπιχειρημάτων διὰ τὴν τοῦ πράγματος ἐνάργειαν· ἱκανῶς δὲ καὶ ὁ Πλάτων ἐκ τῆς ἐναργείας καὶ ἐκ τῶν τελευταίων ὑπομιμνήσκει λέγων ὅτι, ὃ μὲν ἂν ἴδωμεν σῶμα μὴ δυνάμενον ἐξ ἑαυτοῦ κινεῖσθαι, ἄψυχον εὐθὺς αὐτὸ λέγομεν, ὃ δὲ ἂν ἴδωμεν σῶμα ἀφ' ἑαυτοῦ δυνάμενον κινεῖσθαι, εὐθὺς αὐτὸ λέγομεν ἔμψυχον, ὡς αὐτοφυῶς τεκμαιρόμενοι εἶδος εἶναι καὶ λόγον τῆς ψυχῆς τὸ αὐτοκίνητον. Μάλιστα δὲ ἐκ τοῦ ἐφ' ἡμῖν δείξαις ἂν τὸ αὐτοκίνητον τῆς ψυχῆς· εἰ γὰρ κρεῖττον καὶ τελειότερον τὸ εὖ εἶναι τοῦ εἶναι, τελειοῖ δὲ ἑαυτὴν ἡ ψυχή, δηλονότι τὸ κρεῖττον τὸ εὖ εἶναι ἑαυτῇ παρέχουσα καὶ

TIT 17 κίνησιν τῆς ψυχῆς ἀκουστέον τὴν ζωὴν αὐτῆς C   πῶς αὐτοκίνητος ἡ ψυχὴ καὶ αὐτόζωος C

NC 1 ἀεικίνητον] αὐτοκίνητον A[1] : ἀκίνητον E   2 ἔστι A   5 οἷον] μόνον A ante emend. : οἷον μόνον LII′   6 αὐτοκίνητον] ἀεικίνητον A ante emend.   τὸ om. E   8 καὶ ante κατὰ om. E   τὸν] τὸ I′   9 τῶν ὑποθετικῶν] τὸν ὑποθετικὸν M   11 ἑαυτό] ἑαυτῷ L[1] (corr. ead. m.)   15 ἑκάστην] ὅτι, deinde « *spatium aliquot verborum* » M   16 προτάσεων] πρώτων M ut 108,10   18 ἑαυτῇ] ἑαυτοῦ M (jam correxerat Ast)   19 τῆς κινήσεως M   24 ἀποβλέποντι M   φανεῖται] φαίνεται M   25 ἐνέργειαν M (jam correxerat Ast)   28 ἑαυτοῦ] ἑτοῦ A (sic)   29 τεκμαιρομένων M : τεκμαιρομένῳ E

118 ἀπογεννῶσα καὶ ζωοποιοῦσα ἑτέραν, πολλῷ πλέον τὸ ἑαυτῆς τὸ εἶναι ἑαυτῇ παρέχει· τὸ δὲ εἶναι οὐδὲν ἄλλο ἐστὶν αὐτῆς ἢ ζωή· ἡ δὲ ζωὴ κίνησις· δῆλον οὖν ὅτι ἑαυτῇ ἂν παρέχοι τὴν κίνησιν· αὐτοκίνητος ἄρα ἐστίν.

Ἣ δ' ἑτέροις παρέχει τὸ ζῆν, πολὺ μᾶλλον ἑαυτῇ,

φησὶ τὰ λόγια· ἡ γὰρ ζωοποιοῦσα τὰ ἄλλα πολλῷ μᾶλλον ἑαυτῇ τοῦτο παρέχει· ὥστε ἑαυτῇ παρέχουσα τὸ ζῆν ζωοποιεῖ ἑαυτὴν καὶ ἐνεργεῖ· ἡ δὲ ζωὴ κίνησις· ἑαυτῇ ἄρα παρέχει τὴν κίνησιν· αὐτοκίνητος ἄρα. Ἀφ' ἑαυτῶν γὰρ ἄρχεται τὰ θεῖα καὶ τὰ πρώτως τι διδόντα, ὥσπερ ὁ ἥλιος τὰ πάντα φωτίζων αὐτόφως ἐστὶ καὶ πηγὴ φωτός· καὶ ἡ ψυχὴ οὖν τοῖς ἄλλοις ζωὴν καὶ αὐτοκινησίαν παρέχουσα (αὐτοκίνητα γὰρ κατὰ Ἀριστοτέλην τὰ ζῷα) πολὺ
f° 48 r° μᾶλλον | αὐτὴ αὐτοκίνητός ἐστι καὶ ζωὴ καὶ πηγὴ ζωῆς ψυχικῆς. — Τὸ δὲ αὐτοκίνητον ἀεικίνητον οὕτω δείκνυσι, δείκνυσι δὲ ὅτι καὶ μόνον τὸ αὐτοκίνητον ἀεικίνητον καὶ μόνον ἀθάνατον, ἐκ τοῦ καθ' αὑτὸ καὶ ᾗ αὐτὸ τὰς προτάσεις λαμβάνων. Τὸ οὖν εἶναι τὸ αὐτοκίνητον ἀεικίνητον ἐκ τοῦ ἑτεροκινήτου δείκνυσι· τὸ γὰρ ἑτεροκίνητον δηλονότι οὐκ ἔχει ἐξ ἑαυτοῦ οἰκείαν κίνησιν, διὸ καὶ ἑτεροκίνητον λέγεται· ἐν χρόνῳ οὖν ταύτην ἀλλαχόθεν καταδεξάμενον, ἐν χρόνῳ αὐτὴν καὶ ἀποβάλλει· ὃ δ' ἑαυτῷ παρέχει τὴν κίνησιν κατ' οὐσίαν, ἅτε ἑαυτῷ συνὸν ἀεὶ καὶ αὐτὸ ὂν τὸ διδὸν καὶ λαμβάνον, ἀεικίνητον ἔσται. Δηλοῖ δὲ ὁ Πλάτων τὴν κίνησιν ὅτι ἐπὶ τῆς ζωῆς ἔλαβε· « παῦλαν γάρ φησιν ἔχον κινήσεως παῦλαν ἔχει καὶ ζωῆς. » Ὅτι δὲ τὸ ἑτεροκίνητον παῦλαν ἔχει κινήσεως (τουτέστιν· οὐκ ἔστιν ἀεικίνητον) καὶ ἐντεῦθεν δῆλον· δύο γὰρ ὄντων τούτων τοῦ τε κινοῦντος καὶ τοῦ κινουμένου, ἢ τὸ κινοῦν δεῖ προσελθεῖν τῷ κινουμένῳ καὶ οὕτως αὐτὸ κινῆσαι, ὥσπερ ἡμεῖς φέρε τὸν λίθον, ἢ τὸ κινούμενον δεῖ προσελθεῖν τῷ κινοῦντι καὶ οὕτως κινηθῆναι, ὥσπερ ἡ ψυχὴ προσελθοῦσα τῷ νῷ οὕτω κινεῖται ὑπ' αὐτοῦ καὶ θεωρεῖ τὰ ἐν αὐτῷ, ἢ ἀμφότερα ἀλλήλοις πρόσεισιν ὥσπερ ὁ διδάσκαλος καὶ ὁ μαθητής· καὶ ὁ μαθητὴς γὰρ ἐπιδίδωσιν ἑαυτὸν εἰς τὸ ἀνακινηθῆναι ὑπὸ τοῦ διδασκάλου, καὶ ὁ διδάσκαλος ἐπιτρέχει τῷ ἀνακινῆσαι τὸν μαθητὴν καὶ ὅλος ἔστραπται πρὸς αὐτόν. Τούτων οὖν οὕτως ἐχόντων τὸ ἑτεροκίνητον οὐ δύναται ἑαυτὸ προσαγαγεῖν τῷ κινοῦντι·

11 cf. 105, 15

TIT 13 πῶς τὸ αὐτοκίνητον ἀεικίνητον C 21 ἀντὶ ζωῆς νοεῖ (?) C

NC 2 αὐτῆς] αὐτοῦ M 3 ὅτι om. M παρέχῃ M 5 ἣ δ'] ἡ δὲ A ἑαυτῇ] ἑαυτῷ M 6 τὰ λόγια] ὁ λόγος M 9 πρώτως] πρῶτα M 10 αὐτοφῶς M 12 αὕτη A^a 13 μόνον αὐτὸ τὸ M 15 προτάσεις] προτέρας M 16 δῆλον ὅτι A^a 17 ταύτην] ταῦτα M 18 παρέχει] παρέχον M 21 καὶ om. Plat. 22 ἔστιν om. M 29 τοῦ om. M 30 ὅλος] ὅλως M οὖν om. M

[118] τὸ γὰρ εἶναι αὐτὸ ἑτεροκίνητον, τουτέστιν... <κωλύει·> οὐδ' ἄρα τὸ συναμφότερον· λείπεται δὲ, εἰ μέλλει τὸ ἑτεροκίνητον ἀεὶ κινηθήσεσθαι, τὸ κινητικὸν ἐστράφθαι πρὸς αὐτό· ἀλλ' ἐπὶ τῶν ὅλων καὶ ἀιδίων τοῦτο p. 119 οὐ θέμις τὸ τὰ κρείττονα | ἐστράφθαι πρὸς τὰ ἑαυτῶν καταδεέστερα· ἔσται γὰρ τὰ μὲν κρείττονα ἕνεκά του, τὰ δὲ καταδεέστερα οὗ ἕνεκα, ὅπερ ἐστὶν ἀτοπώτατον· οὐκ ἄρα τὸ ἑτεροκίνητον ταύτῃ ἀεὶ κινηθήσεται μὴ ἐστραμμένων τῶν ἀιδίων πρὸς αὐτό. Εἰ δὲ μέλλοι ποτὲ κινεῖσθαι, δεῖ αὐτὸ ὑπὸ ἄλλου προσάγεσθαι τῷ κινητικῷ αἰτίῳ, οὐχ ἁπλῶς τοπικῶς, ἀλλὰ καὶ κατ' ἐπιτηδειότητα. Εἰ οὖν ἄλλο αὐτὸ συνῆψε τῷ κινητικῷ αἰτίῳ ἀπό τινος χρόνου, οἷον ἥδε ἡ περιφορὰ καὶ τάδε τὰ σχήματα, πάλιν καὶ ἔν τινι χρόνῳ ἥδε ἡ περιφορὰ καὶ τὰ τοιάδε σχήματα αὐτὸ διαλύσει ἀπὸ τοῦ κινητικοῦ αἰτίου· ἁπλῶς γὰρ εἰπεῖν πάντα τὰ ὑπὸ κινουμένων αἰτίων γινόμενα ἐν χρόνῳ καὶ γίνεται καὶ φθείρεται, τὰ δὲ ὑπὸ ἀκινήτων ἀεὶ ὡσαύτως γίνεται. Ἀλλὰ πῶς, εἴποι τις ἄν, τὸ ὑπὸ σελήνην ἀεὶ κινεῖται, ἑτεροκίνητον ὄν; Ἡ οὐδέποτε τὸ αὐτό ἐστιν ἀεὶ οὐδὲ κατ' ἀριθμὸν διαμένει τὸ αὐτὸ, εἰ μὴ τῷ εἴδει· ὥστε εἰ μὴ τὸ αὐτό ἐστι κατὰ τὸ ὑποκείμενον, πῶς ἂν ἀεικίνητον εἴη; κατὰ μόρια γὰρ φθειρόμενον τῷ εἴδει ἀεὶ τὸ αὐτὸ διαμένει. Πῶς δὲ εἰ μήτε ἡ γένεσις ἑαυτὴν δύναται προσάγειν τῷ οὐρανῷ ἑτεροκίνητος οὖσα μήτε ὁ οὐρανὸς ἔστραπται πρὸς τὴν γένεσιν διὰ τὸ μὴ δεῖν τὰ κρείττονα ἐστράφθαι πρὸς τὰ καταδεέστερα, πόθεν καταδέχεται τὴν ἐπιτηδειότητα ἡ γένεσις; Ἢ ῥητέον ὅτι ἡ κίνησις τοῦ οὐρανοῦ δραστήριον οὖσα ποιεῖ εἰς τὰ ὑπὸ σελήνην, μὴ ἐστραμμένων τῶν οὐρανίων πρὸς αὐτὰ, ὥσπερ δὴ καὶ ὁ ἥλιος φωτίζει οὐκ ἐστραμμένος πρὸς τὰ φωτιζόμενα, ἀλλὰ τῇ συμπαθείᾳ. Ἀλλὰ πῶς ὁ οὐρανὸς σῶμα ὢν οὐκ ἔστιν ἑτεροκίνητος, ἀλλὰ αὐτοκίνητος; εἰ δὲ ἑτεροκίνητος, πῶς ἐστιν ἀεικίνητος; Ἢ ὁ οὐρανὸς οὔτε ἑτεροκίνητος οὔτε ἁπλῶς σῶμα, ἀλλὰ ἄυλον σῶμα· ἐροῦμεν δὲ ὅτι διττὸν τὸ αὐτοκίνητον, τὸ μὲν ἁπλοῦν καὶ ἀμερὲς, ὃ καὶ κυρίως ἐστὶν αὐτοκίνητον, τὸ δὲ ἐν διαστάσει ἤδη προεληλυθὸς, οὐχ ἁπλῶς μέντοι· καθὸ γὰρ ὤγκωται κατὰ τοσοῦτον τοῦ κυρίως αὐτοκινήτου παρήλλαξε, καθὸ μέντοι ζωῆς συμφυοῦς ἐν τῇ ἑαυτοῦ οὐσίᾳ μετέσχεν, ὥστε σε μὴ δύνασθαι χωρίζειν μηδὲ τῷ λόγῳ ἐκεῖνο τὸ σῶμα καὶ τὴν ζωὴν αὐτοῦ, κατὰ τοσοῦτον ἔχει καὶ τὴν αὐτοκινησίαν ἐν τῇ οἰκείᾳ οὐσίᾳ· ψυχῆς γὰρ καὶ ζωῆς

TIT 14 ἀπορία· λύσις AC 18 ἀπορία· λύσις AC 24 ἀπορία· λύσις A

NC 1 αὐτὸ ἑτεροκίνητον, τουτέστιν..., <κωλύει> scripsi sensum non textum restituere conatus (lacunam sic fere supplendam censeo : τουτέστιν <ὑπ' ἄλλου ἀγόμενον>) : αὐτῷ ἑτεροκινήτῳ τοῦτό ἐστιν (vel τουτέστι) libri : « *mancam esse orationem apparet* » Ast 2 δὲ scripsi : δὴ libri 5 του] τούτου M 6 μὴ] καὶ M 7 μέλλει M 9 ἄλλο] ἄλλος M 10 τινι] τι M (jam correxerat Ast) 12 αἰτίων om. M 13 ἀεὶ ὡς ὡσαύτως M 17 τὸ αὐτὸ] τῷ αὐτῷ M 21 δραστήριος M 23 ἐστραμμένως M 25 ἐστιν] ἔσται M 27 καὶ ante κυρίως om. M ἔστιν A 28 παρεληλυθὸς M 30 ἑαυτοῦ] αὐτοῦ M 32 τῇ οὐσίᾳ τῇ οἰκείᾳ M

[119] ἴδιον ἦν τὸ αὐτοκίνητον. Ὥσπερ οὖν σῶμα ἔνυλον ἀδύνατόν σε λαβεῖν ἀχρώματον καὶ ἀσχημάτιστον, οὕτως καὶ ἔτι μᾶλλον οὐδὲ τὸ οὐράνιον σῶμα ἄζων καὶ ἄψυχον. Καὶ οὕτω δὴ ἴδοις ἂν αὐτοῦ τὴν συμφυίαν τὴν πρὸς τὴν ψυχήν. Ἀεὶ <γὰρ> αἱ ἀκρότητες τῶν δευτέρων συνάπτουσι τοῖς ἐσχάτοις τῶν πρώτων, ἵνα καὶ συνέχειά τις ᾖ καὶ μηδὲν κένωμα μεταξύ· ἐπεὶ ἀπαιτήσει πάλιν ὁ λόγος ἑτέραν φύσιν τὴν ἀναπληρώσουσαν τὸ μεταξύ. Ἐπειδὴ τοίνυν πρῶτον μὲν τῶν σωμάτων τὸ αἰθέριον σῶμα, ἔσχατον δὲ τῶν νοητῶν ἡ ψυχή, συνάπτειν ὀφείλει ταῦτα πρὸς ἄλληλα καὶ ὁμοιότητα ἔχειν πρὸς ἑαυτά, ὥστε τὸ οὐράνιον σῶμα ψυχὴν εἶναι ὠγκωμένην καὶ ζωὴν ἐπὶ πᾶν διεστῶσαν· ζωὴ οὖν ἐν αὐτῷ συμφυὴς καὶ ἡ φύσις συναναχεκραμένη τῇ ζωῇ· πάμπολλα δὲ καὶ ἄλλα ἐν αὐτῷ εἴδη ζώων. Ἀλλ' ἔστω, φησίν, ἡ ψυχὴ καὶ αὐτοκίνητος καὶ ἀεικίνητος, ἔστ' ἂν f° 48 v° ᾖ μέντοι ψυχή |, οὐδὲν δὲ κωλύει αὐτὴν φθαρῆναι. Πρὸς τοῦτο ἐροῦμεν ὅτι· ἢ πρότερον μὲν αὐτῆς παύεται ἡ ἐνέργεια, τουτέστιν ἡ αὐτοκινησία, ὕστερον δὲ τὸ εἶναι αὐτῆς φθείρεται, ἢ πρότερον μὲν τὸ εἶναι, ὕστερον δὲ τὸ κινεῖσθαι, ἢ ἅμα ἀμφότερα· παρὰ ταῦτα γὰρ οὐκ ἔστι. Φθαρείσης μὲν οὖν τῆς οὐσίας τὴν ἐνέργειαν αὐτῆς σῴζεσθαι οὐδὲ πλάσαι δυνατόν· ἀλλ' οὐδὲ τὸ ἀνάπαλιν δυνατὸν ἐπὶ τῆς προκειμένης ὑποθέσεως φθαρείσης τῆς ἐνεργείας σῴζεσθαι τὴν οὐσίαν καὶ ὕστερον φθαρῆναι [τὴν οὐσίαν]· ἐπιλαθομένῳ γὰρ ἔοικε τῆς ὑποθέσεως ὁ τοῦτο λέγων, τῆς « ἔστ' ἂν ᾖ· » ἔλεγε γὰρ ἡ ὑπόθεσις ὅτι « ἔστ' ἂν ᾖ ψυχή, αὐτοκίνητος ἔσται· » ὥστε οὐ δυνατὸν φθαρῆναι μὲν αὐτοκινησίαν, μένειν δὲ ψυχήν· ἔστ' ἂν γὰρ ᾖ ψυχὴ αὐτοκίνητος ἔσται, ὡς λέγει ἡ ὑπόθεσις. Εἰ οὖν πᾶν μὲν τὸ φθειρόμενον προαποβάλλει τὴν ἐνέργειαν, τοῦτο δὲ ἔστ' ἂν ᾖ, ὃ καὶ ἡ ὑπόθεσις ἔχει, οὐκ ἀποβάλλει, αὐp. 120 τοκίνητον ὂν καὶ ἄφθαρτόν ἐστιν. Ἀλλὰ δὴ τὸ τρίτον τις λεγέτω, ὅτι | ἅμα συμφθείρεται ταῖς ἐνεργείαις ἑαυτῆς· ἐρωτήσομεν ἤδη, ὑφ' ἑαυτῆς ἢ ὑπό τινος τῶν ἔξωθεν; ἀλλ' ὑπὸ μὲν ἑαυτῆς οὐ φθείρεται, ἥ γε καὶ σῴζει ἑαυτὴν τῷ κινεῖν ἑαυτήν, ὑπὸ δὲ τῶν ἔξωθεν οὐ φθείρεται· γένοιτο γὰρ ἂν οὕτως ἑτεροκίνητον ἀντὶ αὐτοκινήτου· οὐκ ἄρα συμφθείρεται. Ὑπὸ τίνος δὲ ἂν καὶ φθείροιτο; ὑπὸ τῶν κρειττόνων; ἀλλὰ ταῦτα μᾶλλον αὐτῆς ἐστι σωστικά· ἀλλ' ὑπὸ τῶν χειρόνων; ἀλλὰ τούτων ἐστὶ δεσπότις καὶ τῶν κινήσεων αὐτῶν πηγή· δέκα γὰρ οὐσῶν τῶν κινήσεων, μόνη ἡ τῆς ψυχῆς κίνησις πασῶν ἐστι τῶν ἄλλων γεννητική. Τὸ δὲ αὐτοκίνητον τὴν ψυχὴν οὖσαν καὶ ἀεικίνητον εἶναι συντομώτερον <ἂν> καὶ οὕτω κατασκευάσειας, ὡς ἤδη

TIT 32 δέκα αἱ κινήσεις C 33 ἐπιχειρήματα τῆς ἀεικινησίας καὶ τοῦ τὴν ψυχὴν ἑαυτὴν παράγειν C

NC 2 τὸ om. M 4 γὰρ addidi αἱ] καὶ M 6 ἀναπληρώσασαν M 11 συναχεραμένη A sed syllabam να supra versum reposuit eadem manus καὶ ante ἄλλα om. M 12 τῶν ζωῶν M 13 ὅτι ἢ scripsi : ἢ ὅτι libri 16 τῆς om. M 19 τὴν οὐσίαν seclusi ἐπιλαθομένῳ] ἐπιλανθανομένῳ M 24 καὶ om. M 28 γὰρ] δ' M 29 ἀντὶ τοῦ M 30 ἀλλὰ ex ἅμα A 31 δεσπότις] δεσπότης M τῶν om. M 34 ἂν addidi

[120] καὶ ἐπὶ τῆς αὐτοκινησίας εἰρήκαμεν· τὸ ἑαυτό [τι] τελειοῦν καὶ παράγει ἑαυτό; τὸ μὲν γὰρ τελειοῦν τι τὸ ἀγαθὸν ἐκείνῳ παρέχει· τὸ δὲ ἁπλῶς παράγον τι τὸ εἶναι αὐτῷ παρέχει· κρεῖττον δὲ τὸ εὖ εἶναι τοῦ εἶναι· ἐπεὶ τοίνυν ἡ ψυχὴ ἑαυτὴν τελειοῖ, εἴπερ καὶ ἔστι τι ἐπ' αὐτῇ, καὶ παράγοι ἂν ἑαυτήν· ἔστι δὲ αὐτῆς οὐσία τὸ ζῆν, ἥ γε καὶ ἄλλοις τοῦτο ἐπιφέρει· ἑαυτῇ ἄρα παρέχει τὸ ζῆν καὶ τὸ εἶναι· τὸ δὲ ἀεὶ συνὸν τῷ παρέχοντι τὸ εἶναι, ἀεὶ ἔστιν· ἀεὶ δὲ ἑαυτῇ σύνεστιν ἡ ψυχή· ἀεὶ ἄρα ἔστιν ἡ ψυχή· ὥστε καὶ αὐτοκίνητος καὶ ἀεικίνητος ἀεί ἐστιν. Καὶ γὰρ τῷ ὄντι ἀδικοῖτο ἄν τι ἐν τῷ παντὶ ἀφαιρούμενον τούτου ὃ ἑαυτῷ παρέσχεν· ὅπερ μὲν γὰρ παρ' ἄλλου καταδέξεται οὐκ ἀδικεῖται τούτου ἀφαιρούμενον· ὅπερ δὲ ἑαυτῷ παρέχει, ἐὰν ὑπό τινος ἀφαιρῆται, ἀδικεῖται. — Ἡ δὲ ἐσχάτη πρότασις οὐδεμιᾶς ἀμφισβητήσεως δεῖται, τὸ ἀεικίνητον ἀθάνατον εἶναι· εἰ γὰρ καθ' ὑπόθεσιν θνητὸν καὶ φθαρτὸν εἴη, οὐκέτι ἔσται ἀεικίνητον. Ὥστε πᾶσαι αἱ προτάσεις οὐ μόνον εἰσὶν ἀληθεῖς, ἀλλὰ καὶ ᾗ αὐτὸ πᾶσαι, ὥστε καὶ ἐξισάζειν καὶ ἀντιστρέφειν. Τί οὖν, εἴποι τις ἄν, μόνη ἡ ψυχὴ ἀθάνατος; ὁ νοῦς οὖν οὐκ ἔστιν ἀθάνατος; Ἢ οὐδὲν ἄτοπον τὸν νοῦν λέγειν μὴ εἶναι ἀθάνατον· ὑπὲρ γὰρ τὸ ἀθάνατον εἶναί ἐστιν· εἰ δὲ βούλοιο αὐτὸν ἀθάνατον λέγειν, ἄλλο εἶδος λήψῃ αὐτοκινησίας καὶ ἄλλο ἀθανασίας, καὶ ὁμοίως ἐπὶ τῶν ἑξῆς ζῴων οἰκείως ἑκάστῳ· ἐπεὶ καὶ τὴν ἀλογίαν εἴποι τις ἂν ἀθάνατον, ὡς καὶ αὐτοκίνητον εἴποι ἄν, ἀλλ' οἰκείως ἐφ' ἑκάστου, ὅπερ εἴπομεν· πολὺ γὰρ πλάτος καὶ τῶν ἐν αἰῶνι ὄντων καὶ τῶν τὸν ἅπαντα χρόνον ὄντων καὶ τῶν ἐν μέρει τοῦ χρόνου· τὰ μὲν γὰρ μίαν ἡμέραν ζῇ, τὰ δὲ ἐνιαυτόν, τὰ δὲ δέκα ἔτη, ἄλλα δέ ἐστιν ἑκατὸν ἢ καὶ χίλια διαζῶντα ἔτη. Ἀλλὰ πῶς οὐχὶ καὶ ἡ μερικὴ φύσις ἔσται ἀθάνατος, αὐτοκίνητος οὖσα; Ἢ πρῶτον μὲν ἰστέον ὡς ὁ θεῖος Ἰάμβλιχος καὶ ὁ φιλόσοφος Πορφύριος οὐδὲ αὐτοκίνητόν φασι τὴν μερικὴν φύσιν, ἀλλ' ὄργανον οὖσαν τῆς ψυχῆς κινεῖσθαι μὲν ὑπ' αὐτῆς, κινεῖν δὲ τὰ σώματα, καὶ ταύτην εἶναί φασι τὴν ἐνάτην κίνησιν. Δῆλον δὲ ὅτι κἂν ἔχῃ τι αὐτοκίνητον εἰδωλικῶς αὐτὸ ἔχει καὶ ὡς ὄργανον. Εἰ δέ τι δεῖ ἀντιφθεγγόμενόν τισι τῶν φιλοσόφων εἰπεῖν, οὐδὲ κατὰ πάντα κρείττων ἐστὶν ἡ φύσις τῶν σωμάτων, ἀλλ' ἔστιν ὅπῃ καὶ καταδεεστέρα.

20 εἴπομεν l. 19   25 Ἰάμβλιχος Πορφύριος in libris deperditis : cf. 9, 10

TIT 15 ἀπορία περὶ τοῦ νοῦ· λύσις C   20 πολὺ πλάτος ζῴων C   23 ἀπορία <περὶ τῆς μερικῆς φύσεως C>· λύσις AC   27 ποία ἐστὶν ἡ ἐνάτη κίνησις C

NC 1 τι ante τελειοῦν seclusi   2 τι ante τὸ om. M   3 τί A   4 κἂν παράγοι ἂν A   5 καὶ om. M   10 καταδέχεται (?)   13-14 ἀεί εστιν A   14 ᾗ αὐτὸ πᾶσαι : « *hic nonnulla intercidisse suspicor* » Ast : sed ᾗ αὐτό formula Hermiana cf. 102, 28   καὶ post ὥστε om. M   15 οὖν post νοῦς om. M   17 εἶναι ἐστὶν A   ἀθάνατον εἶναι λέγειν M   18 λήψῃ (sic A cum ι suscripto)] λήψει M   19 ἀλογίαν] ἀναλογίαν M : codicis A librarius prius ἀναλογίαν scripserat, deinde litteris ἀν deletis et spiritu supra alterum α rescripto ἀλογίαν effecit   καὶ om. M   26 et 27 φασὶ A   27 σώματα] σωζόμενα M   ἐννάτην M

[120] Καθὸ μὲν γὰρ ἀσώματος οὐσία ἐστὶ, καὶ καθὸ διαπλάττει τὰ σώματα καὶ κοσμεῖ, κρείττων αὐτῶν ἐστι· καθὸ δὲ ἐν ὑποκειμένοις αὐτοῖς ἐστι καὶ τὸ εἶναι ἐν αὐτοῖς ἔχει, χείρων αὐτῶν ἐστιν, ὥσπερ ἡ ἐν τοῖς κατόπτροις ἔμφασις ἀσφαλείᾳ μὲν καὶ κάλλει καὶ διαμορφώσεως ἀκριβείᾳ τοῦ κατόπτρου ὑπερέχει, τῇ δὲ ὑποστάσει ἔστιν ὡς ἐλαττοῦται· τὸ μὲν γὰρ κάτοπτρον οὐσιωδέστερον, ἡ δὲ ἔμφασις καὶ τὸ εἰδωλικῶς εἶναι παρὰ τοῦ κατόπτρου ἔχει καὶ αὐτοῦ χάριν ὅπως ποτέ ἐστι, καὶ διὰ τοῦτο ἂν εἴη ἀμυδροτέρα. Οὕτως οὖν καὶ ἡ μερικὴ φύσις ἔχει πρὸς τὸ σῶμα· ἡ γὰρ θεία καὶ τὸ αὐτοκίνητον ἔχει δευτέρως, ὡς εἴπομεν, καὶ συμφυής ἐστι τῷ θείῳ σώματι. Ἐκ τούτου οὖν τοῦ συλλογισμοῦ δείκνυται ὅτι ἡ ψυχὴ ὑφ' ἑαυτῆς οὐ φθεί-
f° 49 r° ρεται. Οὐ θαυμαστὸν δὲ τοῦτο δὴ | ἐπὶ τῆς ψυχῆς, ὅτι οὐ τὸ μέν τι αὐτῆς κινεῖ μόνον τὸ δὲ κινεῖται μόνον, ἀλλὰ πᾶν αὐτῆς μόριον ὃ ἂν λάβῃς καὶ κινεῖ καὶ κινεῖται κατὰ τὸ αὐτό. Τίς δὲ ἡ κίνησις ἐπὶ τῆς ψυχῆς, ἔτι ἄν τις
p. 121 σαφέστερον ἐπιποθήσοι μαθεῖν. Ὅτι μὲν οὐδεμία τῶν | σωματικῶν κινήσεων οὐδ' <ἡ> ἐνάτη, δῆλον· οὐ γὰρ αὐτοκίνητοι αὗται· ἀλλ' οὐδὲ αἱ αὐτῆς ἴδιαι πᾶσαι τὴν προκειμένην δηλοῦσι κίνησιν, οἷον βουλήσεις, δόξαι, θυμοί, ἐπιθυμίαι· οὐ γὰρ ἀεὶ ταύτας κινεῖται, ἡμεῖς δὲ ζητοῦμεν τὴν ἀεὶ αὐτῇ ὑπάρχουσαν. Ἔστιν οὖν αὕτη ἡ συμφυὴς αὐτῇ ζωή, ἣν ἑαυτῇ παρέχει καὶ καθ' ἣν αὐτὴ κινεῖται· καὶ αὗται μὲν οὖν, λέγω δὴ βουλήσεις καὶ δόξαι καὶ τὰ τοιαῦτα, εἰσὶν αὐτῆς καὶ ζωαὶ καὶ κινήσεις· ἀλλ' οὐκ ἀεὶ αὗται ὑπάρχουσιν αὐτῇ, ἀλλά ποτε, οἷον ἐξ ἀναδιπλώσεως. Μάλιστα δὲ ἐκ τοῦ τελειοῦν ἑαυτὴν τὴν ψυχὴν λάβοις ἂν αὐτῆς τὸ αὐτοκίνητον καὶ ἀποχωρίσειας τὴν λογικὴν ψυχὴν καὶ τῆς ἀλόγου καὶ τῆς φύσεως ταύτῃ· τῆς γὰρ λογικῆς ἐστι ψυχῆς τὸ ἑαυτὴν τελειοῦν καὶ ἀνεγείρειν καὶ ἐπιστρέφειν εἰς ἑαυτήν, ὃ οὐδεμιᾷ τῶν ἄλλων ὑπάρχει, καὶ κατὰ ταύτην τὴν ἐκδοχὴν ἁρμόζει [λέγειν] τὸ περὶ θείας τε καὶ ἀνθρωπίνης λέγειν αὐτὸν ψυχῆς, τουτέστι πάσης λογικῆς καὶ οὐχὶ περὶ τῆς ἀλόγου καὶ τῆς φύσεως.

θ'. Ἀλλὰ καὶ τοῖς ἄλλοις ὅσα κινεῖται τοῦτο πηγὴ καὶ ἀρχὴ τῆς κινήσεως· ἀρχὴ δὲ ἀγένητον, καὶ τὰ ἑξῆς] 245 C.

Δεύτερον συλλογισμὸν ἐκτίθεται ὅτι ἡ ψυχὴ ἀθάνατος. Ἔστι δὲ τοιοῦτος·

TIT 8 ποταπὴ ἡ θεία φύσις C   13 ποία ἡ ψυχὴ κίνησις C   18 ὅτι ἡ συμφυὴς τῇ ψυχῇ ζωὴ ἐνταῦθα κίνησις C   30 ἐνταῦ|θα ἡ | ἀνάπτυ[ξις | τοῦ δευ[τέρου | συλ[λογισμοῦ A : unde conjeceris etiam συλλογισμοῦ scribendum esse 108, 11 TIT

NC 1 γὰρ] γὰρ τὸ M : γάρ τι Ast   7 ὁπώς ποτέ ἐστι A   8 φύσις ἔχει] φύσις ἐκεῖ A (correxit a)   11 μέν τι] μέντοι M   14 μὲν οὖν M   15 ἡ addidi   ἐννάτη M   οὐδὲ parum legitur in A : spatium vacuum in D (in margine λείπει τι) et E   17-18 ἀεὶ αὐτῇ] αὕτη ἀεὶ M : αὐτῇ ἀεὶ Ast   19 δὴ] δὲ M   δόξαι] δόξας M   21 ἀλλὰ ποτὲ A   22 ἀποχωρήσειας M (jam correxerat Ast)   24 ἀνεγείρειν] συνεγείρειν M .   25 τὴν om. M   26 λέγειν seclusi   λέγειν αὐτὸν om. M   28 non vocis ἀλλὰ sed vocis ἀρχὴ primam litteram errore librarius rubricavit in A

[121] ἡ ψυχὴ αὐτοκίνητος· τὸ αὐτοκίνητον ἀρχὴ κινήσεως· ἡ ἀρχὴ τῆς κινήσεως ἀγένητον· τὸ ἀγένητον ἄφθαρτον, τὸ ἄφθαρτον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος. Πέντε αἱ πᾶσαι προτάσεις. Τὴν μὲν οὖν ἐλάττονα πασῶν τὴν κοινὴν ἀμφοτέρων ἐκθήσεται μετὰ ταῦτα· ἱκανῶς δὲ καὶ ἡμεῖς ὑπεμνήσαμεν. Τὴν δὲ τετάρτην καὶ πέμπτην κατασκευάσει μὲν καὶ αὐτὸς, ἱκανῶς δὲ καὶ ὁ Ἀριστοτέλης ἐν τῇ Περὶ οὐρανοῦ κατεσκεύασε. Περὶ δὲ τῆς δευτέρας καὶ τρίτης ὁ πολὺς ἡμῖν ἔσται λόγος. Ὁ μὲν οὖν πρῶτος ῥηθεὶς τῶν συλλογισμῶν τὴν αὐτάρκειαν τῆς ψυχῆς ἐδείκνυ· οὗτος δὲ ὁ δεύτερος τὴν ἐκτένειαν, ὥσπερ δὴ πάντα τὰ θεῖα καὶ αὐτάρκη ἐστὶ καὶ ἐκτενῆ· ἐκτενὲς δέ ἐστι τὸ μεταδίδον τῶν ἑαυτοῦ καὶ τοῖς ἄλλοις· τοῦτο γὰρ τῆς ἀγαθοειδοῦς καὶ ἀφθόνου φύσεώς ἐστι χαρακτηριστικὸν καὶ τοῦ ὑπερπλήρους τῆς δυνάμεως. Βούλεται οὖν οὗτος ὁ λόγος καὶ ἐπὶ τῆς ψυχῆς τὴν ἐκτένειαν τὴν εἰς τὰ ἄλλα αὐτῆς δηλῶσαι. Ἡ μὲν οὖν πρότασις ἡ λέγουσα « τὸ αὐτοκίνητον ἀρχὴ κινήσεως, » ἱκανῶς ἐν Νόμοις παρ' αὐτοῦ κατεσκεύασται ἀπὸ τοῦ εἰ σταίη τὰ πάντα πρῶτα ἂν κινηθῆναι τὰ αὐτοκίνητα. Καὶ ἔχει ἡ τάξις τῶν πραγμάτων οὕτως· πρῶτόν ἐστι τὸ ἀκίνητον, δεύτερον τὸ αὐτοκίνητον, τρίτον τὸ ἑτεροκίνητον, πολλοῦ πλάτους ἐν ἑκάστῳ τούτων θεωρουμένου, ὥστε πρῶτον καὶ ἀρχὴ τῶν κινουμένων τὸ αὐτοκίνητον. « Ἡ δὲ ἀρχὴ » φησὶν « ἀγένητος· » τουτέστιν ἡ ἀρχὴ τῆς κινήσεως· τοῦτο γὰρ πρόκειται· αὐτὸς δὲ καθολικωτέραν ποιῶν τὴν πρότασιν ἐπὶ πᾶσαν ἀρχὴν ἐκτείνει, ὅτι πᾶσα ἡ ἀρχὴ καθὸ ἀρχὴ ἀγένητος. Ἐνταῦθα δὴ πολλοὶ τῶν πρεσβυτέρων ἐταράχθησαν, πῶς εἶπεν ὁ Πλάτων τὴν ἀρχὴν ἀγένητον· εἰ γὰρ περὶ τῆς πάντων ἀρχῆς λέγει οἷον περὶ τοῦ πρώτου θεοῦ, ἀληθὴς μὲν ὁ λόγος, ἀλλ' οὐ περὶ ταύτης πρόκειται νῦν λέγειν· εἰ δὲ περὶ πάσης ἁπλῶς ἀρχῆς λέγει, πῶς ἐστιν ἀληθὴς ὁ λόγος; Ἰδοὺ γὰρ καὶ ὁ Πηλεὺς ἀρχὴ τοῦ Ἀχιλλέως· οὐ μὴν ἀγένητος ὁ Πηλεύς. Τίνα οὖν λέγει ἀρχὴν ἴδωμεν. Ἐροῦμεν δὴ ὅτι κυρίως ἀρχή ἐστιν ἡ πρώτως ὅλον τὸ εἶδος παράγουσα, οἷον τὸ αὐτόισον τὰ παντοδαπὰ ἴσα παράγει καὶ ὁ αὐτοάνθρωπος τοὺς πανταχοῦ ἀνθρώπους παράγει. Οὕτως οὖν ἐπειδὴ καὶ ἡ ψυχὴ ἀρχή ἐστι κινήσεως, πάντα ἂν τὰ εἴδη τῆς κινήσεως δύναιτο ποιεῖν καὶ κατὰ τόπον μετα-

4 ὑπεμνήσαμεν 109, 12 sqq. 5 κατασκευάσει 245 E 6 *De caelo* I 12, 281 *b* 34 ἀδύνατον ἄρα καὶ ἀεὶ μέν τι εἶναι, φθαρτὸν δ' εἶναι 14 *Leg.* X 895 A : cf. 106, 24

TIT 9 τί τὸ ἐκτενές A τί ἐκτενὲς καὶ ἐκτένεια C 13 ὅτι τὸ αὐτοκίνητον ἀρχὴ κινήσεως ἐν Νόμοις κατεσκευάσθη C 18 πῶς ἡ ἀρχὴ ἀγέννητος C

NC 1 τῆς om. M 3 πασῶν] πάσην M κοινὴν] κοινὸν A[a] 5 ὁ om. M 7 ἡμῖν] ἡμῶν M 10 τοῦτο] τοῦ M 10-11 καὶ τῆς ἀφθόνου M 11 φύσεως ἔστι A 12 τῆς om. M 13 οὖν om. M 15 τὰ post σταίη] κατὰ M (jam correxerat Ast) 17 τρίτον — 18 αὐτοκίνητον om. E πολλοῦ — 18 αὐτοκίνητον om. M 18-19 ἀρχὴ δὲ ἀγένητον Plat. 23 μὲν om. M 24 ἀρχῆς ἁπλῶς M 26 Ἀχιλλέος M 28 αὐτὸ ἴσον M ἶσα A ut solet αὐτοάνθρωπος] αὐτὸς ἄνθρωπος M

[116] τὸ ζῆν (ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος), ἔστιν ἃ παρ' ἑαυτῶν ἔχει τὸ ζῆν, ὥσπερ δὴ πάλιν ὁ οὐρανὸς καὶ ὁ νοῦς (οὐ γὰρ ἐπείσακτον ἔχειν αὐτοὺς, ἀλλὰ συμφυᾶ τὴν ζωήν)· καὶ πάλιν ὡς ἐπὶ τοῦ νοῦ, ὄντων ἃ παρ' ἄλλων καταδέχεται τὸ νοεῖν καὶ νοητικὰ γίνονται, ὥσπερ ὁ δυνάμει νοῦς καθ' αὑτὸν, ἔστιν ὁ ἐνεργείᾳ νοῦς ὃς παρ' ἑαυτοῦ ἔχει τὸ νοεῖν καὶ ἑαυτὸν νοεῖ· οὕτω δὴ ὄντος τοῦ ὑφ' ἑτέρου κινουμένου, ἀνάγκη εἶναι καὶ ὃ ἑαυτῷ αἴτιόν ἐστι τοῦ κινεῖσθαι καὶ ἑαυτῷ τοῦτο χορηγεῖ. Καὶ γὰρ ἄλλως ἄλογον ἀπὸ τοῦ ἑτεροκινήτου ἐπὶ τὸ ἀκίνητον πάντη ἐλθεῖν, μὴ μεταξὺ τὸ αὐτοκίνητον παραλαβόντας ὥσπερ ἄλογον ἀπὸ τοῦ γινομένου καί ποτε ὄντος ἐπὶ τὸ μὴ ὂν τὸ ὑπερούσιον ἐλθεῖν, μὴ μεταξὺ τὸ ὂν παραλαβόντας· ἄδηλον γὰρ ἔσται ποῖον μὴ ὂν παραλαμβάνομεν, πότερον τὸ χεῖρον τοῦ γινομένου ἢ τὸ κρεῖττον, τοῦ μεταξὺ μὴ παραληφθέντος, ὅπερ ἐστὶ τὸ ἀεὶ ὄν· οὕτω δὴ καὶ ἐπὶ κινήσεως ἄδηλον ἔσται ποῖον ἀκίνητον παραλαμβάνομεν, πότερον τὸ καταδεέστερον τοῦ ἑτεροκινήτου ἢ τὸ ὑπέρτερον, μὴ μεταξὺ τοῦ αὐτοκινήτου παραληφθέντος· ὁμοίως δὴ καὶ ἐπὶ ζωῆς καὶ νοῦ καὶ τῶν ἄλλων.

Αὕτη γοῦν ἡ αὐτοκίνητος κίνησις καὶ ἐν τοῖς Νόμοις ὑπὸ τοῦ φιλοσόφου πρώτη πασῶν καὶ ἀρχὴ τῶν ἄλλων κινήσεων ἀποδέδεικται, καὶ αἰτία κατὰ πάντα τὰ σημαινόμενα τῆς αἰτίας. Καὶ γὰρ ποιητικὴ καὶ παραδειγματικὴ καὶ τελικὴ αὐτῶν αἰτία (αἳ καὶ μόναι κυρίως εἰσὶν αἰτίαι· τὸ γὰρ εἰδικὸν ἐν αὐτῷ ἐστι τῷ ἀποτελέσματι καὶ αὐτό ἐστι τὸ ἀποτέλεσμα, τὸ δὲ ὑλικὸν ἔτι πλέον πόρρω ἐστὶ τοῦ κυρίως αἰτία εἶναι· τῶν γὰρ ὧν οὐκ ἄνευ λόγον ἐπέχει). Ὅτι μὲν οὖν ποιητικὴ αἰτία ἐστὶ τῶν ἄλλων κινήσεων τὸ αὐτοκίνητον δῆλον, ὡς αὐτὸς ἐν Νόμοις ἀποδείκνυσιν· εἰ γὰρ σταίη, φησὶ, τὰ πάντα, ποῖον πρῶτον κινηθήσεται; ἢ δῆλον ὅτι τὸ αὐτοκίνητον· εἰ γὰρ τὸ πλησιάζον τῷ κινητικῷ αἰτίῳ κινεῖται, δηλονότι πάντων τῶν ὄντων ἑτεροκινήτων ὄντων, τοῦ δὲ αὐτοκινήτου ἐν ἑαυτῷ ἔχοντος τὸ κινητικὸν καὶ οὐχ ἁπλῶς πλησιάζοντος πρὸς αὐτὸ, ἀλλ' ἡνωμένου, μᾶλλον δὲ οὐσίαν ἔχοντος τὴν κίνησιν, δῆλον ὡς αὐτὸ πρῶτον κινηθὲν τἄλλα κινήσει. Ὥσπερ γὰρ εἰ ὁ ἥλιος μὴ ἔδυνε καὶ ἀνέτελλεν ἀλλ' ἀκίνητος ἦν,

1 Aristot. *de natur. ausc.* II 2, 11 17 *Leg.* X 894 D 24 *ibid.* 895 A

TIT 17 ἡ αὐτοκίνητος κίνησις αἰτία κατὰ πάντα τὰ σημαινόμενα τῆς αἰτίας C

NC 1 ἔστιν scripsi coll. 105, 24 : ἔστι δ' libri 3 ὡς ἐπὶ τοῦ νοῦ, ὄντων scripsi : ὥσπερ ὄντων libri 5 κατ' αὐτὸν a 7 ὃ ἑαυτῷ] ὃ αὐτῷ M 9 et 10 παραλαβόντα M 10 ποτέ A 12 μὴ om. M 14 τὸ post πότερον om. M 15 ἐπὶ τῆς ζωῆς M 16 τῶν om. M 17 γοῦν] οὖν M αὐτοκίνησις, sed ος statim suprascr. A 20 τὸ E²M : εἰ AE¹ (?) 22 ἔτι] ἐπὶ M πλέον ex emend. A de verbis τῶν ὧν οὐκ ἄνευ cf. Olympiod. in *Phædon.* 84, 19 Finckh 29 τἄλλα A ut solet 30 εἰ om. M (jam correxerat Ast)

[116] ἠπορήσαμεν ἂν τί ἐστι τὸ αἴτιον τοῦ τοσούτου φωτὸς, εἰ δὲ καὶ αὐτὸς ἀόρατος ὢν κατηύγαζεν, ἔτι πλέον ἂν ἠπορήσαμεν, οὕτω δὴ καὶ ἐπὶ ψυχῆς, ἐπειδὴ ἀόρατος οὖσα αἰτία ἐστὶ πασῶν τῶν κινήσεων, ἀπορίαν ἡμῖν παρέσχεν. Ὥσπερ οὖν ὁ ἥλιος τὰ πάντα φωτίζων ἑαυτὸν πολλῷ πλέον φωτεινὸν ποιεῖ, οὕτω δὴ καὶ ἡ ψυχὴ τὰ πάντα κινοῦσα ἑαυτὴν πολὺ| p. 117 πρότερον κινεῖ· ἕκαστον γὰρ ἀφ' ἑαυτοῦ τῆς ἐνεργείας ἄρχεται. — Καὶ παραδειγματικὰς δὲ εὕροις ἂν τὰς τῆς ψυχῆς κινήσεις τῶν σωματικῶν κινήσεων· λάβωμεν δὲ τὰς σωματικάς· εἰσὶ δὲ αὗται ὀκτὼ τὸν ἀριθμὸν, παθητικαὶ οὖσαι μᾶλλον ἢ ποιητικαί· γένεσις φθορὰ, αὔξησις μείωσις, φορὰ περιφορὰ, σύγκρισις διάκρισις. Ἐν οὖν τῇ ψυχῇ αὔξησίς ἐστιν ὅταν ἑαυτὴν ἐπιδοῦσα τοῖς κρείττοσι πολλαπλασιάζῃ ἑαυτῆς τὰς νοήσεις· φθίσις δὲ ὅταν ἐκεῖθεν ἀφισταμένη ἀσθενεστέρα ἑαυτῆς γίνηται καὶ ἀργοτέρα ταῖς νοήσεσι· πάλιν γένεσιν μὲν <φαμεν> τὴν ἐντεῦθεν αὐτῆς ἄνοδον, φθορὰν δὲ τὴν ἐσχάτην ἀπὸ τοῦ νοητοῦ πτῶσιν· καὶ σύγκρισιν μὲν τὴν ἀθρόαν νόησιν καὶ τὴν τῶν εἰδῶν ἅμα θεωρίαν, διάκρισιν δὲ τὴν μερικωτέραν νόησιν καὶ τὴν κατ' εἶδος ἓν θέαν <ἂν> εἴποιμεν· φορὰ δὴ ἡ κατ' εὐθεῖαν αὐτῆς καὶ εἰς γένεσιν κίνησις, περιφορὰ δὲ ἡ τῶν εἰδῶν περίοδος καὶ ἀνέλιξις καὶ εἰς τὸ αὐτὸ ἀποκατάστασις. Οἰκειότερον μὲν οὖν ἀποδοίη τις ἂν τὴν μὲν περιφορὰν ταῖς θείαις ψυχαῖς, τὴν δὲ φορὰν ταῖς ἡμετέραις· ἴδοις δ' ἂν καὶ ἐν ταῖς θείαις ἀμφοτέρας τὰς κινήσεις· εὐθείας γὰρ, φησὶ, λαβὼν ὁ δημιουργὸς εἰς κύκλον κατέκαμψε· δῆλον οὖν ὡς οὐκ ἄνευ τοῦ εὐθέος ἡ κυκλική ἐστι κάμψις καὶ νόησις τῶν ψυχῶν· τὸ γὰρ καθαρῶς κύκλῳ κινεῖσθαι μόνῳ ἀπονέμει τῷ νῷ. Ἡ δὲ ἐνάτη κίνησις ἥτις ἐστὶ τῶν ἀσωμάτων περὶ τοῖς σώμασιν, οἷαι θερμότητες ἢ ψύξεις ἢ ἐμψυχίαι, ἔχει τὴν παραδειγματικὴν αἰτίαν ἐν τῇ ψυχῇ, καθὸ ἡ ψυχὴ τοῖς σώμασιν ἐνδίδωσι ζωήν. — Ὅτι μὲν οὖν καὶ παραδειγματικαί εἰσιν <αἰτίαι> αἱ τῶν ψυχῶν κινήσεις τῶν σωματικῶν ἀρκούντως ὑπομέμνηται· λείπεται δὲ καὶ τελικὰς αὐτὰς ἀποδεῖξαι, ἐπειδὴ καὶ ὁ σπουδαῖος ἐνταῦθα καὶ ἔμ-

20 *Tim.* 36 B

TIT 8 ὀκτώ φησι τὰς σωματικὰς κινήσεις C

NC 1 ἂν om. M 3 ἀόρατος] ἀσώματος M τῶν omisit M 6 τῆς ἐνεργείας] τὰς ἐνεργείας L 11 πολλαπλασιάζει L φθίσις, suprascripto eadem manu μείωσις in ll' 12 ἑαυτῆς] ἑαυτῇ M (jam correxerat Ast) 13 φαμεν addidi cf. *addenda* et *corrigenda*, 7 16 νόησιν] γένεσιν L (sed in margine adscripto γρ. νόησιν) ἂν addidi δὴ] δὲ A Lll' 18 ἀποκατάστασις] κατάστασις M 21 λαβὼν ὁ δημιουργὸς E[1] 22 ἡ omiserunt Lll'M τὸ μὲν γὰρ E 23 ἐννάτη M ἐστὶ περὶ τῶν L 24 ἀσωμάτων] σωμάτων l' οἷαι] οἷον M : οἷον αἱ Lll' 26 αἰτίαι addidi 27 τῶν ψυχῶν] τῆς ψυχῆς ELll' ὑπομέμνησται M (vel fortasse Ast) : ὑπέμνησται AELll' (de ceteris codicibus nihil notavi) quod monstrum recipere non ausus sum 28 potius δὴ quam δὲ in A legeris καὶ τὰς τελικὰς ll' καὶ ὁ ἔμφρων L

[116] τὸ ζῆν (ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ καὶ ἥλιος), ἔστιν ἃ παρ' ἑαυτῶν ἔχει τὸ ζῆν, ὥσπερ δὴ πάλιν ὁ οὐρανὸς καὶ ὁ νοῦς (οὐ γὰρ ἐπείσακτον ἔχειν αὐτούς, ἀλλὰ συμφυᾶ τὴν ζωήν)· καὶ πάλιν ὡς ἐπὶ τοῦ νοῦ, ὄντων ἃ παρ' ἄλλων καταδέχεται τὸ νοεῖν καὶ νοητικὰ γίνονται, ὥσπερ ὁ δυνάμει νοῦς καθ' αὑτόν, ἔστιν ὁ ἐνεργείᾳ νοῦς ὃς παρ' ἑαυτοῦ ἔχει τὸ νοεῖν καὶ ἑαυτὸν νοεῖ· οὕτω δὴ ὄντος τοῦ ὑφ' ἑτέρου κινουμένου, ἀνάγκη εἶναι καὶ ὃ ἑαυτῷ αἴτιόν ἐστι τοῦ κινεῖσθαι καὶ ἑαυτῷ τοῦτο χορηγεῖ. Καὶ γὰρ ἄλλως ἄλογον ἀπὸ τοῦ ἑτεροκινήτου ἐπὶ τὸ ἀκίνητον πάντη ἐλθεῖν, μὴ μεταξὺ τὸ αὐτοκίνητον παραλαβόντας ὥσπερ ἄλογον ἀπὸ τοῦ γινομένου καί ποτε ὄντος ἐπὶ τὸ μὴ ὂν τὸ ὑπερούσιον ἐλθεῖν, μὴ μεταξὺ τὸ ὂν παραλαβόντας· ἄδηλον γὰρ ἔσται ποῖον μὴ ὂν παραλαμβάνομεν, πότερον τὸ χεῖρον τοῦ γινομένου ἢ τὸ κρεῖττον, τοῦ μεταξὺ μὴ παραληφθέντος, ὅπερ ἐστὶ τὸ ἀεὶ ὄν· οὕτω δὴ καὶ ἐπὶ κινήσεως ἄδηλον ἔσται ποῖον ἀκίνητον παραλαμβάνομεν, πότερον τὸ καταδεέστερον τοῦ ἑτεροκινήτου ἢ τὸ ὑπέρτερον, μὴ μεταξὺ τοῦ αὐτοκινήτου παραληφθέντος· ὁμοίως δὴ καὶ ἐπὶ ζωῆς καὶ νοῦ καὶ τῶν ἄλλων.

Αὕτη γοῦν ἡ αὐτοκίνητος κίνησις καὶ ἐν τοῖς Νόμοις ὑπὸ τοῦ φιλοσόφου πρώτη πασῶν καὶ ἀρχὴ τῶν ἄλλων κινήσεων ἀποδέδεικται, καὶ αἰτία κατὰ πάντα τὰ σημαινόμενα τῆς αἰτίας. Καὶ γὰρ ποιητικὴ καὶ παραδειγματικὴ καὶ τελικὴ αὐτῶν αἰτία (αἳ καὶ μόναι κυρίως εἰσὶν αἰτίαι· τὸ γὰρ εἰδικὸν ἐν αὐτῷ ἐστι τῷ ἀποτελέσματι καὶ αὐτό ἐστι τὸ ἀποτέλεσμα, τὸ δὲ ὑλικὸν ἔτι πλέον πόρρω ἐστὶ τοῦ κυρίως αἰτία εἶναι· τῶν γὰρ ὧν οὐκ ἄνευ λόγον ἐπέχει). Ὅτι μὲν οὖν ποιητικὴ αἰτία ἐστὶ τῶν ἄλλων κινήσεων τὸ αὐτοκίνητον δῆλον, ὡς αὐτὸς ἐν Νόμοις ἀποδείκνυσιν· εἰ γὰρ σταίη, φησί, τὰ πάντα, ποῖον πρῶτον κινηθήσεται; ἢ δῆλον ὅτι τὸ αὐτοκίνητον· εἰ γὰρ τὸ πλησιάζον τῷ κινητικῷ αἰτίῳ κινεῖται, δηλονότι πάντων τῶν ὄντων ἑτεροκινήτων ὄντων, τοῦ δὲ αὐτοκινήτου ἐν ἑαυτῷ ἔχοντος τὸ κινητικὸν καὶ οὐχ ἁπλῶς πλησιάζοντος πρὸς αὐτό, ἀλλ' ἡνωμένου, μᾶλλον δὲ οὐσίαν ἔχοντος τὴν κίνησιν, δῆλον ὡς αὐτὸ πρῶτον κινηθὲν τἆλλα κινήσει. Ὥσπερ γὰρ εἰ ὁ ἥλιος μὴ ἔδυνε καὶ ἀνέτελλεν ἀλλ' ἀκίνητος ἦν,

1 Aristot. *de natur. ausc.* II 2, 11 17 *Leg.* X 894 D 24 *ibid.* 895 A

TIT 17 ἡ αὐτοκίνητος κίνησις αἰτία κατὰ πάντα τὰ σημαινόμενα τῆς αἰτίας C

NC 1 ἔστιν scripsi coll. 105, 24 : ἔστι δ' libri 3 ὡς ἐπὶ τοῦ νοῦ, ὄντων scripsi : ὥσπερ ὄντων libri 5 κατ' αὐτὸν a 7 ὃ ἑαυτῷ] ὃ αὐτῷ M 9 et 10 παραλαβόντα M 10 ποτέ A 12 μὴ om. M 14 τὸ post πότερον om. M 15 ἐπὶ τῆς ζωῆς M 16 τῶν om. M 17 γοῦν] οὖν M αὐτοκίνησις, sed ος statim suprascr. A 20 τὸ E²M : εἰ AE¹ (?) 22 ἔτι] ἐπὶ M πλέον ex emend. A de verbis τῶν ὧν οὐκ ἄνευ cf. Olympiod. in *Phædon.* 84, 19 Finckh 29 τἆλλα A ut solet 30 εἰ om. M (jam correxerat Ast)

[116] ἠπορήσαμεν ἂν τί ἐστι τὸ αἴτιον τοῦ τοσούτου φωτός, εἰ δὲ καὶ αὐτὸς ἀόρατος ὢν κατηύγαζεν, ἔτι πλέον ἂν ἠπορήσαμεν, οὕτω δὴ καὶ ἐπὶ ψυχῆς, ἐπειδὴ ἀόρατος οὖσα αἰτία ἐστὶ πασῶν τῶν κινήσεων, ἀπορίαν ἡμῖν παρέσχεν. Ὥσπερ οὖν ὁ ἥλιος τὰ πάντα φωτίζων ἑαυτὸν πολλῷ πλέον φωτεινὸν ποιεῖ, οὕτω δὴ καὶ ἡ ψυχὴ τὰ πάντα κινοῦσα ἑαυτὴν πολὺ|
p. 117 πρότερον κινεῖ· ἕκαστον γὰρ ἀφ' ἑαυτοῦ τῆς ἐνεργείας ἄρχεται. — Καὶ παραδειγματικὰς δὲ εὕροις ἂν τὰς τῆς ψυχῆς κινήσεις τῶν σωματικῶν κινήσεων· λάβωμεν δὲ τὰς σωματικάς· εἰσὶ δὲ αὗται ὀκτὼ τὸν ἀριθμόν, παθητικαὶ οὖσαι μᾶλλον ἢ ποιητικαί· γένεσις φθορά, αὔξησις μείωσις, φορὰ περιφορά, σύγκρισις διάκρισις. Ἐν οὖν τῇ ψυχῇ αὔξησίς ἐστιν ὅταν ἑαυτὴν ἐπιδοῦσα τοῖς κρείττοσι πολλαπλασιάζῃ ἑαυτῆς τὰς νοήσεις· φθίσις δὲ ὅταν ἐκεῖθεν ἀφισταμένη ἀσθενεστέρα ἑαυτῆς γίνηται καὶ ἀργοτέρα ταῖς νοήσεσι· πάλιν γένεσιν μὲν <φαμεν> τὴν ἐντεῦθεν αὐτῆς ἄνοδον, φθορὰν δὲ τὴν ἐσχάτην ἀπὸ τοῦ νοητοῦ πτῶσιν· καὶ σύγκρισιν μὲν τὴν ἀθρόαν νόησιν καὶ τὴν τῶν εἰδῶν ἅμα θεωρίαν, διάκρισιν δὲ τὴν μερικωτέραν νόησιν καὶ τὴν κατ' εἶδος ἓν θέαν <ἂν> εἴποιμεν· φορὰ δὴ ἡ κατ' εὐθεῖαν αὐτῆς καὶ εἰς γένεσιν κίνησις, περιφορὰ δὲ ἡ τῶν εἰδῶν περίοδος καὶ ἀνέλιξις καὶ εἰς τὸ αὐτὸ ἀποκατάστασις. Οἰκειότερον μὲν οὖν ἀποδοίη τις ἂν τὴν μὲν περιφορὰν ταῖς θείαις ψυχαῖς, τὴν δὲ φορὰν ταῖς ἡμετέραις· ἴδοις δ' ἂν καὶ ἐν ταῖς θείαις ἀμφοτέρας τὰς κινήσεις· εὐθείας γάρ, φησί, λαβὼν ὁ δημιουργὸς εἰς κύκλον κατέκαμψε· δῆλον οὖν ὡς οὐκ ἄνευ τοῦ εὐθέος ἡ κυκλική ἐστι κάμψις καὶ νόησις τῶν ψυχῶν· τὸ γὰρ καθαρῶς κύκλῳ κινεῖσθαι μόνῳ ἀπονέμει τῷ νῷ. Ἡ δὲ ἐνάτη κίνησις ἥτις ἐστὶ τῶν ἀσωμάτων περὶ τοῖς σώμασιν, οἷαι θερμότητες ἢ ψύξεις ἢ ἐμψυχίαι, ἔχει τὴν παραδειγματικὴν αἰτίαν ἐν τῇ ψυχῇ, καθὸ ἡ ψυχὴ τοῖς σώμασιν ἐνδίδωσι ζωήν. — Ὅτι μὲν οὖν καὶ παραδειγματικαί εἰσιν <αἰτίαι> αἱ τῶν ψυχῶν κινήσεις τῶν σωματικῶν ἀρκούντως ὑπομέμνηται· λείπεται δὲ καὶ τελικὰς αὐτὰς ἀποδεῖξαι, ἐπειδὴ καὶ ὁ σπουδαῖος ἐνταῦθα καὶ ἔμ-

20 *Tim.* 36 B

TIT 8 ὀκτώ φησι τὰς σωματικὰς κινήσεις C

NC 1 ἂν om. M 3 ἀόρατος] ἀσώματος M τῶν omisit M 6 τῆς ἐνεργείας] τὰς ἐνεργείας L 11 πολλαπλασιάζει L φθίσις, suprascripto eadem manu μείωσις in ll' 12 ἑαυτῆς] ἑαυτῇ M (jam correxerat Ast) 13 φαμεν addidi cf. *addenda* et *corrigenda*, 7 16 νόησιν] γένεσιν L (sed in margine adscripto γρ. νόησιν) ἂν addidi δὴ] δὲ A Lll' 18 ἀποκατάστασις] κατάστασις M 21 λαβὼν ὁ δημιουργὸς E[1] 22 ἡ omiserunt Lll'M τὸ μὲν γὰρ E 23 ἐννάτη M ἐστὶ περὶ τῶν L 24 ἀσωμάτων] σωμάτων l' οἷαι] οἷον M : οἷον αἱ Lll' 26 αἰτίαι addidi 27 τῶν ψυχῶν] τῆς ψυχῆς ELll' ὑπομέμνηται M (vel fortasse Ast) : ὑπέμνηται AELll' (de ceteris codicibus nihil notavi) quod monstrum recipere non ausus sum 28 potius δὴ quam δὲ in A legeris καὶ τὰς τελικὰς ll' καὶ ὁ ἔμφρων L

[117] φρων ἀνὴρ πρὸς τὸ ἑαυτοῦ χρήσιμον καὶ..........................

....

f° 47 v° ..... διότι· οὐ γὰρ ὡς ἄλλο τι κατηγορεῖται ἡ ἀθανασία τῆς ψυχῆς, ἀλλὰ ἐν αὐτῇ τῇ οὐσίᾳ αὐτῆς συνουσίωται, καὶ ἑνιαίως περιέχει τὴν πᾶσαν ἀπόδειξιν (ζωὴ γάρ τίς ἐστιν ἡ ἀθανασία, ὡς καὶ ἡ αὐτοκινησία). Ἐπάγει λοιπὸν τὴν ἀνειλιγμένην καὶ ἀνεπτυγμένην ἀπόδειξιν εἰπών· τὸ γὰρ ἀεικίνητον ἀθάνατον, καὶ τὰ ἑξῆς, παρεὶς τὸ τὴν ψυχὴν εἰπεῖν αὐτοκίνητον, ὡς κοινὴν οὖσαν τῶν δύο συλλογισμῶν, μέλλων αὐτὴν τελευταῖον ἐπαγαγεῖν τῶν δύο λόγων, ὅπου καὶ ἡμεῖς ἀκριβέστερον αὐτὴν ἐξετάσομεν. Νῦν δὲ πρὸ τῆς κατὰ μέρος τῶν προτάσεων ἐξετάσεως, ἐφαρμόσωμεν ταῖς προτάσεσι λογικῶς αὐτὰ τὰ Πλάτωνος ῥήματα. Τρεῖς μὲν οὖν εἰσιν αἱ πᾶσαι προτάσεις τοῦ συλλογισμοῦ· ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀεικίνητον ἀθάνατον, τουτέστιν ἄφθαρτον καὶ ἀθάνατον. Τὴν οὖν πρώτην καὶ ἐλαχίστην πασῶν πρότασιν τὴν λέγουσαν « ἡ ψυχὴ αὐτοκίνητος » τελευταίαν ὡς εἴπομεν ἐκθήσεται. Τὴν δὲ τρίτην καὶ μείζονα πασῶν πρώτην ἐξέθετο, ὡς συνεκτικὴν τοῦ παντὸς λόγου, εἰπών « τὸ γὰρ ἀεικίνητον ἀθάνατον. » Τὴν δὲ μετ' αὐτὴν τὴν λέγουσαν « τὸ αὐτοκίνητον ἀεικίνητον, » διὰ τοῦ ἐναντίου τοῦ ἑτεροκινήτου μετὰ ἀποδείξεως παρέθετο, εἰπών « τὸ δ' ἄλλο κινοῦν καὶ ὑπ' ἄλλου κινούμενον (τουτέστι· τὸ δὲ ἑτεροκίνητον) παῦλαν ἔχον κινήσεως (τουτέστι· μὴ ὂν ἀεικίνητον) παῦλαν ἔχει ζωῆς (τουτέστιν· οὐκ

6 245 C 10 ἐξετάσομεν 109. 11 15 εἴπομεν ll. 8-9

TIT 11 ἐνταῦθα ἡ ἀνάπτυξις τοῦ (ultimum verbum non legi in A, συλλογισμοῦ L, legendum προτέρου συλλογισμοῦ) AL

NC 1 post καὶ reliquum fum 46 v° et totum 47 r° vacua in A : in E spatium vacuum ad calcem fl 179 r° (in marg. ἐνταῦθα λείπει) : idem in D : in CFM nulla lacuna (sed C in marg. m. rec. : *hiatus*) : in L 2 1/2 paginæ vacuæ : in l 3 paginæ : in l' 5 paginæ, quarum in prima hæc leguntur (rubr.) : ἐκ τοῦ κειμένου οὐ λείπει τι, μόνον ἐκ τῆς ἐξηγήσεως, in ultima rursus hæc : ἐνταῦθα οὐ λείπει τι ἐκ τοῦ κειμένου, ἀλλὰ ἀπὸ τῆς ἐξηγήσεως μόνον : de ceteris vide præfationem : nihil suspicatus est Ast 3 διότι om. Dll' in margine codicum A et L hi duo versus leguntur (rubr.) quorum alter Byzantinæ prosodiæ rationem sequitur

τί δὴ τὸν εἱρμὸν ἐξέ|κοψας τοῦ λόγου |
ἄφνω στερήσας ἡ|[δ]ονῆς ἀθανάτου

in quibus signo (|) finem versuum in A indicavi (δὴ legi in A, sed et μοι legi potest : μοι L; τὸν om. L; vocis ἡδονῆς littera δ margine abscisso periit : falso Schanz ἡ[μᾶς] γονῆς quod et nihil est et metrum vitiat) τῆς ψυχῆς ἡ ἀθανασία M 4 τῇ om. M 5 ἐστιν om. ll' 6 ἀνηλιγμένην E 9 ἀκριβέστερον] ἀκριβῶς ὕστερον ll' αὐτὴν om. E 10 προτάσεων] πρώτων M 11 λογιστικῶς E 12 τοῦ συλλογισμοῦ] τῶν συλλογισμῶν M 13-14 τουτέστιν ἄφθαρτον καὶ ἀθάνατον (leg. ἀγένητον, opinor) om. M 14 πασῶν scripsi : πάντων libri (sed A[a]) 15 δὲ scripsi : γὰρ libri 17 τὴν ante δὲ] τὸ M 19 μετ' A 20 δὲ om. ll'M 21-109, 1 ἀθάνατον οὐκ ἔστι M

[117] ἔστιν ἀθάνατον). » Εἰ οὖν τὸ ἑτεροκίνητον, μὴ ὂν ἀεικίνητον, οὐκ ἔστιν ἀθάνατον, τὸ αὐτοκίνητον ἀεικίνητον ὂν ἀθάνατόν ἐστι. Καθ' αὑτὸ δὲ πᾶσαι λαμβάνονται αἱ προτάσεις καὶ ᾗ αὐτό ἐστιν· ἐκ μὲν γὰρ τοῦ ἑτεροκινήτου δείκνυται οὐ μόνον τὸ αὐτοκίνητον ἀεικίνητον, ἀλλὰ καὶ τὸ ἀεικίνητον αὐτοκίνητον, ὥστε καὶ ἀντιστρέφειν οἷον « τὸ αὐτοκίνητον ἀεικίνητον » καὶ « τὸ ἀεικίνητον αὐτοκίνητον. » Εἰ γὰρ τὸ ὑπ' ἄλλου κινούμενον παῦλαν ἔχει κινήσεως (τουτέστι· τὸ ἑτεροκίνητον οὐκ ἔστιν ἀεικίνητον), δῆλον ἂν εἴη ὅτι τὸ ἀεικίνητον αὐτοκίνητον· καὶ γὰρ καὶ κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν τοῦτο συνάγεται· εἰ γὰρ τὸ ἑτεροκίνητον οὐκ ἀεικίνητον, δηλονότι τὸ ἀεικίνητον οὐχ ἑτεροκίνητον· τὸ δὲ οὐχ ἑτεροκίνητον αὐτοκίνητον. Ἐκ δὲ τοῦ « ἅτε οὐκ ἀπολεῖπον ἑαυτό, » ὅτι
p. 118 καὶ πᾶν τὸ ἀεικίνητον αὐτοκίνητον· εἰ γὰρ | καὶ τὸ ἑτεροκίνητον ἔστ' ἂν συνῇ τῷ κινητικῷ αἰτίῳ κινεῖται (ἐν ὅσῳ γὰρ αὐτοῦ πλησίον ἐστὶ κινεῖται) πολλῷ πλέον τὸ αὐτοκίνητον οὐ μόνον ἀεὶ συνὸν ἑαυτῷ ἀλλὰ καὶ ἡνωμένον πρὸς ἑαυτὸ ἀεικίνητον ἔσται. — Ἀναλαβόντες δὲ ἐξ ἀρχῆς ἑκάστην τῶν προτάσεων σαφηνίσωμεν κατὰ τὸ δυνατόν. « Ἡ ψυχὴ αὐτοκίνητος· » τὴν κίνησιν ἐνταῦθα ἀκουστέον τὴν ζωὴν αὐτῆς· αὐτόζωος οὖν ἐστιν ἡ ψυχή, ἐν ἑαυτῇ ἔχουσα ἀρχὴν καὶ πηγὴν τῆς ζωῆς· εἰ γὰρ καὶ τὰ σώματα ἤθελεν ἡ φύσις αὐτοκίνητα εἶναι, ἀρχὴν ἂν αὐτοῖς καὶ πηγὴν ἐνετίθει κινήσεως· νῦν δὲ ἐπεὶ ἔδει καὶ τὰ ἑτεροκίνητα προελθεῖν, γέγονε τὰ σώματα τὴν ἀρχὴν τῆς κινήσεως ἐξ ἄλλων καταδεχόμενα. Φαίνεται δὲ πολλὰ προαιρουμένη ἡ ψυχὴ καὶ κατὰ τὴν οἰκείαν προαίρεσιν πράττουσα· τοῦτο δὲ οὐκ ἂν εἶχεν εἰ μὴ ἦν αὐτοκίνητος. Ὅμως δὲ εἰς τὴν φύσιν τοῦ πράγματος ἐπιβλέποντί σοι πολλὴ φανεῖται ἀφθονία ἐπιχειρημάτων διὰ τὴν τοῦ πράγματος ἐνάργειαν· ἱκανῶς δὲ καὶ ὁ Πλάτων ἐκ τῆς ἐναργείας καὶ ἐκ τῶν τελευταίων ὑπομιμνήσκει λέγων ὅτι, ὃ μὲν ἂν ἴδωμεν σῶμα μὴ δυνάμενον ἐξ ἑαυτοῦ κινεῖσθαι, ἄψυχον εὐθὺς αὐτὸ λέγομεν, ὃ δὲ ἂν ἴδωμεν σῶμα ἀφ' ἑαυτοῦ δυνάμενον κινεῖσθαι, εὐθὺς αὐτὸ λέγομεν ἔμψυχον, ὡς αὐτοφυῶς τεκμαιρόμενοι εἶδος εἶναι καὶ λόγον τῆς ψυχῆς τὸ αὐτοκίνητον. Μάλιστα δὲ ἐκ τοῦ ἐφ' ἡμῖν δείξαις ἂν τὸ αὐτοκίνητον τῆς ψυχῆς· εἰ γὰρ κρεῖττον καὶ τελειότερον τὸ εὖ εἶναι τοῦ εἶναι, τελειοῖ δὲ ἑαυτὴν ἡ ψυχή, δηλονότι τὸ κρεῖττον τὸ εὖ εἶναι ἑαυτῇ παρέχουσα καὶ

TIT 17 κίνησιν τῆς ψυχῆς ἀκουστέον τὴν ζωὴν αὐτῆς C πῶς αὐτοκίνητος ἡ ψυχὴ καὶ αὐτόζωος C

NC 1 ἀεικίνητον] αὐτοκίνητον A[1] : ἀκίνητον E 2 ἔστι A 5 οἷον] μόνον A ante emend. : οἷον μόνον LlI' 6 αὐτοκίνητον] ἀεικίνητον A ante emend. τὸ om. E 8 καὶ ante κατὰ om. E τὸν] τὸ I' 9 τῶν ὑποθετικῶν] τὸν ὑποθετικὸν M 11 ἑαυτό] ἑαυτῷ L[1] (corr. ead. m.) 15 ἑκάστην] ὅτι, deinde « *spatium aliquot verborum* » M 16 προτάσεων] πρώτων M ut 108,10 18 ἑαυτῇ] ἑαυτοῦ M (jam correxerat Ast) 19 τῆς κινήσεως M 24 ἀποβλέποντι M φανεῖται] φαίνεται M 25 ἐνέργειαν M (jam correxerat Ast) 28 ἑαυτοῦ] ἑτοῦ A (sic) 29 τεκμαιρομένων M : τεκμαιρομένῳ E

[118] ἀνεγείρουσα καὶ τελειοῦσα ἑαυτήν, πολλῷ πλέον τὸ ἔλαττον τὸ εἶναι ἑαυτῇ παρέχει· τὸ δὲ εἶναι οὐδὲν ἄλλο ἐστὶν αὐτῆς ἢ ζωή· ἡ δὲ ζωὴ κίνησις· δῆλον οὖν ὅτι ἑαυτῇ ἂν παρέχοι τὴν κίνησιν· αὐτοκίνητος ἄρα ἐστίν.

Ἡ δ' ἑτέροις παρέχει τὸ ζῆν, πολὺ μᾶλλον ἑαυτῇ,

φησὶ τὰ λόγια· ἡ γὰρ ζωοποιοῦσα τὰ ἄλλα πολλῷ μᾶλλον ἑαυτῇ τοῦτο παρέχει· ὥστε ἑαυτῇ παρέχουσα τὸ ζῆν ζωοποιεῖ ἑαυτὴν καὶ ἀνάγει· ἡ δὲ ζωὴ κίνησις· ἑαυτῇ ἄρα παρέχει τὴν κίνησιν· αὐτοκίνητος ἄρα. Ἀφ' ἑαυτῶν γὰρ ἄρχεται τὰ θεῖα καὶ τὰ πρώτως τι διδόντα, ὥσπερ ὁ ἥλιος τὰ πάντα φωτίζων αὐτόφως ἐστὶ καὶ πηγὴ φωτός· καὶ ἡ ψυχὴ οὖν τοῖς ἄλλοις ζωὴν καὶ αὐτοκινησίαν παρέχουσα (αὐτοκίνητα γὰρ κατὰ Ἀριστοτέλην τὰ ζῷα) πολὺ
f° 48 r° μᾶλλον | αὐτὴ αὐτοκίνητός ἐστι καὶ ζωὴ καὶ πηγὴ ζωῆς ψυχικῆς. — Τὸ δὲ αὐτοκίνητον ἀεικίνητον οὕτω δείκνυται, δείκνυσι δὲ ὅτι καὶ μόνον τὸ αὐτοκίνητον ἀεικίνητον καὶ μόνον ἀθάνατον, ἐκ τοῦ καθ' αὑτὸ καὶ ᾗ αὐτὸ τὰς προτάσεις λαμβάνων. Τὸ οὖν εἶναι τὸ αὐτοκίνητον ἀεικίνητον ἐκ τοῦ ἑτεροκινήτου δείκνυσι· τὸ γὰρ ἑτεροκίνητον δηλονότι οὐκ ἔχει ἐξ ἑαυτοῦ οἰκείαν κίνησιν, διὸ καὶ ἑτεροκίνητον λέγεται· ἐν χρόνῳ οὖν ταύτην ἀλλαχόθεν καταδεξάμενον, ἐν χρόνῳ αὐτὴν καὶ ἀποβάλλει· ὃ δ' ἑαυτῷ παρέχει τὴν κίνησιν κατ' οὐσίαν, ἅτε ἑαυτῷ συνὸν ἀεὶ καὶ αὐτὸ ὂν τὸ διδὸν καὶ λαμβάνον, ἀεικίνητον ἔσται. Δηλοῖ δὲ ὁ Πλάτων τὴν κίνησιν ὅτι ἐπὶ τῆς ζωῆς ἔλαβε· « παῦλαν γάρ φησιν ἔχον κινήσεως παῦλαν ἔχει καὶ ζωῆς. » Ὅτι δὲ τὸ ἑτεροκίνητον παῦλαν ἔχει κινήσεως (τουτέστιν· οὐκ ἔστιν ἀεικίνητον) καὶ ἐντεῦθεν δῆλον· δύο γὰρ ὄντων τούτων τοῦ τε κινοῦντος καὶ τοῦ κινουμένου, ἢ τὸ κινοῦν δεῖ προσελθεῖν τῷ κινουμένῳ καὶ οὕτως αὐτὸ κινῆσαι, ὥσπερ ἡμεῖς φέρε τὸν λίθον, ἢ τὸ κινούμενον δεῖ προσελθεῖν τῷ κινοῦντι καὶ οὕτως κινηθῆναι, ὥσπερ ἡ ψυχὴ προσελθοῦσα τῷ νῷ οὕτω κινεῖται ὑπ' αὐτοῦ καὶ θεωρεῖ τὰ ἐν αὐτῷ, ἢ ἀμφότερα ἀλλήλοις πρόσεισιν ὥσπερ ὁ διδάσκαλος καὶ ὁ μαθητής· καὶ ὁ μαθητὴς γὰρ ἐπιδίδωσιν ἑαυτὸν εἰς τὸ ἀνακινηθῆναι ὑπὸ τοῦ διδασκάλου, καὶ ὁ διδάσκαλος ἐπιτρέχει τῷ ἀνακινῆσαι τὸν μαθητὴν καὶ ὅλος ἔστραπται πρὸς αὐτόν. Τούτων οὖν οὕτως ἐχόντων τὸ ἑτεροκίνητον οὐ δύναται ἑαυτὸ προσαγαγεῖν τῷ κινοῦντι·

11 cf. 105, 15

TIT 13 πῶς τὸ αὐτοκίνητον ἀεικίνητον C 21 ἀντὶ ζωῆς νοεῖ (?) C

NC 2 αὐτῆς] αὐτοῦ M 3 ὅτι om. M παρέχῃ M 5 ἣ δ'] ἣ δὲ A ἑαυτῇ] ἑαυτῷ M 6 τὰ λόγια] ὁ λόγος M 9 πρώτως] πρῶτα M 10 αὐτοφῶς M 12 αὔτη A[a] 13 μόνον αὐτὸ τὸ M 15 προτάσεις] προτέρας M 16 δῆλον ὅτι A[a] 17 ταύτην] ταῦτα M 18 παρέχει] παρέχον M 21 καὶ om. Plat. 22 ἔστιν om. M 29 τοῦ om. M 30 ὅλος] ὅλως M οὖν om. M

[118] τὸ γὰρ εἶναι αὐτὸ ἑτεροκίνητον, τουτέστιν... <κωλύει·> οὐδ' ἄρα τὸ συναμφότερον· λείπεται δὲ, εἰ μέλλει τὸ ἑτεροκίνητον ἀεὶ κινηθήσεσθαι, τὸ κινητικὸν ἐστράφθαι πρὸς αὐτό· ἀλλ' ἐπὶ τῶν ὅλων καὶ ἀιδίων τοῦτο p. 119 οὐ θέμις τὸ τὰ κρείττονα | ἐστράφθαι πρὸς τὰ ἑαυτῶν καταδεέστερα· ἔσται γὰρ τὰ μὲν κρείττονα ἕνεκά του, τὰ δὲ καταδεέστερα οὗ ἕνεκα, ὅπερ ἐστὶν ἀτοπώτατον· οὐκ ἄρα τὸ ἑτεροκίνητον ταύτῃ ἀεὶ κινηθήσεται μὴ ἐστραμμένων τῶν ἀιδίων πρὸς αὐτό. Εἰ δὲ μέλλοι ποτὲ κινεῖσθαι, δεῖ αὐτὸ ὑπὸ ἄλλου προσάγεσθαι τῷ κινητικῷ αἰτίῳ, οὐχ ἁπλῶς τοπικῶς, ἀλλὰ καὶ κατ' ἐπιτηδειότητα. Εἰ οὖν ἄλλο αὐτὸ συνῆψε τῷ κινητικῷ αἰτίῳ ἀπό τινος χρόνου, οἷον ἥδε ἡ περιφορὰ καὶ τάδε τὰ σχήματα, πάλιν καὶ ἔν τινι χρόνῳ ἥδε ἡ περιφορὰ καὶ τὰ τοιάδε σχήματα αὐτὸ διαλύσει ἀπὸ τοῦ κινητικοῦ αἰτίου· ἁπλῶς γὰρ εἰπεῖν πάντα τὰ ὑπὸ κινουμένων αἰτίων γινόμενα ἐν χρόνῳ καὶ γίνεται καὶ φθείρεται, τὰ δὲ ὑπὸ ἀκινήτων ἀεὶ ὡσαύτως γίνεται. Ἀλλὰ πῶς, εἴποι τις ἄν, τὸ ὑπὸ σελήνην ἀεὶ κινεῖται, ἑτεροκίνητον ὄν; Ἢ οὐδέποτε τὸ αὐτό ἐστιν ἀεὶ οὐδὲ κατ' ἀριθμὸν διαμένει τὸ αὐτὸ, εἰ μὴ τῷ εἴδει· ὥστε εἰ μὴ τὸ αὐτό ἐστι κατὰ τὸ ὑποκείμενον, πῶς ἂν ἀεικίνητον εἴη; κατὰ μόρια γὰρ φθειρόμενον τῷ εἴδει ἀεὶ τὸ αὐτὸ διαμένει. Πῶς δὲ εἰ μήτε ἡ γένεσις ἑαυτὴν δύναται προσάγειν τῷ οὐρανῷ ἑτεροκίνητος οὖσα μήτε ὁ οὐρανὸς ἔστραπται πρὸς τὴν γένεσιν διὰ τὸ μὴ δεῖν τὰ κρείττονα ἐστράφθαι πρὸς τὰ καταδεέστερα, πόθεν καταδέχεται τὴν ἐπιτηδειότητα ἡ γένεσις; Ἢ ῥητέον ὅτι ἡ κίνησις τοῦ οὐρανοῦ δραστήριον οὖσα ποιεῖ εἰς τὰ ὑπὸ σελήνην, μὴ ἐστραμμένων τῶν οὐρανίων πρὸς αὐτὰ, ὥσπερ δὴ καὶ ὁ ἥλιος φωτίζει οὐκ ἐστραμμένος πρὸς τὰ φωτιζόμενα, ἀλλὰ τῇ συμπαθείᾳ. Ἀλλὰ πῶς ὁ οὐρανὸς σῶμα ὢν οὐκ ἔστιν ἑτεροκίνητος, ἀλλὰ αὐτοκίνητος; εἰ δὲ ἑτεροκίνητος, πῶς ἐστιν ἀεικίνητος; Ἢ ὁ οὐρανὸς οὔτε ἑτεροκίνητος οὔτε ἁπλῶς σῶμα, ἀλλὰ ἄυλον σῶμα· ἐροῦμεν δὲ ὅτι διττὸν τὸ αὐτοκίνητον, τὸ μὲν ἁπλοῦν καὶ ἀμερὲς, ὃ καὶ κυρίως ἐστὶν αὐτοκίνητον, τὸ δὲ ἐν διαστάσει ἤδη προεληλυθὸς, οὐχ ἁπλῶς μέντοι· καθὸ γὰρ ὤγκωται κατὰ τοσοῦτον τοῦ κυρίως αὐτοκινήτου παρήλλαξε, καθὸ μέντοι ζωῆς συμφυοῦς ἐν τῇ ἑαυτοῦ οὐσίᾳ μετέσχεν, ὥστε σε μὴ δύνασθαι χωρίζειν μηδὲ τῷ λόγῳ ἐκεῖνο τὸ σῶμα καὶ τὴν ζωὴν αὐτοῦ, κατὰ τοσοῦτον ἔχει καὶ τὴν αὐτοκινησίαν ἐν τῇ οἰκείᾳ οὐσίᾳ· ψυχῆς γὰρ καὶ ζωῆς

TIT 14 ἀπορία· λύσις AC 18 ἀπορία· λύσις AC 24 ἀπορία· λύσις A

NC 1 αὐτὸ ἑτεροκίνητον, τουτέστιν..., <κωλύει> scripsi sensum non textum restituere conatus (lacunam sic fere supplendam censeo : τουτέστιν <ὑπ' ἄλλου ἀγόμενον>) : αὐτῷ ἑτεροκινήτῳ τοῦτό ἐστιν (vel τουτέστι) libri : « *mancam esse orationem apparet* » Ast 2 δὲ scripsi : δὴ libri 5 του] τούτου M 6 μὴ] καὶ M 7 μέλλει M 9 ἄλλο] ἄλλος M 10 τινι] τι M (jam correxerat Ast) 12 αἰτίων om. M 13 ἀεὶ ὡς ὡσαύτως M 17 τὸ αὐτὸ] τῷ αὐτῷ M 21 δραστήριος M 23 ἐστραμμένως M 25 ἐστιν] ἔσται M 27 καὶ ante κυρίως om. M ἔστιν A 28 παρεληλυθὸς M 30 ἑαυτοῦ] αὑτοῦ M 32 τῇ οὐσίᾳ τῇ οἰκείᾳ M

[119] ἴδιον ἦν τὸ αὐτοκίνητον. Ὥσπερ οὖν σῶμα ἔνυλον ἀδύνατόν σε λαβεῖν ἀχρώματον καὶ ἀσχημάτιστον, οὕτως καὶ ἔτι μᾶλλον οὐδὲ τὸ οὐράνιον σῶμα ἄζων καὶ ἄψυχον. Καὶ οὕτω δὴ ἴδοις ἂν αὐτοῦ τὴν συμφυΐαν τὴν πρὸς τὴν ψυχήν. Ἀεὶ <γὰρ> αἱ ἀκρότητες τῶν δευτέρων συνάπτουσι τοῖς ἐσχάτοις τῶν πρώτων, ἵνα καὶ συνέχειά τις ᾖ καὶ μηδὲν κένωμα μεταξύ· ἐπεὶ ἀπαιτήσει πάλιν ὁ λόγος ἑτέραν φύσιν τὴν ἀναπληρώσουσαν τὸ μεταξύ. Ἐπειδὴ τοίνυν πρῶτον μὲν τῶν σωμάτων τὸ αἰθέριον σῶμα, ἔσχατον δὲ τῶν νοητῶν ἡ ψυχή, συνάπτειν ὀφείλει ταῦτα πρὸς ἄλληλα καὶ ὁμοιότητα ἔχειν πρὸς ἑαυτά, ὥστε τὸ οὐράνιον σῶμα ψυχὴν εἶναι ὠγκωμένην καὶ ζωὴν ἐπὶ πᾶν διεστῶσαν· ζωὴ οὖν ἐν αὐτῷ συμφυὴς καὶ ἡ φύσις συνανακεκραμένη τῇ ζωῇ· πάμπολλα δὲ καὶ ἄλλα ἐν αὐτῷ εἴδη ζωῶν. Ἀλλ' ἔστω, φησίν, ἡ ψυχὴ καὶ αὐτοκίνητος καὶ ἀεικίνητος, ἔστ' ἂν f° 48 v° ᾖ μέντοι ψυχή|, οὐδὲν δὲ κωλύει αὐτὴν φθαρῆναι. Πρὸς τοῦτο ἐροῦμεν ὅτι· ἢ πρότερον μὲν αὐτῆς παύεται ἡ ἐνέργεια, τουτέστιν ἡ αὐτοκινησία, ὕστερον δὲ τὸ εἶναι αὐτῆς φθείρεται, ἢ πρότερον μὲν τὸ εἶναι, ὕστερον δὲ τὸ κινεῖσθαι, ἢ ἅμα ἀμφότερα· παρὰ ταῦτα γὰρ οὐκ ἔστι. Φθαρείσης μὲν οὖν τῆς οὐσίας τὴν ἐνέργειαν αὐτῆς σῴζεσθαι οὐδὲ πλάσαι δυνατόν· ἀλλ' οὐδὲ τὸ ἀνάπαλιν δυνατὸν ἐπὶ τῆς προκειμένης ὑποθέσεως φθαρείσης τῆς ἐνεργείας σῴζεσθαι τὴν οὐσίαν καὶ ὕστερον φθαρῆναι [τὴν οὐσίαν]· ἐπιλαθομένῳ γὰρ ἔοικε τῆς ὑποθέσεως ὁ τοῦτο λέγων, τῆς « ἔστ' ἂν ᾖ· » ἔλεγε γὰρ ἡ ὑπόθεσις ὅτι « ἔστ' ἂν ᾖ ψυχή, αὐτοκίνητος ἔσται· » ὥστε οὐ δυνατὸν φθαρῆναι μὲν αὐτοκινησίαν, μένειν δὲ ψυχήν· ἔστ' ἂν γὰρ ᾖ ψυχὴ αὐτοκίνητος ἔσται, ὡς λέγει ἡ ὑπόθεσις. Εἰ οὖν πᾶν μὲν τὸ φθειρόμενον προαποβάλλει τὴν ἐνέργειαν, τοῦτο δὲ ἔστ' ἂν ᾖ, ὃ καὶ ἡ ὑπόθεσις ἔχει, οὐκ ἀποβάλλει, αὐ- p. 120 τοκίνητον ὂν καὶ ἄφθαρτόν ἐστιν. Ἀλλὰ δὴ τὸ τρίτον τις λεγέτω, ὅτι | ἅμα συμφθείρεται ταῖς ἐνεργείαις ἑαυτῆς· ἐρωτήσομεν ἤδη, ὑφ' ἑαυτῆς ἢ ὑπό τινος τῶν ἔξωθεν; ἀλλ' ὑπὸ μὲν ἑαυτῆς οὐ φθείρεται, ἥ γε καὶ σῴζει ἑαυτὴν τῷ κινεῖν ἑαυτήν, ὑπὸ δὲ τῶν ἔξωθεν οὐ φθείρεται· γένοιτο γὰρ ἂν οὕτως ἑτεροκίνητον ἀντὶ αὐτοκινήτου· οὐκ ἄρα συμφθείρεται. Ὑπὸ τίνος δὲ ἂν καὶ φθείροιτο; ὑπὸ τῶν κρειττόνων; ἀλλὰ ταῦτα μᾶλλον αὐτῆς ἐστι σωστικά· ἀλλ' ὑπὸ τῶν χειρόνων; ἀλλὰ τούτων ἐστὶ δεσπότις καὶ τῶν κινήσεων αὐτῶν πηγή· δέκα γὰρ οὐσῶν τῶν κινήσεων, μόνη ἡ τῆς ψυχῆς κίνησις πασῶν ἐστι τῶν ἄλλων γεννητική. Τὸ δὲ αὐτοκίνητον τὴν ψυχὴν οὖσαν καὶ ἀεικίνητον εἶναι συντομώτερον <ἂν> καὶ οὕτω κατασκευάσειας, ὡς ἤδη

TIT 32 δέκα αἱ κινήσεις C 33 ἐπιχειρήματα τῆς ἀεικινησίας καὶ τοῦ τὴν ψυχὴν ἑαυτὴν παράγειν C

NC 2 τὸ om. M 4 γὰρ addidi αἱ] καὶ M 6 ἀναπληρώσασαν M 11 συνακεραμένη A sed syllabam να supra versum reposuit eadem manus καὶ aute ἄλλα om. M 12 τῶν ζωῶν M 13 ὅτι ἢ scripsi : ἢ ὅτι libri 16 τῆς om. M 19 τὴν οὐσίαν seclusi ἐπιλαθομένῳ] ἐπιλανθανομένῳ M 24 καὶ om. M 28 γὰρ] δ' M 29 ἀντὶ τοῦ M 30 ἀλλὰ ex ἅμα A 31 δεσπότις] δεσπότης M τῶν om. M 34 ἂν addidi

[120] καὶ ἐπὶ τῆς αὐτοκινησίας εἰρήκαμεν· τὸ ἑαυτό [τι] τελειοῦν καὶ παράγει ἑαυτό; τὸ μὲν γὰρ τελειοῦν τι τὸ ἀγαθὸν ἐκείνῳ παρέχει· τὸ δὲ ἁπλῶς παράγον τι τὸ εἶναι αὐτῷ παρέχει· κρεῖττον δὲ τὸ εὖ εἶναι τοῦ εἶναι· ἐπεὶ τοίνυν ἡ ψυχὴ ἑαυτὴν τελειοῖ, εἴπερ καὶ ἔστι τι ἐπ' αὐτῇ, καὶ παράγοι ἂν ἑαυτήν· ἔστι δὲ αὐτῆς οὐσία τὸ ζῆν, ἥ γε καὶ ἄλλοις τοῦτο ἐπιφέρει· ἑαυτῇ ἄρα παρέχει τὸ ζῆν καὶ τὸ εἶναι· τὸ δὲ ἀεὶ συνὸν τῷ παρέχοντι τὸ εἶναι, ἀεὶ ἔστιν· ἀεὶ δὲ ἑαυτῇ σύνεστιν ἡ ψυχή· ἀεὶ ἄρα ἔστιν ἡ ψυχή· ὥστε καὶ αὐτοκίνητος καὶ ἀεικίνητος ἀεί ἐστιν. Καὶ γὰρ τῷ ὄντι ἀδικοῖτο ἄν τι ἐν τῷ παντὶ ἀφαιρούμενον τούτου ὃ ἑαυτῷ παρέσχεν· ὅπερ μὲν γὰρ παρ' ἄλλου καταδέξεται οὐκ ἀδικεῖται τούτου ἀφαιρούμενον· ὅπερ δὲ ἑαυτῷ παρέχει, ἐὰν ὑπό τινος ἀφαιρῆται, ἀδικεῖται. — Ἡ δὲ ἐσχάτη πρότασις οὐδεμιᾶς ἀμφισβητήσεως δεῖται, τὸ ἀ ε ι κ ί ν η τ ο ν ἀ θ ά ν α τ ο ν εἶναι· εἰ γὰρ καθ' ὑπόθεσιν θνητὸν καὶ φθαρτὸν εἴη, οὐκέτι ἔσται ἀεικίνητον. Ὥστε πᾶσαι αἱ προτάσεις οὐ μόνον εἰσὶν ἀληθεῖς, ἀλλὰ καὶ ᾗ αὐτὸ πᾶσαι, ὥστε καὶ ἐξισάζειν καὶ ἀντιστρέφειν. Τί οὖν, εἴποι τις ἄν, μόνη ἡ ψυχὴ ἀθάνατος; ὁ νοῦς οὖν οὐκ ἔστιν ἀθάνατος; Ἢ οὐδὲν ἄτοπον τὸν νοῦν λέγειν μὴ εἶναι ἀθάνατον· ὑπὲρ γὰρ τὸ ἀθάνατον εἶναί ἐστιν· εἰ δὲ βούλοιο αὐτὸν ἀθάνατον λέγειν, ἄλλο εἶδος λήψῃ αὐτοκινησίας καὶ ἄλλο ἀθανασίας, καὶ ὁμοίως ἐπὶ τῶν ἑξῆς ζῴων οἰκείως ἑκάστῳ· ἐπεὶ καὶ τὴν ἀλογίαν εἴποι τις ἂν ἀθάνατον, ὡς καὶ αὐτοκίνητον εἴποι ἄν, ἀλλ' οἰκείως ἐφ' ἑκάστου, ὅπερ εἴπομεν· πολὺ γὰρ πλάτος καὶ τῶν ἐν αἰῶνι ὄντων καὶ τῶν τὸν ἅπαντα χρόνον ὄντων καὶ τῶν ἐν μέρει τοῦ χρόνου· τὰ μὲν γὰρ μίαν ἡμέραν ζῇ, τὰ δὲ ἐνιαυτόν, τὰ δὲ δέκα ἔτη, ἄλλα δέ ἐστιν ἑκατὸν ἢ καὶ χίλια διαζῶντα ἔτη. Ἀλλὰ πῶς οὐχὶ καὶ ἡ μερικὴ φύσις ἔσται ἀθάνατος, αὐτοκίνητος οὖσα; Ἢ πρῶτον μὲν ἰστέον ὡς ὁ θεῖος Ἰάμβλιχος καὶ ὁ φιλόσοφος Πορφύριος οὐδὲ αὐτοκίνητόν φασι τὴν μερικὴν φύσιν, ἀλλ' ὄργανον οὖσαν τῆς ψυχῆς κινεῖσθαι μὲν ὑπ' αὐτῆς, κινεῖν δὲ τὰ σώματα, καὶ ταύτην εἶναί φασι τὴν ἐνάτην κίνησιν. Δῆλον δὲ ὅτι κἂν ἔχῃ τι αὐτοκίνητον εἰδωλικῶς αὐτὸ ἔχει καὶ ὡς ὄργανον. Εἰ δέ τι δεῖ ἀντιφθεγγόμενόν τισι τῶν φιλοσόφων εἰπεῖν, οὐδὲ κατὰ πάντα κρείττων ἐστὶν ἡ φύσις τῶν σωμάτων, ἀλλ' ἔστιν ὅπῃ καὶ καταδεεστέρα.

20 εἴπομεν l. 19 25 Ἰάμβλιχος Πορφύριος in libris deperditis : cf. 9, 10

TIT 15 ἀπορία περὶ τοῦ νοῦ· λύσις C 20 πολὺ πλάτος ζῴων C 23 ἀπορία <περὶ τῆς μερικῆς φύσεως C>· λύσις AC 27 ποία ἐστὶν ἡ ἐνάτη κίνησις C

NC 1 τι ante τελειοῦν seclusi 2 τι ante τὸ om. M 3 τί A 4 κἂν παράγοι ἂν A 5 καὶ om. M 10 καταδέχεται (?) 13-14 ἀεί εστιν A 14 ᾗ αὐτὸ πᾶσαι : « *hic nonnulla intercidisse suspicor* » Ast : sed ᾗ αὐτό formula Hermiana cf. 102, 28 καὶ post ὥστε om. M 15 οὖν post νοῦς om. M 17 εἶναι ἐστὶν A ἀθάνατον εἶναι λέγειν M 18 λήψῃ (sic A cum ι suscripto)] λήψει M 19 ἀλογίαν] ἀναλογίαν M : codicis A librarius prius ἀναλογίαν scripserat, deinde litteris ἀν deletis et spiritu supra alterum α rescripto ἀλογίαν effecit καὶ om. M 26 et 27 φασὶ A 27 σώματα] σωζόμενα M ἐννάτην M

[120] Καθὸ μὲν γὰρ ἀσώματος οὐσία ἐστὶ, καὶ καθὸ διαπλάττει τὰ σώματα καὶ κοσμεῖ, κρείττων αὐτῶν ἐστι· καθὸ δὲ ἐν ὑποκειμένοις αὐτοῖς ἐστι καὶ τὸ εἶναι ἐν αὐτοῖς ἔχει, χείρων αὐτῶν ἐστιν, ὥσπερ ἡ ἐν τοῖς κατόπτροις ἔμφασις ἀσφαλείᾳ μὲν καὶ κάλλει καὶ διαμορφώσεως ἀκριβείᾳ τοῦ κατόπτρου ὑπερέχει, τῇ δὲ ὑποστάσει ἔστιν ὡς ἐλαττοῦται· τὸ μὲν γὰρ κάτοπτρον οὐσιωδέστερον, ἡ δὲ ἔμφασις καὶ τὸ εἰδωλικῶς εἶναι παρὰ τοῦ κατόπτρου ἔχει καὶ αὐτοῦ χάριν ὅπως ποτέ ἐστι, καὶ διὰ τοῦτο ἂν εἴη ἀμυδροτέρα. Οὕτως οὖν καὶ ἡ μερικὴ φύσις ἔχει πρὸς τὸ σῶμα· ἡ γὰρ ϑεία καὶ τὸ αὐτοκίνητον ἔχει δευτέρως, ὡς εἴπομεν, καὶ συμφυής ἐστι τῷ ϑείῳ σώματι. Ἐκ τούτου οὖν τοῦ συλλογισμοῦ δείκνυται ὅτι ἡ ψυχὴ ὑφ' ἑαυτῆς οὐ φθεί-
f° 49 r° ρεται. Οὐ ϑαυμαστὸν δὲ τοῦτο δὴ | ἐπὶ τῆς ψυχῆς, ὅτι οὐ τὸ μέν τι αὐτῆς κινεῖ μόνον τὸ δὲ κινεῖται μόνον, ἀλλὰ πᾶν αὐτῆς μόριον ὃ ἂν λάβῃς καὶ κινεῖ καὶ κινεῖται κατὰ τὸ αὐτό. Τίς δὲ ἡ κίνησις ἐπὶ τῆς ψυχῆς, ἔτι ἄν τις
p. 121 σαφέστερον ἐπιποθήσοι μαθεῖν. Ὅτι μὲν οὐδεμία τῶν | σωματικῶν κινήσεων οὐδ' <ἡ> ἐνάτη, δῆλον· οὐ γὰρ αὐτοκίνητοι αὗται· ἀλλ' οὐδὲ αἱ αὐτῆς ἴδιαι πᾶσαι τὴν προκειμένην δηλοῦσι κίνησιν, οἷον βουλήσεις, δόξαι, ϑυμοί, ἐπιθυμίαι· οὐ γὰρ ἀεὶ ταύτας κινεῖται, ἡμεῖς δὲ ζητοῦμεν τὴν ἀεὶ αὐτῇ ὑπάρχουσαν. Ἔστιν οὖν αὕτη ἡ συμφυὴς αὐτῇ ζωή, ἣν ἑαυτῇ παρέχει καὶ καθ' ἣν αὐτὴ κινεῖται· καὶ αὗται μὲν οὖν, λέγω δὴ βουλήσεις καὶ δόξαι καὶ τὰ τοιαῦτα, εἰσὶν αὐτῆς καὶ ζωαὶ καὶ κινήσεις· ἀλλ' οὐκ ἀεὶ αὗται ὑπάρχουσιν αὐτῇ, ἀλλά ποτε, οἷον ἐξ ἀναδιπλώσεως. Μάλιστα δὲ ἐκ τοῦ τελειοῦν ἑαυτὴν τὴν ψυχὴν λάβοις ἂν αὐτῆς τὸ αὐτοκίνητον καὶ ἀποχωρίσειας τὴν λογικὴν ψυχὴν καὶ τῆς ἀλόγου καὶ τῆς φύσεως ταύτῃ· τῆς γὰρ λογικῆς ἔστι ψυχῆς τὸ ἑαυτὴν τελειοῦν καὶ ἀνεγείρειν καὶ ἐπιστρέφειν εἰς ἑαυτήν, ὃ οὐδεμιᾷ τῶν ἄλλων ὑπάρχει, καὶ κατὰ ταύτην τὴν ἐκδοχὴν ἁρμόζει [λέγειν] τὸ περὶ ϑείας τε καὶ ἀνθρωπίνης λέγειν αὐτὸν ψυχῆς, τουτέστι πάσης λογικῆς καὶ οὐχὶ περὶ τῆς ἀλόγου καὶ τῆς φύσεως.

ϑ'. Ἀλλὰ καὶ τοῖς ἄλλοις ὅσα κινεῖται τοῦτο πηγὴ καὶ ἀρχὴ τῆς κινήσεως· ἀρχὴ δὲ ἀγένητον, καὶ τὰ ἑξῆς] 245 C.

Δεύτερον συλλογισμὸν ἐκτίθεται ὅτι ἡ ψυχὴ ἀθάνατος. Ἔστι δὲ τοιοῦτος·

TIT 8 ποταπὴ ἡ θεία φύσις C 13 ποία ἡ ψυχὴ κίνησις C 18 ὅτι ἡ συμφυὴς τῇ ψυχῇ ζωὴ ἐνταῦθα κίνησις C 30 ἐνταῦ|θα ἡ | ἀνάπτυ[ξις | τοῦ δευ[τέρου | συλ[λογισμοῦ A : unde conjeceris etiam συλλογισμοῦ scribendum esse 108, 11 TIT

NC 1 γὰρ] γὰρ τὸ M : γάρ τι Ast 7 ὅπώς ποτέ ἐστι A 8 φύσις ἔχει] φύσις ἐκεῖ A (correxit a) 11 μέν τι] μέντοι M 14 μὲν οὖν M 15 ἡ addidi ἐννάτη M οὐδὲ parum legitur in A : spatium vacuum in D (in margine λείπει τι) et E 17-18 ἀεὶ αὐτῇ] αὕτη ἀεὶ M : αὐτῇ ἀεὶ Ast 19 δὴ] δὲ M δόξαι] δόξας M 21 ἀλλὰ ποτὲ A 22 ἀποχωρήσειας M (jam correxerat Ast) 24 ἀνεγείρειν] συνεγείρειν M . 25 τὴν om. M 26 λέγειν seclusi λέγειν αὐτὸν om. M 28 non vocis ἀλλὰ sed vocis ἀρχὴ primam litteram errore librarius rubricavit in A

121] ἡ ψυχὴ αὐτοκίνητος· τὸ αὐτοκίνητον ἀρχὴ κινήσεως· ἡ ἀρχὴ τῆς κινήσεως ἀγένητον· τὸ ἀγένητον ἄφθαρτον, τὸ ἄφθαρτον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος. Πέντε αἱ πᾶσαι προτάσεις. Τὴν μὲν οὖν ἐλάττονα πασῶν τὴν κοινὴν ἀμφοτέρων ἐκθήσεται μετὰ ταῦτα· ἱκανῶς δὲ καὶ ἡμεῖς ὑπεμνήσαμεν. Τὴν δὲ τετάρτην καὶ πέμπτην κατασκευάσει μὲν καὶ αὐτὸς, ἱκανῶς δὲ καὶ ὁ Ἀριστοτέλης ἐν τῇ Περὶ οὐρανοῦ κατεσκεύασε. Περὶ δὲ τῆς δευτέρας καὶ τρίτης ὁ πολὺς ἡμῖν ἔσται λόγος. Ὁ μὲν οὖν πρῶτος ῥηθεὶς τῶν συλλογισμῶν τὴν αὐτάρκειαν τῆς ψυχῆς ἐδείκνυ· οὗτος δὲ ὁ δεύτερος τὴν ἐκτένειαν, ὥσπερ δὴ πάντα τὰ θεῖα καὶ αὐτάρκη ἐστὶ καὶ ἐκτενῆ· ἐκτενὲς δέ ἐστι τὸ μεταδίδον τῶν ἑαυτοῦ καὶ τοῖς ἄλλοις· τοῦτο γὰρ τῆς ἀγαθοειδοῦς καὶ ἀφθόνου φύσεώς ἐστι χαρακτηριστικὸν καὶ τοῦ ὑπερπλήρους τῆς δυνάμεως. Βούλεται οὖν οὗτος ὁ λόγος καὶ ἐπὶ τῆς ψυχῆς τὴν ἐκτένειαν τὴν εἰς τὰ ἄλλα αὐτῆς δηλῶσαι. Ἡ μὲν οὖν πρότασις ἡ λέγουσα « τὸ αὐτοκίνητον ἀρχὴ κινήσεως, » ἱκανῶς ἐν Νόμοις παρ' αὐτοῦ κατεσκεύασται ἀπὸ τοῦ εἰ σταίη τὰ πάντα πρῶτα ἂν κινηθῆναι τὰ αὐτοκίνητα. Καὶ ἔχει ἡ τάξις τῶν πραγμάτων οὕτως· πρῶτόν ἐστι τὸ ἀκίνητον, δεύτερον τὸ αὐτοκίνητον, τρίτον τὸ ἑτεροκίνητον, πολλοῦ πλάτους ἐν ἑκάστῳ τούτων θεωρουμένου, ὥστε πρῶτον καὶ ἀρχὴ τῶν κινουμένων τὸ αὐτοκίνητον. « Ἡ δὲ ἀρχὴ » φησὶν « ἀγένητος· » τουτέστιν ἡ ἀρχὴ τῆς κινήσεως· τοῦτο γὰρ πρόκειται· αὐτὸς δὲ καθολικωτέραν ποιῶν τὴν πρότασιν ἐπὶ πᾶσαν ἀρχὴν ἐκτείνει, ὅτι πᾶσα ἡ ἀρχὴ καθὸ ἀρχὴ ἀγένητος. Ἐνταῦθα δὴ πολλοὶ τῶν πρεσβυτέρων ἐταράχθησαν, πῶς εἶπεν ὁ Πλάτων τὴν ἀρχὴν ἀγένητον· εἰ γὰρ περὶ τῆς πάντων ἀρχῆς λέγει οἷον περὶ τοῦ πρώτου θεοῦ, ἀληθὴς μὲν ὁ λόγος, ἀλλ' οὐ περὶ ταύτης πρόκειται νῦν λέγειν· εἰ δὲ περὶ πάσης ἁπλῶς ἀρχῆς λέγει, πῶς ἐστιν ἀληθὴς ὁ λόγος; Ἰδοὺ γὰρ καὶ ὁ Πηλεὺς ἀρχὴ τοῦ Ἀχιλλέως· οὐ μὴν ἀγένητος ὁ Πηλεύς. Τίνα οὖν λέγει ἀρχὴν ἴδωμεν. Ἐροῦμεν δὴ ὅτι κυρίως ἀρχή ἐστιν ἡ πρώτως ὅλον τὸ εἶδος παράγουσα, οἷον τὸ αὐτόισον τὰ παντοδαπὰ ἴσα παράγει καὶ ὁ αὐτοάνθρωπος τοὺς πανταχοῦ ἀνθρώπους παράγει. Οὕτως οὖν ἐπειδὴ καὶ ἡ ψυχὴ ἀρχή ἐστι κινήσεως, πάντα ἂν τὰ εἴδη τῆς κινήσεως δύναιτο ποιεῖν καὶ κατὰ τόπον μετα-

4 ὑπεμνήσαμεν 109, 12 sqq. 5 κατασκευάσει 245 E 6 *De caelo* I 12, 281 *b* 34 ἀδύνατον ἄρα καὶ ἀεὶ μέν τι εἶναι, φθαρτὸν δ' εἶναι 14 *Leg.* X 895 A : cf. 106, 24

TIT 9 τί τὸ ἐκτενές A τί ἐκτενὲς καὶ ἐκτένεια C 13 ὅτι τὸ αὐτοκίνητον ἀρχὴ κινήσεως ἐν Νόμοις κατεσκευάσθη C 18 πῶς ἡ ἀρχὴ ἀγέννητος C

NC 1 τῆς om. M 3 πασῶν] πάσην M κοινὴν] κοινὸν A[a] 5 ὁ om. M 7 ἡμῖν] ἡμῶν M 10 τοῦτο] τοῦ M 10-11 καὶ τῆς ἀφθόνου M 11 φύσεως ἔστι A 12 τῆς om. M 13 οὖν om. M 15 τὰ post σταίη] κατὰ M (jam correxerat Ast) 17 τρίτον — 18 αὐτοκίνητον om. E πολλοῦ — 18 αὐτοκίνητον om. M 18-19 ἀρχὴ δὲ ἀγένητον Plat. 23 μὲν om. M 24 ἀρχῆς ἁπλῶς M 26 Ἀχιλλέος M 28 αὐτὸ ἴσον M ἴσα A ut solet αὐτοάνθρωπος] αὐτὸς ἄνθρωπος M

[121] βάλλειν καὶ κατ' ἀλλοίωσιν καὶ πᾶν ἁπλῶς εἶδος κινήσεως· ὥστε οὐκ ἂν γενητὴ εἴη ὡς κίνησις, ἀλλ' εἰ ἄρα ὡς οὐσία ἢ νοῦς γίνεται ἀπό τε τοῦ ὄντος καὶ τοῦ νοῦ, ὡς μέντοι κίνησις οὐ γίνεται· αὐτὴ γὰρ ἀρχή ἐστι πασῶν τῶν κινήσεων· εἰ γὰρ καὶ τὰ ἔνυλα εἴδη ἀγένητά ἐστιν, οἷον τὸ ἀνθρώπου, τὸ ἵππου, τὸ ἴσου, τὸ κινήσεως, πολλῷ πλέον τὸ αἴτιον τοῦ εἴδους, ὥστε ἐπεὶ καὶ τὸ εἶδος τῆς κινήσεως ἀγένητόν ἐστι, πολλῷ πλέον αὐτὸ τὸ αἴτιον τῆς κινήσεως· ἔστι δὲ τοῦτο τὸ αὐτοκίνητον. Καλῶς δὲ πηγὴν καὶ ἀρχὴν p. 122 αὐτὴν προσ|εῖπεν· ἔστι γὰρ ἴδιον πηγῆς μὲν τὸ οἷον μεταδιδόναι τῶν ἑαυτῆς αὐτοφυῶς τοῖς ἄλλοις ἑαυτῆς οὖσιν, ἀρχῆς δὲ τὸ οἷον ἐφεστάναι καὶ δεσπόζειν τῶν ὑφ' ἑαυτήν. Ἔστι γὰρ ἀρχὴ μὲν ὡς συντεταγμένη τούτοις ὧν ἐστιν ἀρχή, πηγὴ δὲ ὡς ἐξῃρημένη καὶ ἐν νῷ οὖσα· ἅπερ ἀμφότερα ὑπάρχει τῇ ψυχῇ. Ῥᾴδιον μὲν οὖν ἦν εἰπόντα τὸ σύνολον τοῦτο· « ἡ δὲ ἀρχὴ τῆς κινήσεως ἀγένητος, » ἀπηλλάχθαι πραγμάτων· ἡ γὰρ γένεσις κίνησίς ἐστιν, ἡ δὲ ἀρχὴ τῆς κινήσεως οὐκ ἂν ἀλλαχόθεν κινοῖτο, ἵνα μὴ ἐπ' ἄπειρον δράμωμεν· ὥστε οὐδὲ γίνεται. Ἐνὸν οὖν οὕτως συντόμως εἰπόντα ἀπηλλάχθαι, οὐχ εἵλετο, ἀλλὰ ἁπλῶς εἶπεν· « ἀρχὴ δὲ ἀγένητον, » ἐπὶ f° 49 v° πλέον ἡμῶν | ἐκτείνων τὴν θεωρίαν. Τὸ οὖν ἀγένητον τῆς ἀρχῆς οὕτως ἀκουσόμεθα· ἡ ἀρχὴ οὐδὲν γίνεται τούτων ὧν ἐστιν ἀρχή· οἷον ὁ ἥλιος ἀρχή ἐστι φωτός· αὐτὸς οὖν οὐ φωτίζεται ἀλλαχόθεν· καὶ ὁ νοῦς τοῦ νοεῖν ἀρχὴ ὢν καὶ αὐτὸς ὢν νοερός, οὐκ ἀλλαχόθεν ἔχει τὸ νοεῖν νοερὸς γινόμενος· καὶ τὸ ὂν δὲ τοῦ εἶναι τὰ ἄλλα αἴτιον, αὐτὸ τὸ [ὂν] εἶναι ἀλλαχόθεν οὐκ ἔχον. Καὶ ἡ ψυχὴ τοίνυν αἰτία μὲν τοῦ ψυχοῦσθαι τὰ ἄλλα καὶ ζῆν, οὐ μέντοι αὐτὴ ἀλλαχόθεν ζῇ· ὥστε καὶ εἰ πρώτη ἐστὶ κίνησις, αἰτία μὲν τοῦ κινεῖσθαι τὰ ἄλλα ἔσται, οὐ μέντοι αὐτὴ ἀλλαχόθεν κινεῖται. Ὥστε ἀρχὴ πᾶσα ἀγένητος. Τί οὖν, ἐάν τις εἴποι· « οὐ πάντα τὰ πράγματα ἀπὸ τῆς πρώτης αἰτίας τὸ εἶναι ἔχει; » Ἢ πρῶτον μὲν ὁ ἀρχήν τινα λαμβάνων, οὐδὲν τῶν ὑπὲρ αὐτὴν ὀφείλει σκοπεῖν (οὐκέτι γὰρ αὐτὴν φυλάξει ἀρχήν), ἀλλὰ δεῖ ὡς ἀρχὴν λαβόντα αὐτήν τε καὶ τὰ μετ' αὐτὴν σκοπεῖν· ἔπειτα δὲ πρὸς τὸν ἐκ τῆς πρώτης ἀρχῆς τὰ πάντα παράγοντα καὶ τοῦτο ῥητέον, ὡς ἀρχὴ ἕτερον τρόπον ἐστὶ τοιοῦτον οἷα τὰ ἐξ αὐτῆς· αὐτὸ γὰρ ἴσον ὂν ἄλλα δεύτερα ἴσα γεννᾷ, καὶ ἡ κίνησις ἡ τῆς ψυχῆς ἄλλα εἴδη κινήσεων ἀπογεννᾷ· ἡ δὲ πρώτη αἰτία οὐκ ἔστιν ἕτερον τρόπον τοιοῦτον οἷα τὰ ἐξ αὐτῆς· ὑπὲρ γὰρ

TIT 1 πῶς ἡ ψυχὴ γεννητὴ (?) καὶ ἀγέννητος C 25 εἰ πάντα ἀπὸ τῆς πρώτης ἀρχῆς, πῶς τι ἀγέννητον; C

NC 3-4 πασῶν τῶν κινήσεων] κινήσεως πασῶν M 4 εἰ γὰρ] καὶ γὰρ M εἴδη] ἤδη M (jam correxerat Ast) 7 καὶ om. M 9 οὖσιν scripsi : οὖσαν AD : οὔσης M 10 ὑφ'] ἐφ' M 11 οὖσαν D 12 οὖν om. M 16 ἀγένητος M 18 ἀκουσώμεθα (?) 19 νοεῖν] νοῦ M 20 ἀλλαχόθεν] ἄλλοθεν M ἔχει om. M γινόμενον D 21 δὲ om. M ὂν seclusi 23 εἰ om. D κινῆσθαι D 24 αὐτῇ D 26 ὁ om. M τινα] τινος M 27 οὐκέτι — 28 σκοπεῖν om. M 30-31 ἴσον et ἴσα A 30 ὂν om. M 31 κινήσεως M

[122] ἀρχὴν καὶ ὑπὲρ αἰτίαν ἐστίν. Ὁ τοίνυν νοῦς νοερὸς μὲν ἀφ' ἑαυτοῦ πρώτου ἐστιν, ὂν δὲ εἰ τύχοι ἀλλαχόθεν γίνεται· καὶ τὸ δίκαιον ἀπὸ τῆς αὐτοδικαιοσύνης πρώτως καὶ τῆς δίκης, αὐτὴ μέντοι ἡ δίκη ἢ τὸ αὐτοδίκαιον οὐκ ἀλλαχόθεν δικαιοῦται· καθὸ γὰρ δίκη καὶ καθὸ κατευθύνει τὰ πράγματα, ἀφ' ἑαυτῆς ἄρχεται· ἀλλαχόθεν μέντοι κατ' ἄλλην ἐπιβολὴν παράγεσθαι οὐ κωλύεται, ὂν εἰ τύχοι ἢ νοῦς ἢ θεός τις γινόμενος ἀπὸ τῆς πάντων ἀρχῆς. Συνεσπειραμένως δὲ αὐτὸ ὁ Πλάτων ἀπέδειξεν ὅτι, εἰ γίνεται ἀρχή, ἐξ οὐκ ἀρχῆς ἂν γένοιτο διὰ τὸ αὐτὴν ὑποκεῖσθαι ἀρχὴν εἶναι. Εἴπωμεν οὖν οὕτως· πᾶσα ἀρχὴ πρώτως ἐστὶν ὃ λέγεται εἶναι· οὐδὲν γενητὸν πρώτως ἐστὶν (πᾶν γὰρ γενητὸν ἀπ' ἄλλου γέγονεν)· οὐδεμία ἄρα ἀρχὴ γενητή. Εἰ γὰρ πᾶν τὸ γινόμενον ἐξ ἀρχῆς τινος γίνεται, καὶ ἡ ἀρχὴ εἰ γίγνοιτο ἐξ ἀρχῆς τινος ἂν γίνοιτο· ὥστε ἡ ἀρχὴ ἀρχῆς ἂν δέοιτο πρὸς τὸ γενέσθαι, καὶ τοῦτο ἐπ' ἄπειρον. Πᾶν τὸ γινόμενον ἐξ οὐ τοιούτου γίνεται, ζῷον ἐκ μὴ ζῴου, οἰκία ἐκ μὴ οἰκίας· ὥστε καὶ ἡ ἀρχὴ εἰ γίνοιτο ἐκ μὴ ἀρχῆς ἂν γίνοιτο. Ὁμοῦ ἄρα καὶ ἐξ ἀρχῆς ἂν γίνοιτο ὡς γενητὸν καὶ ἐκ μὴ ἀρχῆς ὡς ἀρχή· ὅπερ ἀδύνατον. Πᾶν ἄρα ὃ πρώτως τί ἐστι, τουτέστι πᾶσα ἀρχὴ ἀγένητος. Ἤρκει μὲν οὖν ταῦτα πρὸς ἀπόδειξιν τῆς τῶν ἀρχῶν ἀφθαρσίας· προστίθησι δὲ καὶ ἄλλην διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· ἀρχῆς γάρ, φησίν, ἀπολομένης οὔτε ἄλλο τι γενήσεται ἐξ αὐτῆς οὔτε αὐτὴ ἐξ ἄλλου. Διότι μὲν γὰρ πᾶν τὸ γινόμενον ἐξ ἀρχῆς γίνεται, οὐκ ἂν [γε] γίνοιτό τι ἄλλο ἐξ αὐτῆς· ἀπόλωλε γὰρ ἡ ἀρχή· αὐτὴ δὲ πάλιν οὐκ ἂν γίνοιτο, τῷ πάλιν ἐξ ἀρχῆς τινος γίνεσθαι τὸ γινόμενον, αὐτὴ δὲ ἡ ἀρχὴ ἀπόλωλεν· ὥσπερ ῥίζης αὐτῆς ἐκκοπείσης οὐδεμία βλάστησις γίνεται, οὕτως, φησίν, ἀρχῆς τῆς κινήσεως ἀπολομένης, πάντα οὐρανὸν καὶ γένεσιν συμπεσοῦσαν στῆναι καὶ μηκέτι ἔχειν ὅθεν γενήσεται. — Ἑξῆς πρότασιν τὴν λέγουσαν ὅτι τὸ ἀγένητον ἄφθαρτον, γενναίως μὲν καὶ ὁ Ἀριστοτέλης ἀπέδειξε, λάβοις δ' ἂν αὐτοῦ συντόμως οὕτω τὴν ἀπόδειξιν· εἰ γὰρ φθείρεται τὸ ἀγένητον, ἤτοι λήξεται πάντα φθαρτὰ γενόμενα, ἢ πάλιν ἀποδοθήσεται, καὶ ἐκ τῶν φθαρτῶν τι εἰς τὸ ἀγένητον ἥξει, καὶ οὕτω τὸ γενητὸν

18 245 D 26 *De cælo* I 12, 282 *a* 31

NC 2 ὂν δὲ « *sed tanquam ens* » γίνεται om. D καὶ τὸ] τὸ δὲ M 3 δήκη D 6-7 ὂν — ἀρχῆς, mutilum vel corruptum 8 εἴπωμεν — 9 εἶναι om. M 9 πρώτως post γενητὸν] πρῶτον M 10 γὰρ] δὲ M 11 γὰρ] δὲ D 13 fort. πᾶν <αὖ> 14 οἰκεία... οἰκείας D 19 διότι A^2M : διὰ τί A^1D : codicis A librarius erasit et accentum qui erat supra τι et litteræ α extremam partem, unde ο efficeret 20 γε] τε M : om. D : ego seclusi 21 αὐτὴ scripsi : αὕτη libri 22 αὐτὴ M : αὕτη A 23 αὐτῆς M : αὐτοῦ A γίνεται M : γένηται A 24 ἀπολουμένης D πάντα τε Plat. καὶ] πᾶσάν τε Plat. 25 μηκέτι] μήποτε M : μήποτε αὖθις Plat. ἔχειν στῆναι Platonis codd. : ἔχειν Stobæus ὅθεν κινηθέντα γενήσεται Plat. 26 τὸ om. M γενναίως — 28 ἀγένητον om. D 27 αὐτοῦ om. M 28 λήξεται scripsi : λήσεται AD : λήγεται M γινόμενα M 29 τι om. M

p. 123 ἔσται ἀγένητον· | εἰ γὰρ τὸ ἀγένητον εἴη φθαρτὸν, τὸ δὲ φθαρτὸν γενητόν ἐστι, τὸ ἀγένητον γενητὸν ἔσται· ὅπερ ἀδύνατον. Ὁ μέντοι Πλάτων συλλαβὼν ἀμφότερα μιᾷ ἔδειξεν ἐπιβολῇ· εἰ γὰρ γίνοιτο ἢ φθείροιτο ἡ ἀρχὴ, ἀνάγκη αὐτῇ πάντα συμφθείρεσθαι, καὶ οὕτως οὔτε οὐρανὸς ἔσται οὔτε γένεσις, ἀλλ' οὐδ' ἂν γένοιτο. Τὸ ὅλον οὖν τοῦτο· « ἡ ἀρχὴ ἀγένητος ἄφθαρτος » ἀπεδείχθη. |

f° 50r° ι'. Ἀθανάτου δὲ πεφασμένου] 245 E.

Μέχρι μὲν οὖν τούτων συνήγαγε διὰ τῶν δύο συλλογισμῶν ὅτι τὸ αὐτοκίνητον ἀθάνατον, μηδαμοῦ ψυχῆς μνησθείς, εἰ μὴ ἐξ ἀρχῆς τὸ συμπέρασμα προαναφωνήσας· ὥστε περὶ τοῦ αὐτοκινήτου ἀπεδείχθη ὅτι ἀθάνατον. Νῦν δὲ τὴν πρώτην καὶ ἐλαχίστην πρότασιν αὐτοῖς προσλαμβάνει, ὅτι ἡ ψυχή ἐστιν αὐτοκίνητος, καὶ ὑπομνήσει ἐκ τῶν ἐξ αὐτῶν γινομένων τὸ περὶ αὐτήν. — Τὸ μὲν οὖν πεφασμένου λέγει, τουτέστι φανεροῦ γενομένου καὶ ἐκδήλου· οὕτω γὰρ εἰώθασιν Ἀθηναῖοι χρῆσθαι τῇ λέξει. — Τὸ δὲ οὐσίαν καὶ λόγον εἶναι τῆς ψυχῆς τὸ αὐτοκίνητον εἶπεν ἀντὶ τοῦ ὁρισμὸν... τοῦτον αὐτῆς λέγων οὐδεὶς ἂν αἰσχυνθήσεται ὡς ψευσάμενος, ἐπειδὴ ἔστι τὸν ὁρισμὸν καὶ κατὰ τὸ πρᾶγμα αὐτὸ θεωρεῖν καὶ κατὰ τὸν λόγον· οἷον τὸ « ζῷον λογικὸν θνητόν » δυνατὸν καὶ ὡς πρᾶγμα ἐνὸν ἐν τῷ ἀνθρώπῳ, μᾶλλον δὲ αὐτὸ ὂν τὸν ἄνθρωπον καὶ τὸ ἀνθρώπου εἶδος θεωρεῖν, δυνατὸν δὲ καὶ ὡς προφορικὸν λόγον ἐπισκέπτεσθαι. Διὰ τοῦτο καὶ αὐτὸς ἀμφότερα εἶπε τὸ δὲ λέγων οὐκ αἰσχυνεῖται, μάλιστα μὲν καὶ πρὸς ἑαυτὸν τοῦτο λέγων, πάντων δὲ μάλιστα αἰσχύνας ἑαυτόν (οὐ γὰρ μεταμελήσει αὐτῷ ὁ τοιοῦτος ὁρισμὸς τῆς ψυχῆς)· δεύτερον δὲ καὶ πρὸς τοὺς ἄλλους ἀνέλεγκτος ὑπ' αὐτῶν μένων. Δείκνυσι δὲ ὅτι μόνη ψυχὴ αὐτοκίνητος διὰ τοῦ πᾶν ἑτεροκίνητον ἄψυχον εἶναι. Συλλογίζεται δὲ οὕτως· πᾶσα καὶ μόνη ψυχὴ ἐνδίδωσιν ἀρχὴν κινήσεως τοῖς σώμασι· τὸ ἐνδιδὸν ἀρχὴν κινήσεως τοῖς σώμασιν αὐτοκίνητον· ἡ ψυχὴ ἄρα αὐτοκίνητος. Ὑπομιμνήσκει δὲ ἐκ τῶν ἐναργῶν καὶ φαινομένων· εἰ γὰρ διαφέρει τὸ ἔμψυχον σῶμα τοῦ ἀψύχου τῷ ἀφ' ἑαυτοῦ καὶ ἔνδοθεν κινεῖσθαι (ὃ γὰρ

14 εἰώθασιν e. g. πεφασμένως SOLON ap. LYS. X 19 (qui per φανερῶς explicat et PLUT. *Sol.* 23 : cf. HARPOCR. s. v. πεφασμένης : in nostro Platonis loco Cicero vertit « *qui pateat* »

TIT 8 συλλογισμοὶ τῆς αὐτοκινησίας τῆς ψυχῆς C

NC 2 ἔσται] ἔστι M 5 γένοιτο] ἀγένητον M 5-6 ἀγένητος καὶ ἄφθαρτος M 7 ἀθανάτου, ἀ rubr. A 14 ἐκδήλου] εὐδήλου M 15 τε καὶ Plat. 16 lacunam significavi αὐτῆς] fort. αὐτὸν legendum ex Platone 18 δυνατὸν δὲ E[2] ἐν om. M 19 εἶδος] εἶναι A[a] 20 λόγον om. M ἐπισκέπτεσθαι M : ἐπισκέπεσθαι AE[2] : ἐπισκέψασθαι E[1] 21 τὸ δὲ] τόδε M μὲν evanid. in A 22 αἰσχύνας ἑαυτόν scripsi : αἰσχύν *σαυτὸν legi in A : αἰσχύνων ἑαυτὸν M : αἰσχῦναι σαυτὸν E 24 τοὺς om. M ἀνέλεκτος M (jam correxerat AST) 26 τοῖς σώμασι κινήσεως M 27 ἐνδίδον A 28 ἐναργῶν] τελευταιῶν ME

123] ἂν ἴδωμεν ἀφ' ἑαυτοῦ κινούμενον ἔμψυχον λέγομεν), δηλονότι πολλῷ πλέον αὐτὴ ἑαυτὴν κινήσασα καὶ προθυμηθεῖσα κινῆσαι τὸ ζῷον οὕτως αὐτὸ ἐκίνησεν. Οὐ ταραχθησόμεθα δὲ μὴ καὶ ταύτας τὰς ψυχὰς τῶν ζῴων ἀθανάτους δώσομεν ἃς ἐμψυχίας μόνας καὶ ἐντελεχείας εἰώθαμεν καλεῖν, οἷον σκώληκας καὶ ἐμπίδας· ἡ γὰρ ψυχὴ ἐναποτίθεται τοῖς σώμασιν ἀρχὴν κινήσεως, ἤτοι αὐτὴ παροῦσα ὡς ἐφ' ἡμῶν, ἢ ἴνδαλμά τι ἑαυτῆς διδοῦσα. « Πῶς οὖν, εἴποι ἄν τις, ὁρῶμεν καὶ τὸ ἄψυχον σῶμα ἀφ' ἑαυτοῦ κινούμενον ἐπὶ φθοράν, ἢ καὶ τὸ πῦρ ἄνω φερόμενον καὶ τὴν βῶλον κάτω; ἢ γὰρ παντελῶς ἄψυχόν ἐστι τῷ ὄντι τὸ σῶμα τὸ ἐπὶ φθορὰν ὁδεῦον, καὶ οὐ πάσης κινήσεως αἰτία ἡ ψυχή· ἢ ἔμψυχόν ἐστι καὶ ἔσται ἡ ψυχὴ φθορᾶς αἰτία ἡ τὸ ζῆν καὶ τὸ εἶναι παρέχουσα τοῖς ἄλλοις. » Ἐροῦμεν οὖν ὅτι τοῦτο τὸ λεγόμενον ἄψυχον σῶμα ἄψυχον λέγεται ὡς πρὸς τὴν μερικὴν ψυχήν, ἐπειδὴ ἰδίαν οὐκ ἔχει ψυχήν· ἀλλ' ἀπὸ τῆς τοῦ παντὸς ψυχοῦται. Ὡς γὰρ ἐν ἐψυχωμένῳ τῷ κόσμῳ πᾶν σῶμα ἐν αὐτῷ ὂν ἔμψυχόν πώς ἐστιν, ὡς καὶ ἐν ἡμῖν τὰ περιττώματα, ἐν ὅσῳ ἐν ἡμῖν ἐστι, μετέχει τινὸς ζωτικῆς θέρμης, ἔξω δὲ προελθόντα ἀποψύχεται· ἔχει οὖν καὶ τὸ σῶμα ὡς ἐν κόσμῳ ὂν ἴχνος ψυχῆς, ὅπερ αὐτὸ καὶ κινεῖ καὶ ὅπως ποτὲ εἶναι ποιεῖ· καὶ διὰ τοῦτο καὶ τὸ πῦρ ἄνω φέρεται καὶ ἡ βῶλος κάτω, ὡς ὑπὸ τῆς τοῦ παντὸς ψυχῆς κινούμενα. Καὶ γὰρ ἡ φύσις καθ' ἣν κινεῖται ἴνδαλμά ἐστι ψυχῆς· ἄψυχα δὲ αὐτὰ λέγομεν ὡς πρὸς τὴν μερικὴν ψυχὴν ἀφορῶντες· ἐπειδὴ γὰρ οὐχ ὁρῶμεν ἔχοντα αὐτὰ ἰδίαν ψυχήν, ἄψυχα αὐτά φαμεν, ἐπεὶ ὡς ἐν τῷ παντὶ ἐψύχωται. Οὐ δεῖ δὲ θαυμάζειν εἰ ἡ ψυχὴ αἰτία φθορᾶς γίνεται· εἴπομεν γὰρ καὶ ἀνωτέρω ὅτι ὡς πρὸς τὸ αὑτῆς χρήσιμον καὶ τὸ τοῦ παντὸς ἀγαθὸν ἀποβλέπουσα ποιεῖται τὰς κινήσεις. Καὶ ἐνταῦθα p. 124 γοῦν ὁρῶμεν | τὸν σπουδαῖον καὶ λιμοκτονοῦντα τὸ σῶμα, εἰ <δ'> οὕτως αὐτῷ συμφέρει ἔσθ' ὅτε καὶ φθείροντα· Οὕτως οὖν καὶ ἡ τοῦ παντὸς ψυχή, ἐπειδὰν ἡ μερικὴ ψυχὴ ἀπολίπῃ τὸ σῶμα, ἀναλύει αὐτὸ καὶ ἀναστοιχειοῖ· οὐδὲ γὰρ λυσιτελεῖ τῷ παντὶ ἔτι συνεστάναι αὐτό· ὥσπερ δὴ καὶ ἡ ἐν ἡμῖν φύσις τινὰς μὲν τῶν χυμῶν συνίστησι, τινὰς δὲ διαλύει, πρὸς τὸ τοῦ παντὸς ἡμῶν σώματος χρήσιμον τεταμένη.

Τῶν δύο οὖν συλλογισμῶν τῶν ῥηθέντων ἑκάτερος μὲν ἀμφότερα δείκνυσιν, ὅτι τε οὐκ ἐξ ἑαυτῆς φθείρεται ἡ ψυχὴ καὶ ὅτι οὐδ' ὑπὸ τῶν ἔξωθεν· μᾶλλον μέντοι ὁ μὲν πρότερος τὸ πρότερον, ὁ δὲ δεύτερος τὸ δεύτερον· διὰ τοῦτο δὲ καὶ κοινὴν ἔλαβεν ἀμφοτέρων τῶν συλλογισμῶν τὴν πρότασιν

TIT 3 περὶ τῶν ἄλλων ψυχῶν αἳ ἐμψυχίαι καὶ ἐντελέχειαι μόνον λέγονται (sic scripsi pro λήγεται) C 7 ἀπορία περὶ τῶν ἀψύχων σωμάτων. λύσις C

NC 4 ἃς καὶ ἐμψυχίας M 5 σκώληκα M 7 πῶς οὖν ἄν τις, omisso εἴποι D (in margine εἴπῃ post τις) 10 φθορᾶς om. M 11 ἡ] : ἢ M 14 αὐτῷ M ἔμψυχον] ἄψυχον M 17 ὅπώς ποτε A 22 φαμὲν A 23 καὶ ante ἀνωτέρω om. M αὐτῆς libri 25 γοῦν] οὖν M δ' addidi 27 ἀπολείπῃ M 32 οὐδ' ex οὐχ A

[124] τὴν λέγουσαν « ἡ ψυχὴ αὐτοκίνητος, » οὐχ ἁπλῶς διαλεκτικῆς χάριν ἐπιχειρήσεως, ἀλλ' ἐπειδὴ αὕτη ἡ αὐτοκινησία οὐσία οὖσα τῆς ψυχῆς, καὶ f°50v° ταῦτα ὄν, αὐτῇ αἰτία ἐστὶ καὶ τοῦ μὴ | φθείρεσθαι [τὴν ψυχὴν] καὶ τοῦ τὰ ἄλλα ὑπ' αὐτῆς ζῆν καὶ συνέχεσθαι. Ἀποδεικτικοὶ οὖν εἰσιν ἀμφότεροι οἱ λόγοι· ἐκ γὰρ τοῦ ὁρισμοῦ τῆς ψυχῆς ἐλήφθησαν, καὶ πάντες εἰσὶ καθ' αὐτὸ καὶ ᾗ αὐτὸ οἱ ὅροι, διὸ καὶ ἀντιστρέφουσι πρὸς ἀλλήλους. Ἐγκαλοῦσι δέ τινες τῷ ὁρισμῷ ὡς οὔτε γένος οὔτε διαφορὰς παραλαμβάνοντι, ἀλλὰ ἁπλῶς ὁρικῷ ὄντι ὀνόματι, τῷ αὐτοκινήτῳ κεχρῆσθαι. Μάλιστα δὲ θαυμάσαι ἐχρῆν ἐνταῦθα τὸν φιλόσοφον ὅτι τὸ ἰδικώτατον καὶ μάλιστα ἴδιον τῆς ψυχῆς κατεσκεύασε, τὰ κοινὰ τὰ πρὸς τὰ ἄλλα αὐτῆς παρείς. Ἔξεστι δέ σοι αὐτὸ τοῦτο κατιδεῖν πληρώσαντι τὸν ὁρισμόν· ἔστι γὰρ ψυχὴ οὐσία ἀσώματος αὐτοκίνητος γνωστικὴ τῶν ὄντων. Ὁρᾷς οὖν ὅτι κατὰ μὲν τὰ ἄλλα πάντα πολλοῖς κοινωνεῖ, κατὰ δὲ τὸ αὐτοκίνητον μάλιστα αὐτὴ χαρακτηρίζεται, καὶ γὰρ ὃ δοκεῖ αὐτῇ μάλιστα ὑπάρχειν, τὸ γνωστικὴν εἶναι τῶν ὄντων, τοῦτο καὶ τῇ αἰσθήσει οὐδὲν ἧττον ὑπάρχει· γνωστικὴ γάρ ἐστι καὶ αὕτη τῶν συζύγων.

ια'. Περὶ μὲν οὖν ἀθανασίας αὐτῆς] 246 A.

Ἱκανῶς καὶ ὁ Πλάτων ἐμαρτύρησε τῷ λόγῳ· οὐδαμοῦ γὰρ οὕτω διισχυρίσατο ὡς ἐνταῦθα τῇ ἀθανασίᾳ τῆς ψυχῆς· εἶπε γὰρ περὶ ἀθανασίας αὐτῆς ἱκανῶς διειλέχθαι. Ἀθάνατον δὲ ἔλαβε τὸ ἀΐδιον· τὸ γὰρ μήτε ἐν τῷ προτέρῳ χρόνῳ γενόμενον μήτε ἐν τῷ ὑστέρῳ φθαρησόμενον ἀΐδιον εἰώθαμεν λέγειν, ὅ ἐστι κυρίως ἀθάνατον, ἐπεὶ καὶ τὸ εἰς τὸν μέλλοντα χρόνον μὴ φθαρησόμενον ἀθάνατον λέγομεν, ὡς εἰ εἴποιμεν· « ἀθάνατος εἶ σύ. » Ὃ δὲ τὸ κυρίως ἔλαβεν ἀθάνατον τὸ ἐφ' ἑκάτερα ἀΐδιον, τουτέστι τὸ ἀγένητον καὶ ἄφθαρτον. Ὁ μὲν οὖν πρότερος λόγος, ὁ ἀπὸ τῆς αὐτοκινησίας καὶ τῆς ἀρχῆς τῆς κινήσεως τὸ ἀθάνατον κατασκευάζων, τὴν πρόοδον ὥσπερ τῆς ψυχῆς καὶ τὴν πρὸς τὰ μετ' αὐτὸ σχέσιν ἐθεώρει· ὁ δὲ νῦν ὁ περὶ τῆς ἰδέας αὐτῆς οἷον τὴν ὑποστροφὴν αὐτῆς τὴν πρὸς τὰ αἴτια καὶ τὸν ἐκεῖθεν αὐτῇ ἐνδιδόμενον ὅρον. Προϊοῦσα μὲν γὰρ οἷον ἄπειρος ζωὴ φαίνεται, στραφεῖσα δὲ ἐπὶ νοῦν ἐκεῖθεν τὸν ὅρον κομίζεται. Τί οὖν βούλεται ἡ ἰδέα τῆς ψυχῆς ἐνταῦθα; Εἰ μὲν γὰρ τὸ παράδειγμα αὐτῆς

TIT 6 κατὰ τοῦ ὁρισμοῦ τῆς ψυχῆς C 8 ἀπολογία ὑπὲρ τοῦ ὁρισμοῦ C 11 ὁρισμὸς ψυχῆς ἐντελής C 30 τί ἰδέα ψυχῆς· λύσις C

NC 1 ἐπὶ διαλεκτικῆς M 2 αὕτη scripsi : αὐτὴ libri αὐτοκινησία scripsi : ἀκινησία libri (sed ἀεικινησία a) οὐσία οὖσα] οὖσα M : οὐσία Aβτ 3 ταῦτα ὄν, « *cum ita sit* » Aβτ τὴν ψυχὴν seclusi 6 αὐτὸ] ἑαυτὸ M 8 κεχρῆσθαι] κεχρημένῳ M 10 τὰ tertio loco om. M ἄλλα] ἀλληλα M 12 οὖν om. M 13 αὐτὴ scripsi : αὕτη libri 14 γὰρ om. M 16 συζύγων] συζυγιῶν M 17 περὶ, π rubr. A 22 τὸ om. M 23 ἀθάνατον om. M 24 ὃ δὲ] ἢ A[a] 25 πρότερος] πρῶτος M 26 κατασκευάζων] σκευάζων M

[124] λέγοι, οὐδὲν κοινὸν πρὸς τὴν ψυχήν· οὐ γὰρ περὶ ἰδεῶν πρόκειται λέγειν· εἰ δὲ ἰδέα τῆς ψυχῆς τὴν οὐσίαν αὐτῆς σημαίνοι, ἐπειδὴ ἁπλοῦν εἶδος καὶ ἄυλον ἡ ψυχή, καὶ οὐ τὸ μέν τι αὐτῆς οἷον ὑποκείμενον τὸ δὲ οἷον εἶδος, ἀλλὰ ταὐτὸν ψυχὴ καὶ τὸ ψυχῇ εἶναι, δὶς ἔσται περὶ τῆς οὐσίας τῆς ψυχῆς λέγων. Ἐροῦμεν οὖν ὅτι οὐσία μὲν ἑκάστου πράγματός ἐστι τὸ ἓν τὸ ἐν αὐτῷ καὶ τὸ οἷον ἑνικώτατον (τοῦτο γάρ ἐστι τὸ ἓν τὸ ἑκάστου πλήθους ὡς οἷόν τε ἀπαρέμφατον ὑπάρχον), τὸ δὲ εἶδος ἤδη καὶ τὸ πλῆθος καὶ τὰ οἱονεὶ στοιχεῖα ἐνδείκνυται τοῦ πράγματος. Καὶ τὸ ἓν <καὶ> πολλὰ αὐτοῦ ἐθέλει σημαίνειν· ἔστι γὰρ ἡ ψυχὴ ἓν καὶ πολλά· οὔτε γὰρ μόνως καὶ καθαρῶς ἓν οὔτε πλῆθος διεσπασμένον. Ὁ μὲν οὖν πρότερος λόγος ὁ τὴν 125 ἀθανασίαν αὐτῆς κατασκευάζων περὶ τὸ | οὐσιῶδες αὐτῆς ἓν ἀνεστρέφετο· ὁ δὲ νῦν μέλλων λέγεσθαι ὁ περὶ τῆς ἰδέας περὶ τὸ πλῆθος καὶ τὰ στοιχεῖα· τοῦτο γὰρ βούλονται οἱ ἵπποι καὶ ὁ ἡνίοχος. Ἀνωτέρω μὲν οὖν ἑνιαίως ἡμῖν καὶ ἀθρούστερον παρεδίδου τὴν τῆς ψυχῆς οὐσίαν· τὸ γὰρ ὂν αὐτῆς, αὐτοκίνητόν τε καὶ ἀεικίνητον καὶ ἀθάνατον ὑπάρχον, οἷον ἕν πώς ἐστιν, αἰτιώτερον δέ πως ἀεὶ τὸ πρότερον τῷ δευτέρῳ καὶ τὸ δεύτερον τῷ τρίτῳ· τό τε γὰρ αὐτοκίνητον αἴτιον τοῦ ἀεικινήτου, τό τε ἀεικίνητον τοῦ ἀθανάτου. Δύο γὰρ ὄντων τούτων, τοῦ τε ἀκινήτου ὃ κρεῖττόν ἐστι πάσης κινήσεως καὶ ζωῆς οἷον τὸ ὑπερούσιον ἓν καὶ αἱ πρῶται ἑνάδες, τοῦ τε ἑτεροκινήτου ὃ χεῖρόν ἐστι καὶ καταδεέστερον πάσης ζωῆς καὶ κινήσεως, προσεχέστερόν ἐστι τὸ μὲν αὐτοκίνητον τῷ ἀκινήτῳ (ἀεὶ γὰρ ἑαυτὸ βούλεται σῴζειν τὸ αὐτοκίνητον, ὥσπερ ἀεί ἐστι τὸ αὐτοκίνητον ἡ πρώτη ἀρχή), τὸ δὲ ἀθάνατον τῷ ἑτεροκινήτῳ· κατὰ στέρησιν γὰρ ἤδη τοῦ θανάτου λεγόμενον προσεχέστερόν ἐστι τοῖς ἑτεροκινήτοις, τὰ δὲ ἀκίνητα καὶ ὑπὲρ τὸ ἀθάνατόν ἐστιν· ἡ δὲ ἀθανασία ζωή τίς ἐστιν οἷον πνοή τις οὖσα τῆς οὐσίας τῆς ψυχῆς. Τριάδα οὖν ταύτην ἐθεωρήσαμεν ἐπὶ τῆς ψυχῆς εἰς ἕν τι συντρέχουσαν. Λέγων δὲ ἑξῆς καὶ τὰ περὶ τῆς ἰδέας πάλιν τριάδα λήψεται, ἀνάλογον μὲν τῇ προειρημένῃ τριάδι, ἐν πλείονι δὲ ἑτερότητι θεωρουμένην. Ὥσπερ γὰρ ὁ τρία ἀριθμὸς προιὼν εἰς πλείονα διάστασιν καὶ ἑτερότητα χωρεῖ καὶ προέρχεται, καὶ χείρων ἑαυτοῦ γίνεται κατὰ τὴν πρόοδον, ἀεὶ μένων τρία, οἷον τετράγωνός τε γινόμενος καὶ πάλιν κύβος σῴζων ἀεὶ τὴν ἰδιότητα τοῦ τρία· οὕτω καὶ ἡ ψυχὴ ἀπὸ τοῦ ἑνιαίως ἑαυτῆς ὄντος, ὃ καὶ αὐτὸ ἀθρούστερον ἓν τρία ἐστίν, ἐπὶ πλέον προελθοῦσα καὶ ἑτερωθεῖσα 51 r° γίνεται πάλιν ἓν τρία | ἐν πλείονι διαστάσει θεωρουμένη, λέγω δὴ τῇ τοῦ ἡνιόχου καὶ τῶν δύο ἵππων. Ἀλλὰ τίνες ὅ τε ἡνίοχος καὶ οἱ δύο ἵπποι;

TIT 35 τίνες ὁ ἡνίοχος καὶ οἱ δύο ἵπποι C

NC 1 λέγοι] λέγει M   2 εἰ] ἡ M   σημαίνοι] σημαίνει M : cf. 1   3 μέν τι] μέντοι M   4 ψυχῇ A posteriore loco   7 οἱονεὶ M οἷον τε (sic) A   8 καὶ addidi   9 θέλει M   18 χρεῖττον ἔστι A   20 χεῖρον ἔστι A   22 αὐτοκίνητον posteriore loco] ἀκίνητον A   25 ἐστὶν A   28 θεωρουμένην ἑτερότητι M   29 τρία ἀριθμὸς] τριάριθμος M   30 χεῖρον A   31 γενόμενος M   34 δὴ] δὲ M   35 δύο ante ἵπποι om. A[a]

[125] Καὶ πρῶτόν γε περὶ αὐτῶν τοῦτο θεωρητέον, πότερον κατὰ τὰς οὐσίας αὐτοὺς δεῖ τάττειν ἢ κατὰ τὰς δυνάμεις ἢ κατὰ τὰς ἐνεργείας· ἄλλοι γὰρ ἄλλως ἠνέχθησαν. Φημὶ δὴ ὅτι κατὰ τὰς δυνάμεις· κατὰ μὲν γὰρ τὰς ἐνεργείας οὐκ ἂν εἶεν, ἐπειδὴ ἐνεργοῦντες παραδίδονται οἱ ἵπποι, τῶν δὲ ἐνεργειῶν ἐνέργειαι οὐκ εἰσί, καὶ ὅτι αἱ μὲν ἐνέργειαι τῆς ψυχῆς ἄλλοτε ἄλλαι εἰσὶν, οἱ δὲ ἵπποι ἀεὶ οἱ αὐτοί (οὐ γὰρ ἄλλους καὶ ἄλλους ἵππους δέχεται, ἀλλ' ἀεὶ τοὺς αὐτοὺς ἔχει)· ἀλλ' οὐδὲ κατὰ τὰς οὐσίας, ἐπειδὴ καὶ ἐφ' ἡμῶν αἱ οὐσίαι ἀκάκωτοι μένουσιν οὐ γὰρ κακύνεται ἡ οὐσία τῆς ψυχῆς (καὶ γὰρ ἂν καὶ ἐφθείρετο), ἀλλ' αἱ δυνάμεις εἰσὶν αὐτῆς αἱ κακυνόμεναι, καὶ πολλῷ πλέον αἱ ἐνέργειαι. Λέγει δὲ καὶ αὐτὸς ὁ Πλάτων ὅτι θεῶν μὲν οὖν ἵπποι τε καὶ ἡνίοχοι πάντες αὐτοί τε ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν, περὶ δὲ τῶν ἡμετέρων ὅτι καὶ κακύνονται καὶ πτερορρυοῦσιν. Εἰ τοίνυν ἡ μὲν οὐσία τῆς ψυχῆς ἡμῶν ἀκάκωτος μένει, αἱ δὲ δυνάμεις διαστρέφονται, ἔστι δὲ ὅτε καὶ ἀργοῦσιν, εἰκότως ἂν κατὰ τὰς δυνάμεις τάττοιντο. Τοῦτο δὲ καὶ αὐτὸς ὁ Πλάτων σαφῶς βοᾷ εἰπών· « ἔοικέ τῳ δὴ ξυμφύτῳ δυνάμει. » Εἰ δέ τις λέγοι ὅτι τὸ αὐτοί τε ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν ὡς ἀπὸ αἰτίων εἴρηται ἀγαθῶν, τὸ ἑξῆς ἀντιμαρτυρήσει αὐτῷ. Καὶ γὰρ οἱ ἡμῶν ἐξ ἀγαθῶν ὡς ἀπὸ αἰτίων εἰσὶν, ὥστε πάντες κατὰ τοῦτο ἔσονται ἀγαθοί, λέγει δὲ τοὺς ἡμετέρους κακύνεσθαι. Οὐ πρῶτος δὲ ὁ Πλάτων ἡνίοχον καὶ ἵππους παρέλαβεν, ἀλλὰ πρὸ αὐτοῦ οἱ ἔνθεοι τῶν ποιητῶν, Ὅμηρος, Ὀρφεύς, Παρμενίδης· ἀλλ' ὑπ' ἐκείνων μὲν ἅτε ἐνθέων ἄνευ αἰτίας εἴρηται· ἐνθουσιῶντες γὰρ ἔλεγον. Ἐπειδὴ δὲ ὁ Πλάτων οὐδὲν εἰς τὴν ἑαυτοῦ φιλοσοφίαν παραλαμβάνει ὃ μὴ καὶ αἰτίᾳ ἠδύνατο ὑποβάλλεσθαι, ῥητέον ἡμῖν τὰς αἰτίας, εἰ καὶ αὐτὸς μετὰ μείζονος ἀξιώματος προφέρων τοὺς λόγους παρῆκε τὰς αἰτίας εἰπεῖν, καὶ τέως ὅτι καὶ οἱ πρὸ αὐτοῦ ἐοίκασιν ἐπὶ τῶν δυνάμεων καὶ αὐτοὶ παραλαμβάνειν τόν τε ἡνίοχον καὶ τοὺς ἵππους. Ζεὺς γὰρ παρ' Ὁμήρῳ κέχρηται τοῖς ἵπποις οὓς λέγεται λύειν ὁ Ποσειδῶν, καὶ οὐκ ἀεὶ αὐτοῖς χρώμενος, ἀλλὰ καὶ καθεζόμενος
p. 126 ἐπὶ θρόνου παραδέδοται· εἰ δὲ ἦν ἡ οὐσία τοῦ Διὸς τὸ ἐποχεῖσθαι | τοῖς

19 οὐ πρῶτος — 21 Παρμενίδης jam edidit Gesner in *Orphicis* (fr. 65 Abel) ex P 21 Ὅμηρος cf. 27 Παρμενίδης vv. 1 sqq de re vid. Olympiod. in *Phædon.* p. 45, 8 Finckh 27 Θ 438 sqq. Ζεὺς... εὔτροχον ἅρμα καὶ ἵππους Οὔλυμπόνδε διώκε... τῷ δὲ καὶ ἵππους μὲν λῦσε κλυτὸς Ἐννοσίγαιος

TIT 19 τίνες πρὸ τοῦ Πλάτωνος παρέλαβον C 22 τί φησι περὶ τοῦ Πλάτωνος φιλοσοφίας C

NC 1 πότερον ex πρότερον A : πρότερον M (jam correxerat Ast) 2 τάττειν] πράττειν M ἄλλοι sc. interpretes 3 ἄλλως] fort. ἄλλοσε γὰρ om. M 8 αἱ om. M καὶ γὰρ] ἢ γὰρ M 11 πάντες αὐτοί τε] καὶ πάντες αὐτοὶ Plat. cod. B 14 ἀργοῦσιν] ἐνεργοῦσιν M 15 ἔοικέ τῳ sic cum ι subscripto AE velut Plat. cod. T : ἔοικε τῷ M velut Plat. cod. B : ἐοικέτω Ast velut Stobæus, codicis T margo, Plat. editores 17 αὐτῷ] αὐτῇ M 23 αἰτία Ast ὑποβαλέσθαι M 26 τε om. M 29 τὸ] τοῦ M (jam correxerat Ast)

[126] ἵπποις καὶ ἣν ὁ Ζεὺς ὅπερ ὁ ἡνίοχος, ἀεὶ ἂν ἡνιόχει· νῦν δὲ καὶ ἄλλα τινα ποιῶν παραδίδοται. Ἐοίκασιν οὖν διάφοροί τινες αὐτοῦ δυνάμεις ἀνυμνεῖσθαι οἱ ἵπποι καὶ ὁ ἡνίοχος· κοινοὶ δὲ τέως ὀφείλουσιν εἶναι οἱ λόγοι ἐπί τε τῆς ϑείας καὶ τῆς ἀνθρωπίνης ψυχῆς. Αὐτὸς τοίνυν ὁ Πλάτων ἐν Τιμαίῳ φησὶν ὅτι ὁ δημιουργὸς συνιστὰς τὴν ψυχὴν ἁπλῶς, τουτέστι τὴν οὐσίαν τῆς ψυχῆς, ἔλαβεν ἐκ τῶν γενῶν τοῦ ὄντος οὐσίαν, ταυτὸν ϑάτερον δηλονότι ὡς αὐτός φησιν, οὐσίαν μέσην, ἥτις μέση ἐστὶ τῆς τε ἀμερίστου οὐσίας καὶ τῆς περὶ τὰ σώματα μεριστῆς οὐσίας· μεριστὴ δὲ περὶ τὰ σώματά ἐστιν οὐσία ἡ ἄλογος ζωὴ καὶ ἡ φύσις καὶ αἱ ἐμψυχίαι· καὶ πάλιν ταυτὸν μέσον ὃ μέσον ἐστὶ τοῦ τε ἀμερίστου ταυτοῦ καὶ τοῦ περὶ τὰ σώματα μεριστοῦ ταυτοῦ· ὁμοίως δὴ καὶ ϑάτερον μέσον. Καὶ ταῦτα, φησί, τὰ τρία συγκερασάμενος τὴν οὐσίαν τῆς ψυχῆς συνεστήσατο. Ἀλλὰ τὰς μὲν τῶν ϑείων ἐξ ἀκηράτων γενῶν, τὰς δὲ ἡμετέρας οὐκέτι· ἀκήρατα δέ φησιν οὐκέτι πάμπαν ἀλλὰ δεύτερα καὶ τρίτα κατεχεῖτο μίσγων. Αἱ δυνάμεις οὖν τῶν τριῶν τούτων οἱ ἵπποί εἰσι καὶ ὁ ἡνίοχος· καὶ ἡ μία δύναμις τῆς ψυχῆς ἡ οἰστικὴ τῶν τριῶν τούτων δυνάμεων ἡ ἰδέα ἐστὶν αὐτῆς. Ἡ μὲν οὖν τοῦ ὄντος, τουτέστι τῆς οὐσίας τοῦ ἑνὸς τῶν γενῶν, δύναμις ὁ ἡνίοχός ἐστιν, ἡ δὲ τοῦ ταυτοῦ δύναμις ὁ κρείττων τῶν ἵππων, ἡ δὲ τοῦ ϑατέρου δύναμις ὁ καταδεέστερος ἵππος. Ἐὰν τοίνυν νοήσωμεν δύο ἵππους καὶ ἡνίοχον καὶ συμφύσωμεν αὐτούς, ἡ μία δύναμις ἡ γεννητικὴ καὶ οἰστικὴ τοῦ τε ἡνιόχου καὶ τῶν ἵππων αὐτή ἐστιν ἡ ἰδέα τῆς ψυχῆς. Δύναμιν δὲ ἀκουστέον κατὰ τοὺς γεωμέτρας, ὡς εἰώθασι λέγειν τὴν εὐθεῖαν δύνασθαι τὸ τετράγωνον. Ἐν μὲν οὖν τῷ προτέρῳ λόγῳ περὶ τῆς οὐσίας τῆς ψυχῆς διείλεκται, ἥτις ἐν ἑαυτῇ εἶχε καὶ τὴν αὐτοκινησίαν καὶ τὴν ἀθανασίαν (ἓν γὰρ ἦν ἅμα ταῦτα τὰ τρία), ἐνταῦθα δὲ περὶ τῶν δυνάμεων τῆς ψυχῆς λέγει· διαλέξεται δὲ ἑξῆς καὶ περὶ τῶν ἐνεργειῶν. Τριῶν οὖν τούτων ὄντων, οὐσίας αὐτοκινησίας ἀθανασίας, ἀνάλογον τούτοις εἰλημμέναι εἰσὶν ἐνταῦθα αἱ τρεῖς αὗται δυνάμεις, ἡ ἰδέα καὶ οἱ ἵπποι καὶ αἱ μερικώτεραι ζωαὶ τῶν ἵππων. Τῇ μὲν γὰρ μιᾷ οὐσίᾳ τῆς ψυχῆς, ἥτις ἑνιαίως ἔχει καὶ τὴν αὐτοκινησίαν καὶ τὴν ἀθανασίαν, ἀνάλογον εἴληπται ἡ ἰδέα τῆς ψυχῆς, ἥτις ἐστὶν ἡ μία δύναμις τῆς πάσης ψυχῆς οἰστικὴ τῶν τριῶν δυνάμεων τοῦ τε ἡνιόχου καὶ τῶν ἵππων. Τῇ δὲ αὐτοκινησίᾳ ἀνάλογον εἰλημμένοι εἰσὶν οἱ ἵπποι διὰ τὸ αὐτοκίνητον αὐτῶν. Τῇ δὲ ἀθανασίᾳ αἱ μερικώτεραι ζωαὶ τῶν ἵππων, τουτέστιν αἱ ἄνοδοι καὶ κάθοδοι τῆς ψυχῆς καὶ αἱ πτερορρυήσεις τε καὶ πτεροφυήσεις. Ἀλλὰ διὰ τί ἵππους κέκληκε τὴν τοῦ ταυτοῦ καὶ ϑατέρου δύναμιν, τὴν δὲ τῆς οὐσίας τοῦ ἑνὸς τῶν γενῶν δύναμιν ἡνίοχον; Ὅτι μὲν

5 *Tim.* 35   35 cf. Procl. ad *Tim.* 218 A

NC 4 τῆς ante ἀνθρωπίνης om. M   7 et 13 φησὶν A   8 οὐσίας ante καὶ om. M   9 εὔλογος E   10 τοῦ ante περὶ om. M   14 μίσγων] σμίγων AE   16 ἔστιν A   18 ἐστὶν A   20 γεννητικὴ scripsi : γενητικὴ A : γενετικὴ M   21 αὐτή scripsi : αὕτη libri   24 ἑαυτῇ] ἑαυτοῦ M (jam correxerat Ast)   καὶ τὴν ἀθανασίαν om. M   34 τὲ A

[126] οὖν πάντα μετέχει ἀλλήλων, δῆλον· κατὰ δὲ τὸ ἐπικρατοῦν ἕκαστον λέγε-
f°51 v° ται. Ἡ γὰρ οὐσία ἐστὶν ὃ εἰς τὴν σύστασιν παρελήφθη τῆς ψυχῆς | τὸ
ἀκρότατον καὶ τελειότατον, ... καὶ κατ' αὐτό γε τοῦτο τοῖς ἄλλοις ἐπιστα-
τούσης· κινεῖσθαι οὖν ἡ ψυχὴ κατὰ τὴν οὐσίαν οὐκ ἀναγκάζεται· τὰ δὲ
λοιπὰ δύο, αἱ δυνάμεις τοῦ ταυτοῦ καὶ τοῦ θατέρου, ὡς ἐν κινήσει καὶ πε-
ριόδοις ὁρώμενα, ἵπποις ἀπεικάσθησαν· οἱ αὐτοὶ δέ εἰσι καὶ οἱ τροχοὶ τὸ
ταυτὸν καὶ τὸ θάτερον· ὡς μὲν γὰρ ἐκπεριιόντες τὸ νοητὸν ἵπποι, ὡς δὲ
ἀποκαθιστάμενοι τροχοί. Καὶ ὁ μὲν ἀμείνων τροχός ἐστιν ὁ τοῦ ταυτοῦ
κύκλος ὁ περὶ τὰ νοητὰ στρεφόμενος καὶ τὴν ἀναγωγὸν ἔχων δύναμιν τῆς
ψυχῆς, ὃς καὶ δι' αὐτὸ τοῦτο εὔτροχος προσηγόρευται· ὁ δὲ ἕτερος θατέρου
ὁ καὶ γενεσιουργὸς ὁ περὶ τὰ αἰσθητὰ καὶ δοξαστὰ στρεφόμενος, ὃς ὀρθὸς
προσείρηται, ὅταν τὴν οἰκείαν ἔχῃ ἀρετὴν καὶ οὕτως ἔχων τοῦ ὀρθοῦ καὶ
τῆς εὐθείας τὴν ἔνδειξιν ὅταν ἀδιαστρόφως ἀναγγείλῃ τὰ αἰσθητά· οἷον εἰ
θελήσει τι ἡ δόξα τῶν αἰσθητῶν ἰδεῖν, ἐξάρχει μὲν ἡ προαίρεσις καὶ διε-
γείρει καὶ ἐντείνει τὸ πνεῦμα, τὸ δὲ εἰ τύχοι διὰ τῶν ὄψεων ἐκπέμπει τὰς
ἀκτῖνας· αἱ δὲ προσβάλλουσι τῷ αἰσθητῷ, καὶ πάλιν δι' αὐτῶν ἀνακάμψασα
ἡ αἴσθησις ἀπαγγέλλει τῷ πνεύματι κἀκεῖθεν τῇ δόξῃ· καὶ οὕτως ἡ ἀνά-
p. 127 καμψις | οὐκ ἔστιν ἀκριβῶς κύκλος, ἀλλ' εὐθεῖα δίαυλον δραμοῦσα μιμεῖται
τὸν κύκλον, καὶ ἔστι τὸ ὅλον τοῦτο ὀρθὸς κύκλος. Ὅταν δὲ διαστρόφως
ἀναγγείλῃ, παντοίας λέγεται κλάσεις ἔχειν. Ἔχει δὲ οὗτος καὶ τὴν κατα-
γωγὸν καὶ γενεσιουργὸν δύναμιν τῆς ψυχῆς, ἐπὶ δὲ τῶν θείων ψυχῶν τῶν
προνοητικῶν τῶν δευτέρων... Ἔχει μὲν οὖν ὑγιῶς τὰ εἰρημένα, καὶ οὕτω
δεῖ οἴεσθαι ἔχειν. Ἔστι δὲ καὶ οὕτω διαιρεῖν, καὶ ἡνίοχον μὲν λέγειν τὸ
νοερὸν τῆς ψυχῆς, τουτέστι τὸν νοῦν, ταυτοῦ δὲ κύκλον καὶ ἀμείνονα
ἵππον λέγειν τὴν διανοητικὴν ψυχήν, θατέρου δὲ καὶ χείρονα ἵππον τὴν
δοξαστικήν. Ἰστέον δὲ ὅτι καὶ ἡ διάνοια τοῦ θατέρου μετέχει καὶ ἡ δόξα
τοῦ ταυτοῦ· πᾶν γὰρ ὅπερ ἂν λάβῃς τῆς ψυχῆς ἀμφοτέρων μετέχει. Κατὰ
μὲν τὸ ἀκρότατον τῆς ψυχῆς θεωροῦντί σοι τοὺς ἵππους καὶ τὸν ἡνίοχον,
ἡνίοχος μὲν ἔσται ἡ ἄκρα τῆς ψυχῆς ἕνωσις ἡ πρὸς τὰ νοητὰ καὶ τοὺς
θεούς· ὁ δὲ ἀμείνων ἵππος ὅσπερ αὐτῆς ἀεὶ τῶν νοητῶν ἐφίεται· ὁ δὲ
καταδεέστερος ὅσπερ μετὰ διαιρέσεως καὶ μεταβάσεως ἐφάπτεται τῶν νοή-
σεων. Καὶ ταῦτα μὲν εἰ ἐπὶ τῆς διανοητικῆς μόνης ψυχῆς ὁρῴης τόν τε
ἡνίοχον καὶ τοὺς ἵππους· εἰ δέ γε ἐπὶ τῆς δοξαστικῆς, τὸν μὲν ἡνίοχον τὴν
διάνοιαν ληψόμεθα, τὸν δὲ κρείττονα τῶν ἵππων τὴν δύναμιν τῆς δοξασ-

NC 2 ἡ γὰρ scripsi : ἡ δὲ A : ἥδε ἡ M ἔστιν A ἡ γὰρ — 4 ἀναγκάζεται : desunt quædam, quibus Hermias explicaverat quid sibi vellet auriga 4 ἀναγκάζεται, omisso οὐκ A[a] 6 ἀπεικάζονται a 7 ἐκπεριιόντες scripsi : ἐκπεριόντες libri 8 ἐστιν] ὅ ἐστιν M ἐστὶν A τοῦ om. M 16 προβάλλουσι M 18 εὐθεῖα] εὐθεῖαν M 20 καὶ om. M 21 τῶν ante προνοητικῶν om. M 22 δευτέρων : « *excidisse hic quidquam videtur* » Ast οὕτω] τοῦτο M 23 καὶ ante ἡνίοχον om. M 25 λέγειν ἵππον M ¹ τὴν ante διανοητικὴν om. M 27 ἂν om. M 28 ἀκροτάτην M (jam correxerat Ast) σοι om. M

[127] τικῆς, ἥτις ἀεὶ ἐφίεται τῇ διανοίᾳ συντάττεσθαι, τὸν δὲ καταδεέστερον ἵππον ἥτις αὐτῆς δύναμις ἐφίεται τῆς γενέσεως καὶ τῆς τῶν δευτέρων προστασίας. Δυνατὸν δὲ καὶ κατὰ τὸ συναμφότερον, τὴν διάνοιαν καὶ τὴν δόξαν, ἐκλαβόντα τὸν ἡνίοχον, τῶν ἵππων τὸν μὲν ἀμείνω κατὰ τὸ διανοητικὸν μόνον τάξαι, τὸν δὲ καταδεέστερον κατὰ τὸ δοξαστικόν. Ἰστέον γὰρ ὡς τῆς ψυχῆς ἐπιδούσης ἑαυτὴν τοῖς κρείττοσι, καὶ ἡ δόξα ὅλην ἑαυτὴν ἐπιδίδωσι τῇ διανοίᾳ καὶ αὐτῆς εἶναι ἐθέλει, ἀποχαμοῦσα μέντοι ποτὲ καὶ καθ' ἑαυτὴν ἐνεργῆσαι θέλει. Καὶ ταῦτα μὲν εἰ ἐπὶ μόνης τῆς λογικῆς ψυχῆς θεωροίημεν τοὺς ἵππους καὶ τὸν ἡνίοχον· ἐπειδὴ δὲ καὶ εἰς τοῦτο κάτεισιν ἡ ψυχὴ ὥστε λοιπὸν αὐτῇ προσυφαίνεσθαι καὶ τὸ ἄλογον, καὶ ἑκάτερον τῶν ἵππων ἀντιτείνειν ἐν τῷ προσυφανθέντι ἀλόγῳ εἴδει τῆς ψυχῆς, μηδὲ τούτους παρῶμεν. Τοὺς μὲν γὰρ προτέρους εἶχεν ἡ ψυχὴ κατὰ τὴν αἰώνιον ἑαυτῆς ἀπὸ τοῦ δημιουργοῦ μόνου πρόοδον· οὓς δὲ νῦν μέλλω λέγειν, ἐκ τοῦ προσκειμένου θνητοῦ εἴδους τῆς ψυχῆς, οὓς ἀπὸ τῶν νέων θεῶν προσλαμβάνει. Ἔσται τοίνυν ἡνίοχος μὲν κατὰ τὴν δόξαν, ὁ δὲ κρείττων τῶν ἵππων ὁ θυμός, ὁ δὲ καταδεέστερος ἡ ἐπιθυμία. Καὶ ὀρθῆς μὲν οὔσης τῆς δόξης τὸν μέσον καὶ ὀρθοδοξαστικὸν ἄνθρωπον καὶ μέσον ἡνίοχον ἀποτελεῖ, διεστραμμένης δὲ τὸν διάστροφον, καὶ ἔοικε τότε ἡνιόχῳ συρομένῳ ὑπὸ τῶν ἵππων. Οἱ μὲν οὖν πεπαιδευμένοι δοξαστικοὶ ἵπποι καὶ ὁ ἡνίοχος τὸν ἄκρον ἡμῖν πολιτικὸν ἀποτελοῦσιν, οἱ δὲ διανοητικοὶ τὸν θεωρητικόν. Ἀμείβονται δὲ οὗτοι οἱ ἵπποι καὶ ὁ ἡνίοχος καὶ κατὰ τὰς σφαίρας καὶ κατὰ τὰ στοιχεῖα καὶ κατὰ πᾶν εἶδος ζωῆς. Ἐν μὲν γὰρ τῇ ἡλιακῇ ἡλιακοί εἰσιν, ἐν δὲ τῇ διίᾳ δίιοι, καὶ ἐν τῇ ἀρεϊκῇ ἀρεϊκοί· καὶ ἁπλῶς εἰπεῖν ἀεὶ κατὰ τὴν ἰδιότητα ἐκείνου τοῦ θεοῦ ἵστανται· ἐὰν μὲν κατὰ τὸ θεῖον εἶδος, θεῖοι, κατὰ δὲ τὸ ἀγγελικὸν ἀγγελικοὶ καὶ αὐτοί, ἐὰν δὲ κατὰ τὸ δαιμόνιον εἶδος τῆς ζωῆς ἱστῶνται, δαιμόνιοι καὶ αὐτοὶ γίνονται, ἐὰν δὲ κατὰ τὸ ἡρῷον, ἡρωικοί, καὶ ὁμοίως ἐπὶ πάντων.

Ἀλλὰ τί βούλεται καὶ τὸ ὑπόπτερον; πρότερον δὲ τί σημαίνει τὸ πτερὸν ἴδωμεν. Πτερὸν δή ἐστι τῆς ψυχῆς ἡ ἀναγωγὸς αὐτῆς δύναμις, ἥτις κατὰ τὸν κρείττονα τῶν ἵππων μάλιστα ὁρᾶται· ὥσπερ δὴ αὐτὸν κατά τινα ἐπιβολὴν καὶ τροχὸν προσηγορεύομεν, μᾶλλον δὲ ταυτοῦ κύκλον, ἐπειδὴ ἐραστής ἐστι τοῦ καλοῦ καὶ ἐφίεται τῶν νοητῶν καὶ οὐδέποτε ἀντιτείνει τῷ ἡνιόχῳ ἀλλὰ καὶ συγκατορθοῖ καὶ συνεξαμαρτάνει. Ὁ δὲ ἄλλος ἵππος, ἡ καταγωγὸς καὶ γενεσιουργὸς αὐτῆς δύναμις, εἰς γῆν βρίθει καὶ p. 128 f° 52r° ἀντιτείνει τῷ ἡνιόχῳ. Ἔχουσιν οὖν πάν|τες πτερά|· πάντες γὰρ πάσας ἔχουσι τὰς δυνάμεις, καὶ ὁ ἡνίοχος καὶ οἱ ἵπποι· ἀλλ' ἐπὶ μὲν τῶν θείων ψυχῶν ἀεὶ τὰ πτερὰ ἐγηγερμένα ἐστὶ καὶ εὔλυτα, διὸ καὶ πτερωτοὶ λέγον-

TIT 28 τί τὸ ὑπόπτερον καὶ τί τὸ πτέρον C 37 πτερωτοί, ὑπόπτεροι C

NC 8 εἰ om. M 11 μὴ δὲ A 14 ψυχῆς] ζωῆς A² 16 μὲν οὖν M 18 τότε] τῷ τε M 23 διίᾳ δίιοι scripsi : διία δῖοι A : διία διοῖ E : διίαδι M : διικῇ διικοὶ Aʙт 26 ἱστῶνται Aʙт : ἵστηται libri 29 δὴ] δὲ M 37 ἐγηγερμένα om. M

[128] ται, οὐχ ὑπόπτεροι· ἐπὶ δὲ ἡμῶν τῶν ἀνθρωπείων ψυχῶν οὐκ ἀεὶ ταῦτα τὰ πτερὰ προβεβλημένα ἔχομεν, ἀλλὰ ποτὲ μὲν μύοντα καὶ ἀργά... τὴν μὲν γὰρ δύναμιν αὐτῶν ἔχομεν, οὐδέποτε γὰρ ἀπόλλυμεν τὰς δυνάμεις, τὴν δὲ ἐνέργειαν οὐκ ἀεὶ ἔχομεν· διὸ ἐφ' ἡμῶν οἰκειότερον τὸ ὑπόπτερον ὡς τὴν δύναμιν ἐχόντων, τὴν δὲ ἐνέργειαν οὐ πάντως, ἐπὶ δὲ τῶν θεῶν τὸ πτερωτὸν ὡσανεὶ ἐνεργοὺς καὶ τὰς δυνάμεις καὶ τὰς ἐνεργείας ἐχόντων. Διὸ καὶ ἑξῆς ἐπὶ τῆς ἡμῶν ψυχῆς φησι· « πάλαι γὰρ ἦν πτερωτή. » Βουλόμενος οὖν κοινὸν ποιῆσαι τὸν λόγον ἐπί τε τῶν ἡμετέρων ψυχῶν καὶ ἐπὶ τῶν θείων, τὸ ὑπόπτερον εἶπε. Πᾶσαι γὰρ αἱ ψυχαὶ ἔχουσι τὴν ἀναγωγὸν δύναμιν, εἰ καὶ αἳ μὲν ἀεὶ ἐνεργὸν αἳ δὲ ποτέ. Ἢ καὶ κυρίως ἂν λέγοιτο τὸ ὑπόπτερον ἐπί τε τῶν θείων καὶ τῶν ἡμετέρων ψυχῶν· ἐπὶ μὲν τῶν θείων ὅτι δὴ τὰ πτερὰ περὶ τὰς κοιλοτέρας αὐτῶν καὶ περιπεζίους δυνάμεις αἱ ἐνέργειαι ἀεὶ ἐνιδρυμέναι εἰσὶ τοῖς νοητοῖς, ἐπὶ δὲ τῶν ἡμετέρων τὸ ὅλον τοῦτο τὸ ὑπόπτερον ἁρμόζει, ἐπειδὴ κυρίως τὸ πτερωτὸν οὐκ ἔστιν ἀληθὲς ἐπ' αὐτῆς, εἰ μή ποτέ.

ιβ'. Οἷον μὲν οὖν ἐστι] 246 A.

Τὸ πάντῃ πάντως δυνατὸν καὶ τῷ πρὸ αὐτοῦ συντάττειν καὶ τῷ μετ' αὐτό. Ἢ γάρ, οἷον μέν ἐστι πάντῃ πάντως (τουτέστι τῷ ὄντι) ἰδέα τῆς ψυχῆς θείας εἶναι καὶ μακρᾶς διηγήσεως· ἢ ὅτι οἷον μέν ἐστιν ἡ ἰδέα τῆς ψυχῆς θείας ἐστὶ πάντῃ πάντως καὶ μακρᾶς διηγήσεως. Θείας μὲν ἐπειδὴ περὶ τῶν οὕτω μεγάλων πραγμάτων οἱ ἐνθουσιῶντες μάλιστα τὸ ἀληθὲς ἡμῖν περὶ αὐτῶν ἀποκαλύπτουσι· τὸ δὲ μακρᾶς ἐπειδὴ εἴ τις κατὰ νοῦν ἐνεργῶν τὸ εἶδος τῆς ψυχῆς ἡμῖν ἐξαγγέλλοι, πολλοῦ ἑξελιγμοῦ δεῖται νοήσεως ἵνα αὐτὸ ἱκανῶς περιλάβῃ. Δεήσεται γὰρ πάσης τῆς ἐν Τιμαίῳ ψυχογονίας καὶ τῶν ἁρμονικῶν λόγων καὶ τῆς τῶν εὐθειῶν κατακάμψεως καὶ πάντων τῶν τοιούτων. — Καὶ αὐτὸς δὲ ὁ Πλάτων ἐναργῶς ἐνεδείξατο ὅτι κατὰ τὰς δυνάμεις δεῖ λαβεῖν τοὺς ἵππους καὶ τὸν ἡνίοχον εἰπών· « ἔοικέ τῳ δὴ ξυμφύτῳ δυνάμει. » — Τὸ δὲ ὑποπτέρου ζεύγους· οὐ πάντως δύο ἵππους λέγει· οἱ γὰρ θεοὶ κατὰ τὴν οἰκείαν ἰδιότητα διαφόρῳ ἀριθμῷ ἵππων χρώμενοι παραδίδονται, οἳ μὲν ἐπὶ τεσσάρων, οἳ δὲ ἐπὶ ἓξ ἢ ὀκτώ· ἀλλ' ἐπειδὴ τέως τὰ κοινὰ τῶν τε θείων καὶ τῶν ἀνθρωπίνων πρῶτον παραδοῦναι βούλεται, διὰ τοῦτο ἀορίστως εἶπεν ὑποπτέρου ζεύγους. Τὸ δὲ ὑπόπτερον ἤδη καὶ ἀνω-

7 251 B 33 ἀνωτέρω 125, 28

TIT 29 τὸ ζεῦγος οὐ δύο μόνον ἵππους ἀλλὰ καὶ πλείους σημαίνει C

NC 2 deest colum alterum : ποτὲ δὲ... κ.τ.λ. 5 ἐχόντων] ἔχοντες M 6-7 καὶ ἑξῆς A ut vid. : ἑξῆς M 7 φησὶ A 16 οἷον, ο rubr. A οὖν om. Plat. sed cf. 18 et 19 17 πάντῃ] μέντοι M 20 ἡ om. M καὶ om. M 23-24 ἐξαγγέλλει M 25 ἁρμονιῶν λόγου A[a] 28 ἔοικέ τῳ] ἐοικέτω M cf. 122, 15 31 τεσσάρων (δ' A)] δύο M

[128] τέρω ἐξηγησάμεθα, ὅτι καὶ ὁ ἡνίοχος καὶ οἱ ἵπποι πτερὰ ἔχουσιν, ἀλλ' οἱ μὲν θεοὶ καὶ ἐνεργοῦντα αὐτὰ ἀεὶ ἔχουσι (διὸ πτερωτοὶ ἂν εἶεν), ἡμεῖς δὲ καὶ ἀργοῦντά ποτε (διὸ ὑπόπτεροι). Ἐπειδὴ δὲ κατὰ τὰς δυνάμεις ἐνεργοῦμεν καὶ ἡμεῖς τοῖς θεοῖς (ἔχουσι γὰρ καὶ αὐτοὶ οἱ θεοὶ τὴν τοῦ πτεροῦ δύναμιν), διὰ τοῦτο κοινοποιῶν τὸν λόγον εἶπεν ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου.

ιγ'. Θεῶν μὲν οὖν] 246 A.

Ἐντεῦθεν λοιπὸν τὰ ἴδια τῶν τε θείων ψυχῶν καὶ τῶν ἀνθρωπίνων παραδίδωσι, τὰ κοινὰ αὐτῶν ἤδη προειπών. Θεῶν μὲν γὰρ ἵπποι τε καὶ ἡνίοχοι πάντες ἀγαθοί· πᾶσαι γὰρ αὐτῶν ἀγαθαὶ αἱ δυνάμεις καὶ ἐξ ἀγαθῶν οὐσιῶν προβαλλόμεναι. « Τὸ δὲ τῶν ἄλλων, φησὶ, μέμικται, » ἄλλων λέγων τὸ ἡμέτερον· διὰ γὰρ τοῦ ἀορίστου τοῦ ἄλλο εἴωθε τὰ περὶ ἡμᾶς δηλοῦν. Οὐχ ὅτι δὲ τῷ κακῷ συμμιγής ἐστιν ἡ οὐσία ἡμῶν, διὰ τοῦτο εἶπε τὸ μέμικται, ἀλλ' ὅτι ἔλαττον ἀγαθόν ἐστιν, ὥσπερ δὴ ὁρῶμεν καὶ ἐπὶ τοῦ φωτός· τὸ μὲν γὰρ ἐν τῷ ἡλίῳ φῶς αὐτόφως εἶναι καὶ καθαρὸν
p. 129 φῶς, τὸ δὲ ἐν τῷ ἀέρι τοῦ | ἡλίου φῶς ἔλαττον ἂν εἴποις φῶς, οὐχ ὅτι τῷ ἐναντίῳ ἐστὶ συμμιγὲς, ἀλλ' ὅτι οὐκ ἔστιν οἷον τὸ ἐν οὐρανῷ, οὐδὲ πολλῷ πλέον οἷον τὸ ἐν αὐτῷ τῷ ἡλίῳ· τὸ δὲ ἐν τῇ σκιᾷ φῶς συμμιγὲς ἤδη ἂν εἴποις καὶ τῷ ἐναντίῳ.

ιδ'. Καὶ πρῶτον μὲν ὁ ἄρχων] 246 B.

Ἐπὶ μὲν τῶν θείων ψυχῶν (ταύτας γὰρ λέγει θεούς) οὐκ εἶπεν ὅτι ξυνωρίδος ἡνιοχεῖ, ἀλλὰ ἀόριστον ἀφῆκε διὰ τὴν ἄμετρον αὐτῶν καὶ ἄπλετον δύναμιν· ὑποβάλλουσι δὲ οἱ θεολόγοι, ὡς εἶπον, κατὰ τὰς ἰδιότητας καὶ οἰκειότητας τῶν θεῶν ἄλλοις ἄλλους ἵππους, οἰκείως ἑκάστῳ θεῶν ἀριθμόν τινα προσφέροντες· ὁρᾷς δὲ ὅτι ἐπὶ τεθρίππου ποιοῦσι τὸν ἥλιον φερόμενον, ἄλλον δὲ ἐπὶ ἄλλου ἀριθμόν. Οἰκείως δὲ καὶ τὸν μὲν ἥλιον ἐπὶ ἵππων ποιοῦσι τὸ κινητικὸν αὐτοῦ πάσης τῆς ὑποβεβλημένης φύσεως σημαίνοντες, τὴν δὲ σελήνην ἐπὶ ταύρων διὰ τὸ προστάτιν εἶναι τῆς γενέσεως καὶ προσεχῶς ἐξ αὐτῆς ἐξῆφθαι τὴν γένεσιν (γενέσεως γὰρ σύμβολον ὁ ταῦρος), οὓς δὲ πτερωτοὺς, ὡς Ἔρωτα, Νίκην, Ἑρμῆν, τὴν ἀναγωγὸν

23 ὑποβάλλουσι — 128, 1 εἶπον jam ediderat VAN GOENS ad PORPHYR. *de antro Nymph.* 108 ex P

TIT 21 θεοὺς τὰς θείας ψυχὰς καλεῖ C   26 διὰ τί τὸν ἥλιον ἐπὶ τεθρίππου, τὴν δὲ σελήνην ἐπὶ ταύρων γράφουσι καὶ τοὺς ἄλλους ἄλλως C

NC 3 ποτὲ A   τὰς <αὐτὰς> δυνάμεις (?)   6 τὲ A   7 θεῶν, θ rubr. A   9 γὰρ] οὖν Plat. cf. 7   τὲ A   10 πάντες αὐτοί τε ἀγαθοί Plat.   12 ἄλλο] ἄλλου M   13 ἡμᾶς AE : ἡμῶν M   κακῷ] καλῷ M   14 ἀλλ' ὅτι] ἄλλο τι M   15 καὶ om. M   αὐτόφως] αὐτὸ φῶς M   20 καί, κ rubr. A   ἡμῶν ὁ ἄρχων Plat. cf. 128, 6   23 ἀποβάλλουσι P   25 προφέροντες A   ὅτι om. P   26 ἐπὶ om. MP   δὲ] μὲν MP   30 οὓς] τοὺς M

[129] αὐτῶν δύναμιν σημαίνοντες. Ὅπερ οὖν εἶπον, ἐπὶ μὲν τῶν θείων ψυχῶν
f° 52 r° ἀόριστον εἴασε τὸν τῶν ἵππων ἀριθμόν· | ἐπὶ δὲ τῶν ἡμετέρων ψυχῶν τοὺς ἵππους τῷ ἀριθμῷ ἐμέτρησε, διὰ τὸ μεμετρημένην αὐτὰς ἔχειν καὶ ὑφειμένην τὴν δύναμιν. Ἡ γὰρ δυὰς τῆς προόδου καὶ τῆς ἀποστάσεώς ἐστιν αἰτία, διὸ καὶ τόλμαν αὐτὴν ἐκάλουν οἱ Πυθαγόρειοι ὡς ἀπὸ τῶν οἰκείων ἀρχῶν ἀποστᾶσαν καὶ ποθέν πῃ γενομένην. — Τὸ δὲ ἡμῶν ὁ ἄρχων ἤτοι λέγοι ἂν ὁ ἐν ἡμῖν ὢν ἄρχων (οὐ γὰρ δὴ ἔξω ἡμῶν ἐστιν) ἢ μᾶλλον [ὅτι] ὃς ἂν ἐν τῷ γένει ἡμῶν τῶν ἀνθρώπων ἄρχων τις γένηται καὶ ἐν τῇ τοῦ ἄρχοντος τάξει καταστῇ ἡμῶν τῆς λογικῆς ψυχῆς, ὅ ἐστιν ἄρχον ἐν αὐτῇ. — Καὶ τῶν ἵππων, φήσας, ὁ μὲν αὐτῷ καλός τε καὶ ἀγαθὸς καὶ ἐκ τοιούτων, πρόεισιν... οὐσίας καλῆς τε καὶ ἀγαθῆς· ἀεὶ γὰρ ἐφίεται τῶν καλῶν καὶ ἀγαθῶν ἡ τοῦ ταυτοῦ δύναμις, καὶ ἀεὶ ἕπεται τῷ ἡνιόχῳ ἡγουμένῳ ἐπὶ τὸ νοητὸν ἡ ἀναγωγὸς τῆς ψυχῆς δύναμις, καὶ οὐδέποτε πρὸς αὐτὸν ἀντιτείνει. — Τὸ δὲ ἐναντίος οἳ μὲν ἤκουσαν ἐπὶ τοῦ ἐλάττονος ἀγαθοῦ, καὶ παρέχονταί γε μάρτυρας τοὺς Πυθαγορείους οἵτινες δύο συστοιχίας ποιήσαντες, τὴν ἑτέραν αὐτῶν κακοῦ προσηγόρευσαν ἀντὶ τοῦ ἐλάττονος ἀγαθοῦ· διὰ τί γὰρ κακὸν τὸ ἑτερόμηκες, οὐχὶ δὲ καὶ ἀγαθόν; εἰ μὴ γὰρ ἦν ἡ ἀνισότης ἐν τοῖς πράγμασιν, οὐδ' ἂν ἡ τῶν εἰδῶν ποικιλία συνέστη. Θετέον μὲν οὖν καὶ ταύτῃ τῇ ἐξηγήσει. Ῥητέον δὲ καὶ τοῦτο ὅτι ἐναντίος εἴρηται ἐν μὲν τοῖς νοητοῖς ὡς μεταβάσει χαίρων τῇ ἀπὸ εἰδῶν ἐπὶ εἴδη (καὶ γὰρ τοῦτο καὶ ταῖς θείαις ὑπάρχει ψυχαῖς, ἀλλὰ ταῖς γε ἡμετέραις πολλῷ μᾶλλον), ἐν δὲ τῷ αἰσθητῷ ὡς γενεσιουργὸς ὤν, ἐν ᾧ καὶ ἡ ἐναντιότης ἐναντιοποιός. Τίς οὖν οὗτος ὁ ἵππος, τουτέστιν ἡ γενεσιουργὸς καὶ καταγωγὸς τῆς ψυχῆς δύναμις..., καὶ τούτῳ ἡδόμενος· διὸ καὶ οὐδὲ κατέχομεν αὐτὸν ἀεί, ἐθέλει γὰρ καὶ αὐτὸς κατὰ τὴν οἰκείαν δύναμιν ἐνεργῆσαι. — Τὸ δὲ ἐναντίος τε καὶ ἐξ ἐναντίων οὐ λέγει τὰ ἐναντία τῷ καλῷ καὶ ἀγαθῷ, οἷς ἐχαρακτηρίζετο ὁ ἀμείνων τῶν ἵππων, ὅτι ἄρα οὗτος αἰσχρός τέ ἐστι καὶ κακός (οὔπω γὰρ ἐκακύνθη ἡ ψυχή, οὐδὲ παραδέδωκεν αὐτῆς πτερορρύησιν, ἥτις διὰ τῶν τοιῶνδε αὐτῆς ἐνεργειῶν γίνεται), ἀλλ' ἔτι περὶ τῶν δυνάμεων αὐτῆς διαλέγεται, ἃς ὡς ἀγαθὰς καὶ

5 οἱ Πυθαγόρειοι cf. *Theol. Arithm.* 8; PROCL. *in Alcib.* I 142 (v. CREUZER ad PLOTIN. 481 B)   15 τοὺς Πυθαγορείους cf. *add. et corrig.*, 8

TIT 19 διὰ τί θατέρου ἵππος ἐναντίος C

NC 1 οὖν om. MP   2 τὸν... ἀριθμόν scripsi : τὸ... ὄνομα libri   3 αὐτὰς scripsi : αὐτὴν libri   ἔχειν] ἴσχειν M   5 αὐτὴν om. M   6 πόθεν πῇ A   7 οὐ EM fort. A : ποῖ a   ὅτι seclusi   9 ἄρχον] ἄρχων M   10 φήσας] φησὶν M   κἀγαθὸς Plat.   11 τοιούτων scripsi : τοιαύτης A : ταύτης M   post πρόεισιν deesse quædam videntur   12 ἡ vix legitur in A   14 οἳ μὲν sed in sequentibus frustra οἳ δὲ requiras   16 κακοῦ[κακὸν AST   20 ἐναντίος] ἐναντίον M   20-21 τῶν εἰδῶν M   22 ὢν — 23-24 γενεσιουργὸς om. M, sed etiamnunc deest vox aliqua cui τούτῳ referas   25 αὐτὸν ex αὐτὸ A   26 τε om. M (ἐξ ἐναντίων τε καὶ ἐναντίος Plat.) : τὲ A   27 οἷς] οἷος M   29 αὐτῆς] αὐτῇ M   30 ἔτι] ὅτι M

|129| ἐπ' ἀγαθῷ κέκτηται· ἐναντίος οὖν ἑαυτῷ καὶ ἐξ ἐναντίων, ὅτι αὐτὸς ἑαυτῷ ἐξ ἐναντίων πρόεισι δυνάμεων, ἀεὶ τῇ ἑτερότητι χαίρων. Διὸ χαλεπὴ καὶ δύσκολος ἡ ἡνιόχησις γίνεται τῷ ἡνιόχῳ ἡμῶν, τῆς μὲν ἀναγωγοῦ δυνάμεως ἐφιεμένης τῶν ἄνω καὶ τῆς ἑνώσεως τῶν ἐκεῖ, τῆς δὲ καταγωγοῦ καὶ γενεσιουργοῦ ἢ καὶ ἑτεροποιοῦ τῆς διακρίσεως καὶ τῆς μεταβατικῆς ἐνεργείας. Ἐπὶ μὲν οὖν τῶν θείων ψυχῶν ἀεὶ ἅμα πᾶσαι ἐνεργοῦσιν αἱ δυνάμεις (καὶ γὰρ ἥνωνται τοῖς ἑαυτῶν αἰτίοις καὶ προνοοῦσι τοῦ κόσμου· τοῦτο δὲ ὑπάρχει ποτὲ καὶ τῇ ἡμετέρᾳ τελέᾳ οὔσῃ), ἐπὶ δὲ τῶν πολλῶν ψυχῶν παρὰ μέρος τὸ διττὸν τοῦτο γίνεται, διὰ τὸ μὴ δύνασθαι αὐτὰς ἅμα καὶ ἀνιέναι καὶ προνοεῖν. Προσεκτέον δὲ καὶ τῇ ἀπαγγελίᾳ· οὐ p. 130 γὰρ μάτην ἡρμή|νευσεν· ἐπὶ μὲν γὰρ τῶν θεῶν ἐπειδὴ πάντα ἥνωται, ἐκεῖ ἡνωμένως καὶ αὐτὸς καὶ συνεσπειραμένως τῇ ἀπαγγελίᾳ ἐχρήσατο εἰπών « θεῶν μὲν οὖν ἵπποι τε καὶ ἡνίοχοι πάντες ἀγαθοί, » ἐπὶ δὲ ἡμῶν ἅτε πολλῆς οὔσης τῆς διαιρέσεως καὶ ἑτερότητος κατεμέρισε τὴν ἀπαγγελίαν εἰπών· « τὸ δὲ τῶν ἄλλων, » καὶ « πρῶτον μὲν ἡμῶν ὁ ἄρχων, » ἔπειτα « τῶν ἵππων ὃ μὲν τοῖος, ὃ δὲ τοῖος. »

ιε'. Πῇ δὴ οὖν θνητόν τε καὶ ἀθάνατον] 246 B.

Εἰπὼν περὶ τῆς οὐσίας τῆς ψυχῆς ἐν τῷ περὶ ἀθανασίας λόγῳ, εἰπὼν δὲ καὶ περὶ τῶν δυνάμεων αὐτῆς ἐν τῷ περὶ τῆς ἰδέας αὐτῆς σκέμματι, λοιπὸν βούλεται νῦν εἰπεῖν καὶ περὶ τῶν ἐνεργειῶν αὐτῆς, πῶς μὲν διοικεῖ τὸν κόσμον, πῶς δὲ πτερορρυοῦσα φέρεται εἰς γένεσιν, ὅτε καὶ συμπληροῖ τοῦτο τὸ φαινόμενον ζῷον. — Τὸ δὲ ἐκλήθη εἶπεν, ἐπειδὴ πῶς μὲν ἐγένετο καὶ πῶς συνίσταται τὸ θνητὸν ζῷον λέγει, οὐ τί ἐστι. Φέρεται γάρ, ὥς φησιν, ἕως οὗ στερεοῦ τινος ἀντιλάβηται· διὸ εἰκότως ζῷον καλεῖται, ὥστε καὶ τὴν γένεσιν αὐτοῦ καὶ τὴν κλῆσιν εἰδότες λέγομεν. Πῶς μέντοι τὸ οὐράνιον ζῷον γίνεται, οὐκ ἔχομεν εἰπεῖν οἱ ἄνθρωποι· διὸ κακίζει τοὺς λέγοντας ζῷα θεῖα. Κοινὸν οὖν ἐπ' αὐτοῖς τὸ ἐκλήθη εἶπεν. Ἴδωμεν δὲ τί λέγει. — Ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου· οὐ λέγει πάντως ὅτι ἑκάστη τοῦ παντός, οἷον ὅτι καὶ ἡ ἐμὴ νῦν τοῦ παντὸς κόσμου ἐπιμελεῖται, ἀλλ' ὅτι πᾶν μόριον τοῦ παντὸς πάντως ὑπό τινος ψυχῆς ἐπιτροπεύεται, ὥστε πᾶν ὑπὸ πασῶν. Εἰ δὲ καὶ ὅτι ἑκάστη f° 53 r° τοῦ παντός, ἔχοι ἂν λόγον | διὰ τὰ ἐπαγόμενα. — Τελέα μὲν οὖσα,

TIT 6 περὶ τῶν ψυχῶν ἐνεργειῶν 28 τί νοεῖ τὸ ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου C

NC 1 ἀγαθῷ] ἀγαθῶν M ἑαυτῷ] ἐν αὐτῷ M 5 καὶ ante ἑτεροποιοῦ om. M 9 παραμέρος A 10 ἐπαγγελίᾳ M 12 ἐπαγγελίᾳ M 13 πάντες αὐτοί τε ἀγαθοί Plat. cf. 127, 10 15 ἐπαγγελίαν M 17 πῇ, π rubr. A τε om. Plat. cod. B 19 καὶ om. M 24 ὥς scripsi : ἢ A : om. M οὗ] ἂν M Plat. cf. 130, 19 et 135, 21 28 ψυχὴ πᾶσα] ψυχὴ γὰρ πᾶσα Eused. (*Præp. evang.* xv, 9) : ἡ ψυχὴ πᾶσα Plat. cod. T : πᾶσα ἡ ψυχὴ Plat. cod. B 32 ἔχοι] ἔχει A μὲν οὖν Plat. cod. T

[130] φησὶ, καὶ ἐπτερωμένη μετεωροπορεῖ τε καὶ πάντα τὸν κόσμον διοικεῖ· δεῖ δ' αὐτὰς ἀπὸ τῆς τελειότητος αὐτῶν κρίνειν, οὐκ ἀπὸ τῆς ἀποπτώσεως· ἐπιδοῦσα γὰρ ἑαυτὴν τοῖς ὅλοις μετὰ τοῦ οἰκείου θεοῦ, συνδιακοσμεῖ αὐτῷ τὸ πᾶν κατὰ τὴν ἐκείνου ἰδιότητα· ἕκαστος γὰρ τῶν αἰτίων θεῶν τοῦ παντὸς κόσμου ποιεῖται τὴν ἐπιμέλειαν κατὰ τὴν ἑαυτοῦ ἰδιότητα, καὶ οὐ μόνης τῆς οἰκείας σφαίρας, ὁ μὲν Ἥλιος ἡλιακῶς, ὁ δὲ Ἄρης ἀρεϊκῶς, καὶ ὁμοίως οἱ ἄλλοι. Ὥσπερ δὴ καὶ ἐν πόλει ὁ στρατηγὸς, εἰ καὶ τέτακται τοῦ στρατοῦ προσεχῶς φροντίζειν, ἀλλ' ὑπὲρ πάσης τῆς πόλεως ἀγρυπνεῖ καὶ κατὰ τὴν οἰκείαν ἰδιότητα φροντίζει τῶν πολιτῶν· στρατηγικῶς γάρ· καὶ ὁ δικαστὴς ὁμοίως ὑπὲρ τῆς πάσης πόλεως ἀγρυπνεῖ, ἀλλὰ δικαστικῶς. — Τὸ δὲ ἄλλοτε ἐν ἄλλοις εἴδεσι γιγνομένη ἀντὶ τοῦ κατ' ἄλλους καὶ ἄλλους ἑαυτῆς λόγους ἱσταμένη, ἢ καὶ κατὰ πάντας ἄλλοτε ἄλλως, οἷον σεληνιακῶς ἢ ἡλιακῶς. Μάλιστα δὲ τοῦτο ἐπὶ τῆς μερικῆς ἁρμόζει ψυχῆς, ἥτις ἐπὶ τοσοῦτον ἀμείβει τὸ εἶδος, ὡς καὶ ἀνεπίγνωστος λοιπὸν γενέσθαι· ἐν ὅσῳ μὲν οὖν ἐπτέρωται καὶ ἐνίδρυται τοῖς ἑαυτῆς αἰτίοις, πάντα συνδιοικεῖ τῇ κοσμικῇ ψυχῇ, καὶ αὐτὴ καὶ πᾶσαι αἱ ἀστρῷαι, κατὰ τὰ οἰκεῖα μέτρα ἑκάστη ἐκπεριερχομένη πᾶν τὸ νοητὸν καὶ τὰ ἐν αὐτῷ εἴδη, μεταβατικῶς ἄλλοτε ἄλλα θεωροῦσα. Ἡ δὲ πτερορρυήσασα καὶ χαλατονήσασα φέρεται, φησίν, ἕως οὗ στερεοῦ τινος ἀντιλάβηται· ἔλαβε δὲ ἀπὸ τοῦ ἐναντίου τὸ ἐναντίον, ἀπὸ τοῦ ἐπτερωμένου τὸ πτερορρυήσασα, μεταξὺ δὲ τοῦ ἤδη ἐπτερωμένου καὶ τοῦ ἤδη ἀπτέρου τὸ πτεροφυοῦν καὶ πτερορρυοῦν, ὃ ἄρχεται ἢ φῦναι τὰ πτερὰ ἢ ἀποβάλλειν· πτερορρυοῦσα μὲν οὖν καὶ ἀρχομένη τῆς ἀποβολῆς πολλάκις ἀναλαμβάνει ἑαυτὴν πάλιν καὶ ἀνατρέχει ἐπὶ τὰς οἰκείας ἀρχὰς, ἡ δὲ πτερορρυήσασα ἤδη καὶ βρίσασα ἐπιποθεῖ λοιπὸν τὴν εἰς τὸ ὀστρεῶδες ἐνοίκησιν. Στερεὸν δὲ εἰπὼν τὸ ἔνυλον δῆλός ἐστι μὴ ἀξιῶν τὸ ἀίδιον ὄχημα τῆς ψυχῆς στερεὸν καλεῖν, ὃ οὐκ ἔστι τριχῇ διαστατὸν ἀλλὰ ἐπίπεδον ὡς λεπτὸν καὶ ἄυλον· διὸ καὶ παρακελεύεται μὴ βαθύνειν τὸ ἐπίπεδον καὶ ποιεῖν αὐτὸ γεῶδες καὶ ἔνικμον διὰ τῆς ῥυπαρᾶς ζωῆς· ἴσως δὲ διὰ τοῦτο στερεὸν λέγεται διὰ τὸ φύσει ἐστερῆσθαι ζωῆς τῆς κατὰ σώματα· ψυχώσασα γὰρ
p. 131 πρῶτον αὐτὸ καὶ ζωῇ ἐλλάμ|ψασα, οὕτω κάτεισιν εἰς αὐτό. Ἡ μὲν οὖν ἡμετέρα οὕτως ὑποφέρεται εἰς τὰ σώματα αὐτὴ ἐπιδραμοῦσα αὐτοῖς· αἱ δὲ

TIT 25 ὀστρεῶδες C 26 τὸ ἀίδιον ὄχημα οὐ τριχῇ διαστατὸν, ἀλλ' ἐπίπεδον C

NC 1 μετεωροπολεῖ a M, cf. 135, 19-20 et 158, 34 ἅπαντα Plat. cod. T 7 ἀρεϊκῶς] ἀρσενικῶς M (jam corr. Ast) 9 καὶ om. M 12 καὶ ante κατὰ om. M 13 ἢ ἡλιακῶς om. M δὲ] δὴ M 15 ἑαυτῆς] ἑαυτοῖς M (jam corr. Ast) 18 εἴδη A[1] : εἴδει a 19 οὗ] ἂν Plat. cf. 129, 24 20 ἠπτερωμένου M 21 πτερωμένου M (qui iterum καὶ τοῦ ἤδη ἠπτερωμένου addit) ἀπτέρου] πτεροῦ EM : de A nihil perspicuum 22 φῦναι] φαίνεται M ἀποβάλλει M 23 πτερορρυοῦσαν D 24 οἰκείας ἀρχὰς] οἰκίας M 26 δῆλος ἔστι A 30 κατὰ τὸ σῶμα M 32 ἀποφέρεται D εἰς τὰ] αὐτὰ D

131] θεῖαι ψυχαὶ οὐκ αὐταὶ προσέρχονται τοῖς ἀιδίοις ἑαυτῶν σώμασιν, ἀλλὰ τὰ σώματα αὐτῶν, ἅτε εὔτροχα ὄντα, αὐτὰ πρόσεισι ταῖς ψυχαῖς καὶ ἀεὶ αὐτῶν ἐξημμένα εἰσίν. — Ἐμφαντικῶς δὲ πάλιν τῷ κατοικισθεῖσα ἐχρήσατο, οἷον δύσασα καὶ βυθισθεῖσα κατ' αὐτοῦ. — Τὸ δὲ σῶμα γήινον οἳ μὲν ἐπὶ ὅλου τοῦ γενητοῦ ἤκουσαν (λέγεται γὰρ καὶ πᾶν τὸ ὑποσέληνον σῶμα γήινον), οἳ δὲ καὶ ἐπὶ ταύτης τῆς γῆς· λέγοιτο δ' ἂν κυρίως τοῦτο τὸ ὀστρεῶδες σῶμα γήινον, ἐπειδὴ τὸ πολὺ αὐτοῦ ἐστὶ γῆ. — Τὸ δὲ αὐτὸ δοκοῦν κινεῖν, ἐπειδὴ φαινομένη ἐστὶν αὐτοκινησία καὶ ἴνδαλμα ἔσχατον αὐτοκινησίας, οὐκ αὐτὴ ἡ κυρίως τῆς ψυχῆς αὐτοκινησία καὶ ζωή ἐστιν. Ἰστέον μέντοι ὅτι ὧν μεταδίδωσιν ἡ ψυχὴ τῷ σώματι, τούτων τὰ ἐναντία αὐτὴ μεταλαμβάνει· ζωῆς γὰρ αὐτῷ μεταδιδοῦσα, ἀζωίας ἀπ' αὐτοῦ ἀναπίμπλαται, καὶ γνώσεως αὐτῷ μεταδιδοῦσα διὰ τῶν αἰσθήσεων ἀγνωσίας αὐτὴ μεστοῦται. Ὥσπερ μέντοι ἃ δίδωσι τῷ σώματι φαινόμενά ἐστι καὶ οὐκ ὄντα, οὕτω καὶ ὧν αὐτὴ μεταλαμβάνει ἄχρι φαντασίας καὶ τοῦ δοκεῖν εἰς αὐτὴν εἴσεισι καὶ καθάρσεως μόνης δεῖται. — Πῶς δὲ τὸ ξύμπαν τὸ ἐκ ψυχῆς καὶ σώματος ζῷον εἶπε κεκλῆσθαι, καίτοι χωριζόντων ἡμῶν τὸ ζῷον καὶ τὸν ἄνθρωπον; Ἦ νῦν περὶ τῆς πρώτης γενέσεως καὶ συστάσεως τοῦ ζῴου λέγει, ἐν ᾧ καὶ ἡ λογικὴ ψυχὴ κατὰ τὸ ζῆν ὁρᾶται μόνον, πεπεδημένου ἐν αὐτῇ τοῦ λογισμοῦ· μόγις γάρ ποτε ἐξεγείρεται ἐν αὐτῷ ἡ λογικὴ ψυχὴ καὶ ἀνεγείρει ἑαυτῆς τὰς νοήσεις, ὅτε καὶ ἐκφαίνει ἕτερον ὄντα τὸν ἄνθρωπον τοῦ ζῴου ἐποχουμένη τῷ ζῴῳ καὶ πρὸς τὸ ἑαυτῆς συμφέρον καταχρωμένη αὐτῷ. Θνητὸν δὲ ἐκλήθη ἐπὶ | •53v• τοῦ σώματος ὡς ἔχον ἐν ἑαυτῷ τὸ θνητόν· εἰ δὲ καὶ ἐπὶ τῆς ψυχῆς ἀκούοις, ὅτι δὴ καὶ αὐτὴ θνητὰ τότε φρονεῖ. — Ἀθάνατον δὲ οὐκ ἐξ ἑνὸς λόγου λελογισμένου· ἀθάνατον δέ, φησί, λέγομεν ζῷον οἱ ἄνθρωποι οὐδενὶ ὀρθῷ χρώμενοι λογισμῷ. Λέγοι δ' ἂν οὐ πρὸς τοὺς ἰδιώτας (τὴν ἀρχὴν γὰρ οὐδὲ ἐπαΐουσι τῶν τοιούτων οἱ πολλοί), ἀλλὰ πρός τινας τῶν φιλοσόφων οἳ οὕτως διαστρόφως ὑπολαμβάνουσιν ὥστε ἐκ συνδυασμοῦ τῆς τε θείας ψυχῆς καὶ τοῦ σώματος τοῦ θείου τὸ θεῖον ζῷον ἀποτελεῖσθαι, ψυχὴν ῥέψασαν εἰς τὸ σῶμα. Τί οὖν; οὐκ ἔστιν ἀθάνατα ζῷα; Καίτοι καὶ

TIT 4 τί γήινον σῶμα C 15 ἀπορία· λύσις C 30 ἀπορία· λύσις A τὰ ἄστρα ζῷα ἀθάνατα C

NC 3 δὲ] δὴ D 6 οἳ δὲ] ἣ δε M : ἡ δὲ C 7 ἔστι A 8 αὐτὸ M : αὐτὸ αὐτὸ Plat. ἡ αὐτοκινησία M 9 ἔσχατον] ἔχουσα CM 10 μέντοι om. CM 11 αὐτὴ scripsi : αὐτῇ libri 12 ἀναπέμπλαται D 15 εἴσεισι] ἴσασι M : εἴσασι C 15-16 τὸ μετὰ ξύμπαν D 17 νῦν] νοῦν D 19 πεπεδεμένου D μόλις D 21 ἐκφαίνει] ἐκφαίνεται M 22-23 ἐπὶ τοῦ scripsi : ἀπὸ τοῦ libri 24 οὐκ] οὐδ' A[a] Plat. 26 λέγοι δ' ἂν οὐ πρὸς scripsi cum DE : λέγοι δ' ἂν ἐνταῦθα οὐ A[a] : λέγοι δ' ἂν ὡς πρὸς CM : « *ni fallor scribendum est* λέγει δ' οὐ *cet.* » Ast 27 οὐδὲ ἐπαΐουσι] in A τοῦ, deinde spatium 8-10 litt. in quo nihil rescripsit a, pristina autem scriptura prorsus evanida 28 οἳ] οἷον D συνδυσμοῦ D 30 ῥειψασαν (sic) A[a] καὶ om. M

[131] αὐτὸς ἐν Τιμαίῳ σαφῶς βούλεται ζῷα εἶναι τὰ ἄστρα, καὶ τὴν αἰτίαν τε προστίθησι· δεσμοῖς γάρ, φησὶν, ἀλύτοις δεθέντα ζῷα ἐγενήθη. Καὶ τί ϑαυμαστὸν εἰ ζῷα, ὅπου γε καὶ ϑεοὺς αὐτὰ βούλεται εἶναι καὶ ἐπὶ τοῦ κόσμου λέγει « εὐδαίμονα ϑεὸν ἐγεννήσατο » καὶ « ϑεοὶ ϑεῶν » λέγει ἐπὶ τῶν ἐξ ἀιδίου ἐχόντων ἐξηρτημένον τὸ σῶμα; Φαμὲν οὖν ὅτι ἐνταῦθα τὴν διάστροφον ἐκδοχὴν ἐπιρραπίζει· βούλεται γὰρ εὔτροχα ὄντα τὰ ὀχήματα αὐτῶν καὶ τὰ ἐξηρτημένα σώματα αὐτὰ δι' ἐπιτηδειότητα προσεληλυθέναι ταῖς ἀστρῴαις ψυχαῖς ἐξ ἀιδίου καὶ ἔχεσθαι αὐτῶν, οὐχὶ τὴν ἀστρῴαν ψυχὴν προσεληλυθέναι τῷ σώματι καὶ ἐπιδεδωκέναι ἑαυτὴν ὥσπερ τὴν ἡμετέραν εἰς συμπλήρωσιν τοῦ ζῴου. Τοῦτο γὰρ ἐνδείκνυται καὶ τὸ ξυμπεφυκότα· οὐ γὰρ ὥσπερ τὰ ἡμέτερα σώματα ἐπίκτητον ἔχει τὴν ζωὴν, οὕτω καὶ τὰ ϑεῖα, ἀλλ' ἔχει ἐξ ἀιδίου συνουσιωμένην ἑαυτοῖς σύμφυτον ζωήν.

ις'. Ἀλλὰ ταῦτα μὲν δὴ ὅπῃ τῷ ϑεῷ φίλον] 246 D.

Ταῦτα οὖν, φησὶ, τὰ περὶ τῶν ϑείων ζῴων, ὅπῃ ποτὲ διατέτακται ὑπὸ τῶν ϑεῶν καὶ πῶς φίλον αὐτοῖς ἔστι καλεῖσθαι, ταύτῃ μενέτω· ὑπὲρ γὰρ τὴν προκειμένην ἐστὶ διδασκαλίαν τὸ γνῶναι τί ϑεός· πρόκειται γὰρ ὑμνῆσαι τὸν ἔρωτα καὶ ἀναδιδάξαι ἡλίκων ἡμῖν ἀγαθῶν ἐστιν αἴτιος.

ιζ'. Τὴν δὲ αἰτίαν τῆς τῶν πτερῶν ἀποβολῆς] 246 D.

Ἦλθεν ἐπὶ τὴν πτερορρύησιν τῆς ἡμετέρας ψυχῆς τὴν αἰτίαν τῆς πτερορ-
ρυήσεως ϑεωρῶν, ἐπειδὴ εἶπε « φέρεται ἕως ἂν στερεοῦ ἀντιλάβη-
p. 132 ται, | ἵνα καταγαγὼν αὐτὴν εἰς ἔσχατον κακοῦ ἀπὸ τῆς συμπεριπολήσεως
ἧς ἐποιεῖτο μετὰ τῶν ϑεῶν, διοικοῦσα πάντα τὸν κόσμον καὶ τὰ νοητὰ
εἴδη ϑεωμένη, πάλιν αὐτὴν ἀναπέμψῃ διὰ τοῦ ἔρωτος ἐπὶ τοὺς ἐγκοσ-
μίους ϑεοὺς καὶ τὸν οὐρανὸν καὶ τὸν ὑπερουράνιον τόπον καὶ τὰ ϑεῖα καὶ
ἀτρεμῆ ϑεάματα, καὶ δείξῃ ἡλίκων ἀγαθῶν αὐτῇ ὁ ἔρως αἴτιος. Οὐ κυρίως
δὲ τὸ τῆς ἀποβολῆς ἐπὶ τοῦ πτεροῦ εἶπεν· οὐδέποτε γὰρ ἡ ψυχὴ ἀπο-
βάλλει τὸ πτερὸν ὅπερ ἐξ ἀιδίου παρὰ τοῦ δημιουργοῦ ἐδέξατο· ἔχει γὰρ
καὶ τὴν ἀναγωγὸν καὶ τὴν καταγωγὸν δύναμιν ἐξ ἀιδίου ἡ ψυχή· ἀλλ'
ἀντὶ <τοῦ> τῆς παρέσεως καὶ ἀργίας εἴρηται τὸ τῆς ἀποβολῆς.

1 *Tim.* 41 C, cf. 43 A 4 *ibid.* 34 B et 41 A

TIT 20 διὰ τί ἡ πτερῶν ἀποβολὴ καὶ τίς ἡ ἀποβολή C

NC 1 τε om. D 2 γάρ φησιν A 3 γε om. M 4 εὐδαίμονα αὐτὸν θεὸν Plat. : ἐνδαίμονα θεῶν M 6 τὴν] τὸν D 7 δι'] δὲ D ἐπιτηδειότητος A ut videtur, ex emend. 8 ταῖς — 9 προσεληλυθέναι om. MC 9 ἐπιδεδυκέναι M 10 ἡμετέραν] ἑτέραν M γὰρ] δὲ M 11 συμπεφυκότα M 14 ἀλλὰ, ἀ rubr. A δὴ] ἤδη Plat. cod. B 15 οὖν] νῦν M φησι A 16 πῶς om. M αὐτοῖς] αὐτὸ M ταύτῃ] ταύτην D μενέτω] ἐχέτω Plat. 18 αἴτιός ἐστι M 19 τήν, τ rubr. A 21 φέρηται D στερεοῦ τινος Plat. 23 ἧς] οἷς D 26 δείξει D 30 τοῦ addidi

132] ιη'. Πέφυκεν ἡ πτεροῦ δύναμις] 246 D.

Πτερὸν τῆς ψυχῆς ἐλέγομεν τὴν ἀναγωγὸν αὐτῆς δύναμιν· αὕτη οὖν ἀντίκειται τῷ βρίθοντι τῆς ψυχῆς. Ἔστι δὲ τὸ βρίθον αὐτῆς ἡ γενεσιουργὸς καὶ καταγωγὸς εἰς γένεσιν δύναμις· ὅπερ πτερωθεῖσα ἡ ψυχὴ συστέλλει τε καὶ ἀνώφορον ποιεῖ. Ὃ καὶ αὐτὸ, καίτοι ἐμβριθὲς ὄν, ὅλης τῆς ψυχῆς κατὰ τὴν ἀναγωγὸν ἑαυτῆς στάσιν δύναμιν ἀνάγεται· ὥσπερ δὴ καὶ τὸν ἥλιον ὁρῶμεν τὸ ὑγρὸν τὸ φύσει βρίθον καὶ κάτω φερόμενον ἐξατμίζοντα καὶ μετεωρίζοντα. Εἰ τοίνυν καὶ ἐπὶ τῶν σωμάτων τοῦτο συμβαίνει, πολλῷ πλέον ἐπὶ τῶν ἀσωμάτων δυνάμεων τοῦτο γίνεσθαι ὑποληπτέον. Ὁρᾷς δὲ ὅτι καὶ ἐνταῦθα, ὥσπερ ἐπὶ τοῦ ἡνιόχου καὶ τῶν ἵππων ἐξεδεξάμεθα, οὕτω καὶ νῦν τὸ πτερὸν τῆς ψυχῆς ἐπὶ τῆς δυνάμεως ἐξεδέξατο εἰπών· « πέφυκεν ἡ πτεροῦ δύναμις. » — Τὸ δὲ ἄνω οὐχ ἁπλῶς κατὰ τόπον ἀκουστέον, ἀλλὰ κατὰ ζωὴν καὶ ἀξίαν καὶ τὸ τῷ τιμίῳ ὑπερέχειν· τοῦτο γὰρ τὸ μετεωρίζουσα.

ιθ'. Ἧι τὸ τῶν θεῶν γένος οἰκεῖ] 246 D.

Οἶκος θεοῦ λέγοιτο ἂν ἡ ἑκάστου τάξις καὶ ἰδιότης καὶ ἑστία καὶ μονή· οὐ γὰρ ὡς ἄλλος ἐν ἄλλῳ ἐστὶν ὁ θεὸς ὡς ἡμεῖς ἔν τῳ οἴκῳ λεγόμεθα εἶναι, ἀλλ' αὐτὸς ἐν ἑαυτῷ ἐστιν. Οἶκος οὖν αὐτοῦ ἡ μονὴ αὐτοῦ καὶ ἰδιότης.

f°54r° κ'. Κεκοινώνηκε δέ] 246 D.

Ἔχον τι δυσκατάστατον τοῦτο οὕτως ἀκουστέον, ἄνωθεν δὲ ῥητέον. Αἱ τῶν θεῶν δυνάμεις καὶ ἐνέργειαί εἰσι μὲν ἐν αὐτοῖς, εἰσὶ δέ τινες καὶ περὶ ὅλον τὸν κόσμον, πλὴν προσεχῶς περὶ νοῦν. Πάλιν αἱ τοῦ νοῦ δυνάμεις περὶ ψυχήν εἰσι· πανταχόθεν γὰρ περιέχουσι τὴν ψυχὴν καὶ σῴζουσι. Πάλιν αἱ τῆς ψυχῆς δυνάμεις εἰσὶ μέν τινες αἳ καὶ πρὸς τὰ ὑπέρτερα αὐτῆς ἀνατείνονται· εἰσὶ δὲ αἳ καὶ αὐτῆς ὡς ψυχῆς ἴδιαί εἰσι καθ' ἃς ἑαυτὴν θεωρεῖ, εἰσὶ δὲ αἳ καὶ περὶ σῶμά εἰσι, προνοητικαὶ οὖσαι τοῦ σώματος καὶ ἐπιμελούμεναι αὐτοῦ. Τῶν οὖν δυνάμεων τῶν περὶ τὸ σῶμα τῆς ψυχῆς ἡ τοῦ πτεροῦ δύναμις μάλιστα κεκοινώνηκε τοῦ θείου, ἅτε πρὸς τοὺς θεοὺς ἀνάγουσα.

NC 1 πέφυκεν, π rubr. A δύναμις] δύ (sic) AED 5 ἀνάφορον M αὐτοὶ D 6 στάσιν corruptum (στάσης A (?) : στάσις E) δὴ] οὖν M 13 τὸ om. D τῷ om. M 13-14 ὑπερέψειν M (jam correxerat Ast) 14 τοῦτο] τοῦ M (jam correxerat Ast) μετεωρίζουσα scripsi : μετεωρίζον libri 15 ἧ rubr. A τῷ τῶν D οἰκείων D 16 ἡ ἰδιότης M 17 τῳ scripsi : τῷ libri 19 ἡ ἰδιότης M 20 κεκοινώνηκε, κ rubr. A (κεκοινώνηκεν Plat.) 21 τοῦτο om. D 22 ἐνέργειαι εἰσί A καὶ ante περὶ om. D 23 νοῦν] νοῦ M 26 αἳ καὶ — 27 εἰσὶ δὲ om. M καθ' ἃς] καθαροὶ A[a] 29 μάλιστα] μάλα M (jam correxerat Ast)

[132] κα'. Τὸ δὲ θεῖον καλόν] 246 D.

Ταῦτα τὰ τρία θεωρεῖται διὰ πάντων τῶν ὄντων πεφοιτηκότα· καὶ γὰρ ἐν νοητοῖς καὶ ἐν νοεροῖς καὶ ἐν ὑπερκοσμίοις καὶ ἐν ἐγκοσμίοις, ἰδίως ἐπὶ ἑκάστου. Ἐν μὲν οὖν τοῖς νοητοῖς θεοῖς, εἰ μὲν κατὰ τοὺς νοῦς αὐτῶν θεωροίης τὰ εἰρημένα, ἐπειδή ἐστιν ἐν τοῖς νοῖς νοῦς, νόησις, νοητόν, εἰ καὶ πάντα νοητῶς, τὸ μὲν καλὸν ἔσται κατὰ τὸν νοῦν, ἐν ᾧ τὸ τῶν εἰδῶν κάλλος καὶ ἡ ποικίλη καλλονή (κατὰ τοῦτο γὰρ τὸ ἐπιστρεπτικόν), τὸ δὲ σοφὸν κατὰ τὴν νόησιν (ἡ γὰρ γνῶσις καὶ ἡ ἐπιστήμη καὶ ἡ σοφία κατὰ τὴν νόησιν ὁρᾶται), τὸ δὲ ἀγαθὸν κατὰ τὸ νοητόν (τοῦτο γὰρ τὸ πληροῦν τὸν νοῦν τέλεον ὂν καὶ ἐφετόν· στοιχεῖα γὰρ ταῦτα καὶ ἐν Φιλήβῳ εἶπε τοῦ ἀγαθοῦ τὸ τέλεον, τὸ ἱκανόν, τὸ ἐφετόν· ἱκανὸν δὲ λέγει τὸ καὶ τοῖς ἄλλοις μεταδίδον τῆς ἀγαθότητος). Εἰ δὲ κατὰ τὸ ὑπὲρ νοῦν αὐτῶν θεωροίης τὸ καλὸν, τὸ σοφὸν, τὸ ἀγαθὸν, οὕτω ῥητέον· ἔστι τι ἀπὸ τἀγαθοῦ προϊὸν φῶς ὅπερ αὐτὸς αἰτιολογίᾳ κέκληκεν ἀλήθειαν· εἶπε δὲ αὐτὸς καὶ ἐν Φιλήβῳ ὅτι ἀδύνατον τὴν τἀγαθοῦ ἰδέαν ἀνθρωπίνῃ διανοίᾳ ἑλεῖν κατὰ ἁπλῆν ἐπιβολήν· ἐπειδὴ οὖν εὐθὺς ἀπὸ τἀγαθοῦ πρόεισιν ἐκεῖνο τὸ φῶς, μένει ἔτι ὑπὲρ ἰδέαν καὶ ἁπλότητα· ἀδύνατον οὖν αὐτὸ περιλαβεῖν p. 133 μιᾷ ἐπιβολῇ καὶ περιγραφῇ· | καταμερίσαντες δέ, φησίν, αὐτὸ τῷ λόγῳ ῥᾷον ὀψόμεθα· τριπλοῦν τι οὖν αὐτὸ θεωρεῖ· καὶ γὰρ ὡς καλλονὴν καθὸ ἐναστράπτον τοῖς ἄλλοις καλὰ αὐτὰ ἀπεργάζεται, καὶ ὡς ἀλήθειαν καθὸ αἴτιόν ἐστιν ἄλλοις γινώσκειν τε καὶ γινώσκεσθαι, καὶ ὡς ἁπλοῦν καθὸ αἴτιόν ἐστι τοῖς ἄλλοις πᾶσι τοῦ μέτρου· τὸ γὰρ μέτρον ἁπλοῦν καθὸ καὶ τὸν θεὸν ἐν Νόμοις μέτρον τῶν πάντων κέκληκε· τὸ δὲ ἁπλοῦν καὶ τὸ μέτρον τοῦ ἀγαθοῦ ἴδια· πάντα γὰρ μετρεῖ τὸ ἀγαθόν. — Τὸ δὲ καὶ πᾶν ὅ τι τοιοῦτον ἀντὶ τοῦ· εἴ τι ἄλλο τοῖς τρισὶ τούτοις ἐστὶ συγγενὲς, οἷον τὸ ἁπλοῦν, τὸ σύμμετρον, τὸ τέλειον, τὸ ὑπέρπληρες, καὶ εἴ τι τούτοις ὅμοιον.

κβ'. Τούτοις δὴ τρέφεταί τε] 246 E.

Τροφή ἐστι ψυχῆς ἡ ἀπὸ τῶν κρειττόνων εἰς αὐτὴν καθήκουσα τελειότης· οὐδὲ γὰρ οἷα ἡ κατὰ ἔκκρισιν καὶ ἀλλοίωσιν παρ' ἡμῖν. Παρὰ μὲν οὖν τῶν θεῶν ἀεὶ προτείνεται τὰ καλὰ καὶ ἀγαθὰ καὶ ἡ ἐπιστήμη ἡ νοερά· ἑαυτὴν

10 *Phil.* 67 A 14 *Rep.* VI, 508 C al. 15 *Phil.* 64 E (?) 23 *Leg.* IV, 716 C

TIT 3 νοητὰ, νοερὰ, ὑπερκόσμια, ἐγκόσμια C

NC 1 τὸ, τ rubr. A : in lemmate supple : καλὸν <σοφὸν, ἀγαθόν> ut sequentia intellegantur 2 τρία] θεῖα M πεφοιτηκότα] πεφυκότα M 4 οὖν om. M 5 θεωροίη A² 8 ἡ γὰρ] ἦν καὶ M 13 τί A 13-14 τἀγαθοῦ] ἀγαθοῦ M 19 ὀψόμεθα τριπλοῦν· τί... θεωρεῖ; Ast 21 τὲ (sic) A τι M 26 τέλεον M 27 ὅμοιον τούτοις M 28 τούτοις, τ rubr. A 30 οἷα M οὖν om. M

13] δὲ ἡ ψυχὴ προσάγει αὐτοῖς καὶ ἀφίστησι· καὶ προσάγουσα μὲν ἑαυτὴν αὔξεται καὶ κατὰ πάσας ἐνεργεῖ τὰς δυνάμεις καὶ δυνατωτάτη ἑαυτῆς γίνεται, ἀφισταμένη δὲ ἀποστενοῦται καὶ ἀσθενὴς καὶ δούλη γίνεται τούτων ὧν αὐτὴ μετὰ τῶν θεῶν περιπολοῦσα πρόνοιαν ἐποιεῖτο. Προσιοῦσα δὲ τῷ αἰσχρῷ, ὅ ἐστιν ἡ ὕλη, καὶ τῷ κακῷ, ὅ ἐστι τὸ εἰς πλῆθος ἑαυτὴν δοῦναι καὶ μερισμὸν καὶ τοῖς ἀμαθέσι καὶ τοῖς ἀνοήτοις προσεληλυθέναι (ὅ ἐστι τοῖς σώμασι), παραθραύει τὴν τῶν πτερῶν δύναμιν καὶ ἀργὰ αὐτὰ ποιεῖ· τοῦτο γὰρ δηλοῖ τὸ φθίνει. Τὸ δὲ διόλλυται, ἐπειδὴ θάνατός ἐστι ψυχῆς ἡ εἰς σῶμα πτῶσις· ἀργεῖ γὰρ τότε κατὰ τὰς ἄκρας ἑαυτῆς ἐνεργείας. Ἐναντία δὲ εἶπε τὸ αἰσχρὸν καὶ ἀμαθὲς καὶ κακὸν οὐκ ἐκείνῳ τῷ καλῷ καὶ σοφῷ καὶ ἀγαθῷ τῷ ἐν τοῖς θεοῖς (οὐδὲν γὰρ αὐτοῖς ἐκεῖ ἐναντίον), ἀλλὰ τοῖς ἐνταῦθα καλοῖς καὶ σοφοῖς καὶ ἀγαθοῖς τοῖς περὶ ἡμᾶς τὰ ἐναντία εἶπεν, ὡς καὶ τῷ ἐνταῦθα φωτὶ τὸ σκότος ἐναντίον· οὐ γὰρ δὴ τῷ ἐν τῷ ἡλίῳ, ἀλλὰ τῷ περὶ ἡμᾶς καὶ τὴν γῆν φωτὶ τὸ ἐνταῦθα σκότος ἐναντίον.

κγʹ. Ὁ μὲν δὴ μέγας ἡγεμών] 246 E.

Πρῶτον τὴν συνέχειαν τούτων τῶν ῥητῶν πρὸς τὰ πρὸ αὐτῶν ἐπισκεψώμεθα· δοκεῖ γὰρ ὥσπερ ἀπηρτῆσθαι. Ἐροῦμεν ὅτι, ἐπειδὴ εἶπεν ἀνωτέρω περὶ ψυχῆς ὅτι « τελέα μὲν οὖσα καὶ ἐπτερωμένη μετεωροπορεῖ τε καὶ πάντα τὸν κόσμον διοικεῖ, ἡ δὲ πτερορρυήσασα
4v° φέρεται | ἕως οὗ στερεοῦ τινος ἀντιλάβηται, » βούλεται ἐνταῦθα τοὺς αἰτίους τῆς ἀναγωγῆς παραδοῦναι θεούς, πῶς μὲν ἐξηγοῦνται παντὸς τοῦ κόσμου, πῶς δὲ πάντα ἐπὶ τὸ νοητὸν ἐπιστρέφουσιν· οἷς δὴ καὶ ἡ ψυχὴ ἑαυτὴν ἐπιδοῦσα, τότε καὶ αὐτὴ τὸ πᾶν ἐπιτροπεύει καὶ ἀνάγεται ἐπὶ τὸ νοητὸν καὶ θεωρεῖ τὰ ἔξω τοῦ οὐρανοῦ, ἀφισταμένη δὲ αὐτῶν φέρεται κάτω. Ζητητέον δὲ ἐν τούτοις τίς ὁ Ζεὺς καὶ τίνες οἱ δώδεκα θεοί. Τινὲς μὲν οὖν τὰς δώδεκα σφαίρας τοῦ κόσμου ἤκουσαν, τὴν ἀπλανῆ, τὰς ἑπτὰ πλανωμένας καὶ τὰ τέσσαρα στοιχεῖα· καὶ τὸν μὲν Δία ἔταξαν κατὰ τὴν ἀπλανῆ ἐπειδὴ πάντα ἄγει, τὴν δὲ Ἑστίαν κατὰ τὴν γῆν διὰ τὸ ἀκίνητον. Οἳ δὲ τὰς τῶν σφαιρῶν τούτων ψυχάς. Οἳ δὲ ἔτι τούτων καθαρώ-

18-19 ἀνωτέρω 246 C

TIT 9 θάνατος τῇ ψυχῇ ἡ εἰς τὸ σῶμα πτῶσις C   26 τίς ὁ Ζεὺς καὶ τίνες οἱ δώδεκα θεοί C

NC 6 κατὰ μερισμόν (?)   8 φθίνει] φθίνειν M   9 κατὰ] καὶ M   10 ἐναντία : proxima igitur saltem eorum quæ codices præbent Platonici legebat Hermias   τὸ ἀμαθὲς M   13 τὸ om. M   16 ὁ rubr. A   17 αὐτῶν Ast : αὐτοῦ libri   17-18 ἐπισκεψόμεθα M   19-20 μετεωροπολεῖ M, cf. 130, 1 et 158, 34   21 οὗ] ἂν Plat. cf. 129, 24 et 130, 19   στερεοῦ om. M   τινός A[a]   22 ἀναγωγῆς] συναγωγῆς M   ἐξηγοῦνται] ἐξηγουμένη A[a]   23 τὸ νοητὸν evanid. in A, spatium vacuum reliquit a   24 αὐτὴ] αὑτῇ M (jam correxerat Ast)   28 καὶ τὰ τέσσαρα στοιχεῖα] τὰς δ' M

[133] τερον τοὺς νοῦς τοὺς ἐπιβεβηκότας ταύταις ταῖς ψυχαῖς. Πρὸς οὓς ῥητέον ὅτι ἕκαστος τῶν δώδεκα λέγεται ὅλον τὸν κόσμον ἐπιτροπεύειν, ἑκάστη δὲ ψυχὴ μετὰ τῆς ἑαυτῆς σφαίρας ἓν ζῷον ποιοῦσα κατ' αὐτό γε τοῦτο οὐκ ἀναγκάζεται τῶν ἄλλων ἐπιμελεῖσθαι, ἀλλὰ καὶ αὐτὴ τῶν ὅλων ἐξῆπται. Ὅλως δὲ πῶς ἀκίνητον λέγουσι τὴν ψυχὴν τῆς γῆς, ἢ τὸν νοῦν; λόγον γὰρ οὐκ ἔχει· ἀλλ' ἆρα ὅτι ἡ γῆ ἐξῆπται αὐτῶν ἀκίνητος οὖσα; ἀλλὰ πρῶτον μὲν οὐδὲ αὐτὴ ἡ γῆ ἀκίνητός ἐστι· κατὰ γὰρ μέρη καὶ γίνεται καὶ φθείρεται καὶ αὔξεται καὶ ἀπόλλυται καὶ ἀλλοιοῦται· ἔπειτα δὲ ἡ Ἑστία τῶν θεῶν τῶν μετεχόντων μονῆς ἐστιν αἰτία, τὸ δὲ σωματοειδὲς τῆς γῆς τί ἂν ποιήσειεν εἰς τοὺς ἄλλους θεούς; Εἰσὶ δὲ οἳ οὕτως ἐξηγοῦνται· Δία μὲν τὸν ἥλιον λαμβάνουσι, τὸν δὲ ὅλον κόσμον φασὶ πρὸς αὐτὸν συντετάχθαι· καὶ Ἑστίαν μέν φασι τὸ δωδεκατημόριον ἐν ᾧ ἐστιν ὁ ἥλιος, ἐπει-
p. 134 δὴ | ἐν αὐτῷ μένει, τὰ δὲ ἕνδεκα τὰ λοιπὰ ζῴδια συνδημιουργεῖν αὐτῷ· στρατιὰν δ' ἀκούουσι τοὺς δεκαδάρχας θεοὺς καὶ τοὺς μοιρηγέτας δαίμονας. Οὐδὲ οὗτοι δὲ τῆς τελείας θεωρίας καταδράττονται· καίτοι λέγουσί τι ἀνάλογον πάντες· καὶ ταῦτα γὰρ ἐν τῷ κόσμῳ κατ' ἀναλογίαν τοῦ ἀληθοῦς διήρηται. Ὁ μέντοι θεῖος Ἰάμβλιχος τοῦ τοῦ Διὸς ὀνόματος δραξάμενος ἐπὶ τὸν ἕνα δημιουργὸν τοῦ κόσμου, περὶ οὗ καὶ ἐν Τιμαίῳ εἴρηται, μεταφέρει τὸν λόγον. Ἡμεῖς δὲ, τὴν ἐπιβολὴν τοῦ ἀνδρὸς καὶ ἐν τούτοις θαυμάσαντες, τοσοῦτον μόνον προστίθεμεν ὅτι οὐχ ἁπλῶς δεῖ ἀκούειν τὸν Δία τὸν ἕνα καὶ ἐξῃρημένον δημιουργόν· οὗτος γὰρ ὁ ἐξῃρημένος δημιουργὸς οὐκ ἴδιον ἔχει μέρος στρατιᾶς ἀντιδιῃρημένον πρὸς ἄλλα μόρια στρατιᾶς, οὐδὲ τοῖσδε μέν ἐστι συγγενέστερος, τοῖσδε δὲ οὔ, ἀλλὰ πᾶσιν ἐπ' ἴσης πάρεστι. Περὶ δὲ τοῦ ἐνταῦθα Διὸς ἡμεῖς, ἄλλοι δὲ μετ' ἄλλου του θεῶν. Ἡμεῖς οὖν οὕτω λέγομεν κατακολουθοῦντες Πλάτωνι καὶ τοῖς θεολόγοις· μετὰ τὴν μονάδα τὴν δημιουργικὴν τὸν ἕνα καὶ ἐξῃρημένον Δία, τρεῖς εἰσι Δίες· Ζεὺς, Ποσειδῶν, Πλούτων, τριάς τις αὕτη δίιος μετὰ τὴν ἐξῃρημένην ἐκείνην μονάδα τὸν πρὸ τῶν τριῶν τούτων Δία. Ἕκαστος δὲ τούτων τῶν τριῶν τέσσαρας ὑφ' ἑαυτὸν ἔχει θεούς, τὸν μέν τινα τὸ εἶναι παρέχοντα, τὸν δὲ ζῆν, τὸν δὲ φρουρᾶς καὶ τῆς ἀτρέπτου μονῆς αἴτιον φρουρητικόν τινα θεὸν, τὸν δὲ τῆς ἐπιστροφῆς καὶ τοῦ τὰ προιόντα ἐπὶ τὰς οἰκείας ἀρχὰς ἀνατείνεσθαι αἴτιον· ὡς εἶναι τρεῖς μὲν

17 Ἰάμβλιχος cf. 9, 10   18 *Tim.* pass.

TIT 17 ὁ Ἰάμβλιχος Δία (cod. οἱ ἄμβλιχος διὰ) καλεῖ τὸν ἕνα ἐξῃρημένον δημιουργόν C   25 ἀκριβῶς τίνες οἱ ιβ' θεοὶ καὶ πῶς διαιροῦνται C   26 περὶ] τῶν ιβ' θεῶν A   30 τὸ εἶναι, τὸ ζῆν, τὸ φρουρεῖσθαι, τὸ ἐπιστρέφειν C

NC 3 ἓν] τὸ A[a]   4 αὐτὴ Ast : αὕτη libri   5 πως M   6 ἆρα scripsi : ἄρα libri   7 αὐτὴ ἡ γῆ οὐδὲ M   13 λοιπὰ] litteræ λοιπ evanuerunt in A   14 μοιρηγέντας A[1] cf. 96, 15   15 τῆς] τὰς M (jam correxerat Ast)   21 καὶ om. M   23 δὲ ante οὐ om. M   24 ἄλλοι — 25 ἡμεῖς om. M   25 οὖν] γοῦν M   27 Ποσειδὼν A   28 τὸν] τὴν M   31 τῆς] τοῖς M (jam correxerat Ast)

[134] αἰτίους τοῦ εἶναι τοῖς πᾶσι καὶ ὑφεστάναι καὶ σώμασι καὶ ψυχαῖς καὶ νοῖς, τρεῖς δὲ τοῦ ζῆν, τρεῖς δὲ τοῦ φρουρεῖσθαι καὶ ἄτρεπτα μένειν, τρεῖς δὲ τοῦ ἐπιστρέφειν ἐπὶ τὰς οἰκείας ἀρχάς· ὡς γίνεσθαι τρὶς τέσσαρας δώδεκα, τέλειόν τι μέτρον καὶ πᾶν πλῆθος θεῶν· καὶ γὰρ ὁ ἀριθμὸς οὗτος ὁ δωδέκατος ἐκ τῶν ἀριθμῶν τοῦ τε τρίτου ὄντος τελείου καὶ τοῦ τετάρτου ὄντος γονίμου πολλαπλασιασθέντων καὶ συγκερασθέντων ἀποκυΐσκεται. Τῶν οὖν ἐν τοῖς δώδεκα θεοῖς τριῶν τῶν τὸ εἶναι παρεχόντων ὁ πρῶτός ἐστι Ζεύς· ὥσπερ γὰρ μετὰ τὴν πρώτην καὶ ἐξῃρημένην μονάδα τὴν δίιον ἐν τῇ ἑξῆς τριάδι πάσῃ οὔσῃ διίᾳ ὁ πρώτιστος τῶν τριῶν τῷ τοῦ Διὸς ὀνόματι προσαγορεύεται, τῶν δὲ ἄλλων ἐνήλλαξε τὰ ὀνόματα ἡ θεολογία, τὸν μὲν Ποσειδῶνα, τὸν δὲ Πλούτωνα καλέσασα· οὕτως τῶν δώδεκα θεῶν ὄντων πάντων διίων ὁ πρώτιστος αὐτῶν τῷ τοῦ Διὸς ὀνόματι προσαγορεύεται· συντεταγμένος δὲ ὢν τοῖς λοιποῖς ἕνδεκα ἡγεμονικὴν ἔχει ὡς ἐν συντεταγμένοις τάξιν. Διὸ καὶ μέγας ἡγεμὼν ἐν οὐρανῷ προσαγορεύεται. Οἱ δὲ δώδεκα οὗτοι ἡγεμόνες εἰσὶ τῶν λοιπῶν πάντων καὶ θεῶν τῶν ἐγκοσμίων καὶ ἀγγέλων καὶ πάντων τῶν λοιπῶν γενῶν ἅπερ διὰ τοῦ δαιμονίου ἐσήμηνεν ὁ φιλόσοφος. Διαιροῦνται δὲ οἱ δώδεκα οὗτοι εἰς ἓξ ἄρρενας καὶ ἓξ θηλείας· οὕτω γὰρ καὶ ἐν Ὀλυμπίᾳ ἐτιμῶντο ἓξ ἔχοντες βωμοὺς καὶ κατὰ δυάδα τιμώμενοι. Ταῦτα δὲ καὶ ὡς ἀπὸ τῶν πατρίων τῶν Ἀττικῶν λέγει ὁ φιλόσοφος. Καὶ τῶν ἓξ ἀρρένων οἱ μὲν τρεῖς εἰσι δημιουργικοί, οἱ δὲ τρεῖς φρουρητικοί· τῶν δὲ ἓξ θηλειῶν αἱ μὲν τρεῖς ζωογόνοι, αἱ δὲ
f° 55 r° τρεῖς ἐπιστρεπτικαί. Ἐξάρχει δὲ | πάντων μὲν ὁ Ζεὺς καὶ ἡ Ἑστία, ἰδίως δὲ τῶν μὲν ἀρρένων ὁ Ζεύς, τῶν δὲ θηλειῶν ἡ Ἑστία. Ὅτι δὲ καὶ Ὅμηρος οἶδε τοὺς τρεῖς τούτους Δίας τόν τε ἐξῃρημένον καὶ τὸν πρῶτον ἐν τοῖς τρισὶ καὶ τὸν πρῶτον ἐν τοῖς δώδεκα, καὶ αὐτὴν τὴν Ἑστίαν θεόν, δηλοῖ διὰ τῶνδε τῶν ἐπῶν·

οὐδέ τις ἔτλη
μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες·

περὶ δὲ τοῦ ἑνὸς καὶ ἐξῃρημένου λέγει Διὸς ἔνθα ποιεῖ τὸν Ποσειδῶνα λέγοντα·

18 de aris Olympicis locus apud PAUSANIAM misere corruptus, de quo vid. CORAY in editione : sed in *schol. Pind. ol.* V, 10 hæc ex HERODORO sumpta leguntur : ὀλυμπιάσι βωμοί εἰσιν ἕξ, δίδυμα τοῖς δώδεκα θεοῖς ἀνιδρυμένοι, ἑνὸς ἑκάστου βωμοῦ δύο θεοῖς καθοσιωμένου : sequentia cum Hermia non consentiunt : πρῶτος Διὸς καὶ Ποσειδῶνος, δεύτερος Ἥρας καὶ Ἀθηνᾶς, τρίτος Ἑρμοῦ καὶ Ἀπόλλωνος, τέταρτος Χαρίτων καὶ Διονύσου, πέμπτος Ἀρτέμιδος καὶ Ἀλφειοῦ, ἕκτος Κρόνου καὶ Ῥέας : aliud in *Etym. M.* 386 Ἡλίου καὶ Κρόνου κοινὸν βωμόν 27 A 534-535

TIT. 17 ἓξ ἄρρηνες καὶ ἓξ θήλειαι C 23 τῶν ἀρρένων ἄρχει ὁ Ζεύς, τῶν θηλειῶν ἡ Ἑστία C

NC 3 τρὶς scripsi : τρεῖς libri 6 παραπλασιασθέντων M οὖν om. M 7 ἐν τοῖς] αὐτοῖς M ἔστι A 8 μονάδα διὰ A 11 οὕτως] ἅτε M 18 καὶ post βωμοὺς om. M 21 ζωογόνιοι M 22 δὲ om. M μὲν non rescripsit a

[134] τρεῖς γάρ τοι Κρόνου ἐσμέν...
Ζεὺς δ' <ἔλαχ'> οὐρανόν...
καὶ κρατερός περ ἐὼν μενέτω τριτάτῃ ἐνὶ μοίρῃ· |

p. 135 περὶ δὲ τῶν τριῶν Διῶν σαφῶς λέγει ἔνθα τό·

δωδεκάτῃ δέ τοι αὖθις ἐλεύσεται Οὔλυμπόνδε·

καὶ

Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας,

περὶ τοῦ κατὰ τρίτην ἀπόστασιν τοῦ ἐν τοῖς δώδεκα Διός λέγει, διὰ τοῦ Αἰθιοπῆας τὸ ἀφανὲς πᾶν καὶ νοητὸν σημαίνων. Ὅτι δὲ πάντα οὗτος ὁ Ζεὺς ἀνάγει ἐπὶ τὸ νοητὸν, ὧδε συνῳδὸ τούτῳ καὶ Πλάτων λέγει· τῷ δ' ἕπεται στρατιὰ θεῶν τε καὶ δαιμόνων. — Ἐπειδὴ δὲ ὁ δωδέκατος ἀριθμὸς ἐκ <τοῦ> τελείου ἀριθμοῦ τοῦ τρίτου καὶ τοῦ γενεσιουργοῦ τοῦ τετάρτου κατὰ σύγκρασιν ἀπεγεννήθη, ὅλον τὸν τῶν θεῶν περιέχων θεῖον διάκοσμον, τοῦ δὲ τρίτου καὶ τετάρτου ἀρχαὶ μονὰς καὶ δυάς, εἴη ἂν μονὰς μὲν ὁ αἰθήρ, δυὰς δὲ τὸ χάος, τριὰς δὲ τὸ ᾠὸν (τέλειον γάρ ἐστι), τετρὰς δὲ ὁ Φάνης, ὡς καὶ Ὀρφεύς φησι·

τετράσιν ὀφθαλμοῖσιν ὁρώμενος ἔνθα καὶ ἔνθα.

Ἄλλο δέ ἐστιν ὅλον τὸν τῶν θεῶν διάκοσμον εἰς τὴν δωδεκάδα λέγειν ἀπαρτίζεσθαι ὡς τέλειον ἀριθμὸν καὶ ἐκ τῶν πρώτων ἀριθμῶν κατὰ σύγκρασιν ἀπογεννώμενον καὶ ὅσα ἄλλα εἴωθε λέγεσθαι, ἄλλο πάλιν τὸ λέγειν δώδεκα εἶναι τοὺς ἡγεμόνας τοῦ κόσμου ὡς ἐν τῇ αὐτῇ τάξει θεωρουμένους· πάντες γὰρ ὑπερκόσμιοί εἰσι· καὶ ἡ μὲν Ἑκάτη τὸν δώδεκα λέγεται συνελίσσειν, ὡς τὰ πέρατα τοῦ θείου ἀριθμοῦ παντὸς ἀφορίζουσα· ὁ δὲ Διόνυσος τὴν τρισκαιδεκάτην εἰληχέναι ὡς μετὰ θεοὺς ὢν καὶ τῶν ἐκθεουμένων. Ἐνταῦθα δὲ οὐκ ἐν ἑνὶ ὁ δώδεκα, ἀλλ' ἕτερον τρόπον τῆς ἐν πᾶσι τάξεως ἐνδεικτικόν. Ἡ δὲ τάξις οὐχ ὡς ἄλλη ἐν ἄλλοις, ἀλλ' αὐτὸ τὸ εἶναι τῶν θεῶν ἡ τάξις αὐτῶν ἐστι. Τριττὴ δὲ ἡ τάξις· ἢ γὰρ ὡς ἐξῃρημένη, οἵα ἡ ἐν τῷ ἐξῃρημένῳ Διί, ἀφ' ἧς τάξεως καὶ αὐτὴ ἡ ἐν τοῖς δώδεκα ἐν-

1 Ο 187, 192, 195 5 Α 425 7 Α 423 15 τετρὰς — 17 ἔνθα jam ediderat Gesner in *Orphicis* (fr. 64 Abel)

TIT 27 τριττὴ ἡ τάξις C

NC 1 τοι] τ' ἐκ M Hom. ἐσμέν] εἰμέν Hom. cum Homero ἀδελφεοί addidit M 2 δ' ἔλαχ' scripsi cum M Hom. : δὲ AE οὐρανόν om. E 3 τριτάτῃ spatium vacuum reliquit a 4 διῶν] θεῶν M (δίων A : de hujus formæ accentu, quod sciam, nihil constat) 5 αὖτις M Hom. 8 περὶ τοῦ κατὰ τρίτην] περὶ δὲ τοῦ τρίτην M : τρίτην δὲ Ast 11 τε om. M 12 τοῦ addidi 13 σύγκρασιν] σύγκρισιν M 16 καὶ om. M Gesn. 17 ὁρώμενος] ὁρᾷ αὐτὸς A[a] 19-20 σύγκρασιν] σύγκρισιν M 20 λέγειν] γε M 25 δὲ om. M τῆς] τῶν a 26 ἐνδεικτικός M 27 ἐστι evanid. in A 28 οἵα scripsi : οἷα libri ἡ ante ἐν bis om. M

[135] δίδοται· ἢ ὡς ἐν αὐτοῖς τοῖς τεταγμένοις, οἷον ἡ ἐν αὐτοῖς τοῖς δώδεκα· ἡ τρίτη ὡς ἡ ἐν μεταδόσει, οἷον ἡ ἀπ' αὐτῶν τῶν δώδεκα καὶ εἰς τὰ καταδεέστερα ἐνδιδομένη καὶ εἰς ὅλον τὸν κόσμον. Τινὲς δὲ καὶ ἀριθμητικῶς ἑκάστῳ τῶν ἐν τῷ δεκάτῳ ἐφήρμοσαν τοὺς ἐν τῇ δεκάδι ἀριθμούς, ἐξελόντες τὰς δύο μονάδας, τήν τε τετάρτην Δίαν καὶ τὴν τῆς Ἑστίας, μονάδα μὲν Ἀπόλλωνι δόντες, δυάδα Ἥρᾳ, τριάδα Ποσειδῶνι (διὸ καὶ τριαινοῦχος), τέταρτον Ἑρμῇ, πέμπτον Ἄρῃ, ἕκτον Ἀφροδίτῃ, ἕβδομον Ἀθηνᾷ, ὄγδοον Δήμητρι, ἔνατον Ἀρτέμιδι, δέκατον Ἡφαίστῳ. Οὐ δεῖ δὲ ἀριθμητικῶς οὕτως ἁπλῶς ἀκούειν, ἀλλ' ὅτι ἕκαστος δημιουργεῖ καὶ προνοεῖ κατὰ τὴν ἑαυτοῦ ἰδιότητα, ὁ μὲν ἀρεϊκῶς, ὁ δὲ ἀπολλωνιακῶς, καὶ ἄλλως ἄλλος. Τίς δὲ ἡ ἑκάστου ἰδιότης, ἐκ τῆς θεολογίας ληπτέον. Ληπτέον δὲ αὐτὴν ἀπό τε τῶν αἰτίων ἀπό τε τῆς τάξεως, ἐπειδὴ πολλάκις ἀπό [τε] τῶν αὐτῶν εἰσιν αἰτίων, ἀπό τε τῶν οὐσιῶν καὶ δυνάμεων ὧν λαμβάνουσιν, ἀπὸ τῶν αὐτοὺς παραγαγόντων, ἀπὸ τῶν ἐνεργειῶν, ἀπό τε τῆς εὐταξίας καὶ τῶν τοιούτων. Οἱ γὰρ τοῦ Διὸς λόγοι δυνάμεών τινων εἰσι δόσεις, ὡς ὅταν λέγῃ πρὸς τὴν Ἀφροδίτην·

οὔ τοι τέκνον ἐμὸν δέδοται πολεμήια ἔργα,
ἀλλὰ σύ γ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο.

Ἰδιότητες οὖν εἰσί τισιν ἐν τοῖς ἀριθμοῖς ἀπομιμούμεναι τὰς ἰδιότητας ἐν τοῖς θεοῖς· διὸ αὐτοῖς καὶ ἀνατίθενται· οἷον ἐν μὲν τῇ ἑβδόμῃ τὸ ἄχραντον (οὔτε γὰρ γεννᾷ οὔτε γεννᾶται ὁ ἕβδομος), διὸ τῇ Ἀθηνᾷ ἀνεῖται· ἐν δὲ τῷ δωδεκάτῳ τὸ τέλειον, διὸ τοῖς ἀπολύτοις θεοῖς ἀνιέρωται· ἀπόλυτοι δέ εἰσιν ἰδίως οὗτοι οἱ νῦν λεγόμενοι δώδεκα, κοινῶς ὑπερκόσμιοι ὄντες, οἳ καὶ πάντα τὸν κόσμον τελειοῦσι· διὸ κἂν μύριοι ὦσι λέγονται δώδεκα καὶ
p. 136 ἕκαστος αὐτῶν ἓν δώδεκά ἐστι· τελειότητος γὰρ σύμβολον ὁ δώδεκα. | — Τὸ δὲ **μέγας** τὸ ὑπερέχον αὐτοῦ πρὸς τοὺς ἄλλους δηλοῖ·

τίπτε με κεῖνος ἄνωγε μέγας θεός;

Τὸ δὲ **ἡγεμὼν** τὸ ἐξῃρημένον καὶ ἀρχικόν· δυνατὸν γὰρ μέγαν εἶναι ἀλλ' οὐκ ἐξῃρημένον, καὶ ἐξῃρημένον ἀλλ' οὐκέτι καὶ μείζονα τῶν ἡγεμόνων· διὰ τοῦτο ἀμφότερα ὁ Πλάτων παρέλαβεν εἰπών « **μέγας ἡγεμών.** »

17 Ε 428-29 27 Ω 90

NC 1 οἷον ὡς ἡ A 2 τρίτη] τριττὴ M 4 ἐν τῷ δεκάτῳ] ἐν τῷδε κάτω M : videntur corrupta : fort. legendum δέκα θεῶν vel ἐν τῷ δέκα θεῶν 5 τε om. M τετάρτην corruptum : ὑπερτάτην τὴν scripserim τὴν post καὶ om. M 6 δυάδα δὲ M ἥρᾳ] ἥρῳ M : ἥρῃ Ast 7 τριηνοῦχος A[1] (αι supra η) M (jam correxerat Ast) 8 ἔννατον M ut solet 12 αἰτιῶν M ἀπό τε τῆς] καὶ ἀπὸ τῆς M 13 τε seclusi εἰσὶν A αἰτιῶν M 15 ἐνταξίας M τινων A 20 μὲν om. M 21 γὰρ om. M 22 διὸ] διὰ M (jam correxerat Ast) ἀπολύτοις] ἀλύτοις M 23 ἰδίως] οἱ δύο M 26 μέγας] μέγα M τοὺς ἄλλους] τὰς ἄλλας M

[136] Τὸ δὲ ἐν οὐρανῷ ὅτι εἰ καὶ ὅλος ὁ κόσμος αὐτοῦ ἀπολαύει, ἀλλὰ πολλῷ μᾶλλον ὁ οὐρανὸς, ἅτε συγγενέστερος ὢν καὶ ἐπιτηδειότερος πρὸς τὸ μετασχεῖν τοῦ θεοῦ. — Ἅρμα δὲ καὶ ἵππους τῶν θεῶν τὰς δευτέρας αὐτῶν καὶ τρίτας δυνάμεις ἀκουστέον ἃς αἱ πρῶται κατευθύνουσι, δι' ὧν ὁ Ζεὺς καὶ ἑαυτὸν ἀνάγει καὶ πᾶσαν τὴν ὑποβεβλημένην αὐτῷ στρατιὰν θεῶν καὶ δαιμόνων καὶ πάντα ἁπλῶς τὰ ἐξημμένα αὐτοῦ· εἰ δὲ καὶ ὄχημά τις θέλει f°55 v° ὑποβάλλειν αὐτῷ, τὸν Ὄλυμπον ἂν αὐτῷ ὑποβάλοι, | τουτέστι τὰ ὑπὲρ τὴν ἀπλανῆ στερεώματα, ἃ καὶ τῆς ἀπλανοῦς ἐστι πτηνότερα. — Πτηνὸν δὲ εἶπεν, οὐχ ὑπόπτερον, ὡς ἀεὶ αὐτοῦ ἀναγομένου καὶ τὰ ἄλλα συνανάγοντος. — Ἐλαύνων δὲ ἀντὶ τοῦ κατευθύνων καὶ ἀνάγων καὶ τάττων πάντα. — Πρῶτος δὲ πορεύεται ὅτι ἱέμενος ἐπὶ τὸ νοητὸν αὐτὸς καὶ ἐνιδρύων ἑαυτὸν ταῖς οἰκείαις ἀρχαῖς συνάγει τὰ ἄλλα πάντα. — Τὸ δὲ διακοσμῶν ἀντὶ τοῦ δημιουργῶν· τὸ δὲ ἐπιμελούμενος ἀντὶ τοῦ προνοίας ἀξιῶν. Καὶ ἡ πρόνοια μὲν γὰρ αὐτοῦ δημιουργεῖ καὶ ἡ δημιουργία προνοεῖ· ἀλλὰ ταῖς ἐπιβολαῖς διενήνοχεν· ἡ μὲν γάρ ἐστιν ὑποστατικὴ τῶν πραγμάτων, ἡ δὲ σωστική.

κδ'. Τῷ δ' ἕπεται] 246 E.

Οἱ δώδεκα ἡγεμόνες εἰσὶ τῆς πάσης στρατιᾶς καὶ κατὰ τοὺς ἡγεμόνας διῄρηται ἡ στρατιὰ εἰς δώδεκα καὶ αὐτή· τῆς δὲ κατὰ τὴν Ἑστίαν τάξεως ἐν μονῇ ἀλλ' οὐκ ἐν κινήσει θεωρουμένης, εἰκότως εἶπε τοὺς ἑπομένους, ἅτε ἐν κινήσει καὶ ἀναγωγῇ θεωρουμένους, κατὰ ἕνδεκα μέρη κεκοσμῆσθαι. Δώδεκα γὰρ ὄντων ἡγεμόνων καὶ δώδεκα τάξεων, μιᾶς ὑφ' ἕκαστον, τῆς δὲ Ἑστίας μιᾶς τῶν ἡγεμόνων καὶ τῆς στρατιᾶς αὐτῆς ἐν μονῇ καὶ ἀκινησίᾳ λαμβανομένης, εἰκότως εἴρηνται αἱ ἕνδεκα τάξεις μετὰ τῆς αὐτοῦ τοῦ Διὸς τάξεως ἕπεσθαι τῷ Διί. Τί οὖν οὐχὶ καὶ ἡ Ἑστία ἀνάγεται; καὶ οἱ ἄλλοι θεοὶ μένουσι καὶ ἑστίαν ἔχουσι καὶ μονήν. Ἢ ῥητέον ὡς ἀμφότερα μέν ἐστιν ἐν ἑκάστῳ τῶν θεῶν (μᾶλλον δὲ τὰ τρία· ἕκαστος γὰρ αὐτῶν καὶ μένει καὶ πρόεισι καὶ ἐπιστρέφει πρὸς τὰς οἰκείας ἀρχὰς ἀναγόμενος), ἄλλος δὲ κατ' ἄλλο χαρακτηρίζεται, καὶ ἔστι τοῦ μὲν πάντα ἀνάγεσθαι αἴτιος ὁ Ζεὺς, τοῦ δὲ πάντα ἑδράζεσθαι καὶ μένειν ἐπί [τε] τῆς οἰκείας τάξεως ἧς ἐτάχθη, καὶ ἐν ταῖς οἰκείαις ἀρχαῖς ἡδράσθαι ἡ Ἑστία, τοῦ δὲ προϊέναι ἡ Ἥρα καὶ αἱ ζωογόνοι θεοί. — Στρατιάν δὲ εἶπεν ἐνι-

TIT 3 τί ἅρμα καὶ οἱ ἵπποι τῶν θεῶν C   29 αἴτιος ὁ Ζεὺς ἀναγωγῆς, ἡ Ἑστία μονῆς, ἡ Ἥρα προόδου C

NC 2 μᾶλλον] πλέον M   4 ἃς] αἳ M (jam correxerat Ast)   5 τῶν θεῶν M   6 ἐξημμένα] ἐξηρημένα M   ὄχημά τις] ὀχήματα M   θέλοι M   8 πτηνότερα A[1] πτηνότερον a   9 ἀεὶ αὐτοῦ] ἀφ' αὐτοῦ a, sed spiritus lenis et accentus gravis discernuntur, itidemque spiritus lenis supra υ perspicuum   συνάγοντος M   10 καὶ ἀνάγων om. M   12 ἑαυτῶν M   14 μὲν evanid. in A   17 τῷ, τ rubr. A   26 fort. <καὶ γὰρ> καὶ οἱ ἄλλοι   30 τε seclusi   31 ἑδράσθαι EM

136] κῶς καὶ οὐ στρατιάς, τὸ συντεταγμένον αὐτῶν καὶ ἑνιαῖον καὶ ἡνωμένον σημαίνων. Χορὸν δὲ αὐτὸ οὐκ ἐκάλεσεν ἀλλὰ στρατιάν, τὸ ἀκαταγώνιστον δηλῶν καὶ τὸ συνεστραμμένον καὶ τὸ μετὰ συντονίας καὶ σπουδῆς ἀναγόμενον. Αἱ μὲν γὰρ ποιήσεις αὐτῶν αἱ εἰς τὰ δεύτερα παιδιαὶ εἴρηνται· ἡ δὲ εἰς τὸ νοητὸν ἄνοδος στρατιᾷ ἀπείκασται· σπουδαὶ γὰρ αὗται μάλιστα τῶν θεῶν. — Τὸ δὲ κατὰ ἕνδεκα μέρη τί βούλεται ἐνδείκνυσθαι; Ῥητέον οὖν ὡς ὅτι τὴν δωδεκάδα ταύτην διεῖλε διχῇ, εἴς τε μονάδα καὶ ἑνδεκάδα· ἔνθα λέγει « κατὰ ἕνδεκα μέρη κεκοσμημένη· μένει γὰρ Ἑστία ἐν θεῶν οἴκῳ μόνη· » καὶ πάλιν αὖ τριχῇ εἴς τε δύο μονάδας, τὴν τῆς Ἑστίας καὶ τὴν Δίιον, διότι ὃ μὲν πάντα ἀνάγει, ἡ δὲ πάντα ἑδράζει· καὶ τὴν δεκάδα τῶν λοιπῶν ἡγεμόνων μονάδα τινὰ τελείαν οὖσαν καὶ αὐτήν. Ἡ μὲν οὖν εἰς μονάδα καὶ ἑνδεκάδα διαίρεσις σημαίνει ὅτι μοναχῶς μὲν ἵσταται τὰ πράγματα, παντοδαπῶς δὲ ἀνάγεται καὶ κατὰ πάσας ἑαυτῶν τὰς δυνάμεις· καὶ γὰρ ἡ μονὰς παρὰ τὸ μένειν ἐκλήθη· καθὸ γὰρ μονὰς p. 137 ἡ μονὰς καὶ καθὸ | ἁπλοῦν τὸ ἁπλοῦν, οὐδαμοῦ κινηθήσεται. Ἐπεὶ οὖν ὁ ἕνδεκα ἔχει καὶ μονάδα καὶ δεκάδα ἐν ἑαυτῷ, τὴν μὲν συνεσπειραμένως καὶ ἑνιαίως ἔχουσαν πάντων τῶν ἀριθμῶν τὰ εἴδη, τὴν δὲ πεπληθυσμένως καὶ ἀνειλιγμένως, ὡς ἑκατέραν μὲν εἶναι τελείαν, ὁρίζεσθαι δὲ καὶ ἐκ τῆς μονάδος τὴν δεκάδα οὐδὲν ἧττον, διὰ τοῦτο κατὰ ἕνδεκα εἶπεν, ἀντὶ τοῦ· τελεία αὐτῶν γίνεται ἡ ἐπὶ τὸ νοητὸν ἄνοδος. Καὶ γὰρ καὶ αἱ πρῶται καὶ αἱ μέσαι καὶ αἱ τελευταῖαι αὐτῶν δυνάμεις ἀνάγονται, καὶ ἐνιδρύονται ἐκεῖ πᾶσαι· καὶ ἐκεῖθεν δυναμούμενοι οὕτως ἡγοῦνται καὶ προνοοῦσι τῶν μεθ' ἑαυτούς.. Ἡ δὲ εἰς τρία διαίρεσις εἴς τε μονάδα καὶ δεκάδα καὶ μονάδα σημαίνει ὅτι πάντα τὰ ὄντα καὶ μένει ἐν τοῖς ἑαυτῶν αἰτίοις, καὶ πρόεισιν ἀπ' αὐτῶν, καὶ ὑποστρέφει πάλιν εἰς τὰ αἴτια, καὶ εἰς τὰς οἰκείας ἀρχὰς ἀνατείνεται. Καὶ διὰ μὲν τῆς Ἑστίας τὸ μόνιμον καὶ αἴτιον τῆς ἐνιδρύσεως αὐτῶν λαμβάνει· διὰ δὲ τοῦ Διὸς τὴν αἰτίαν τῆς ὑποστροφῆς καὶ ἀνόδου, διὰ δὲ τῆς λοιπῆς δεκαδικῆς μονάδος τὴν αἰτίαν τῆς δημιουργικῆς προόδου λαμβάνουσιν. Ἡ γὰρ πρόοδος καὶ ὁ μερισμὸς τὸ πεπληθυσμένον μᾶλλον ἐνδείκνυται καὶ αὐτῶν καὶ τῶν Διῶν· ἄλλο γὰρ ἄλλως ὑπ' ἄλλου εἰς τὸ εἶναι πάρεισι· πάντες μὲν γὰρ πάντα ποιοῦσιν, ἀλλ' οἰκείως ἕκαστος κατὰ τὴν ἑαυτοῦ ἰδιότητα. Ἐὰν δὲ λέγωσί τινες Ἑστίαν εἶναι τὴν γῆν, ἰστέον ὅτι ὡς κατὰ μέθεξιν λέγεται καὶ ἄγαλμα τελευταῖον αὐτῆς, ἐπεὶ καὶ κινεῖται ἡ γῆ· ἀλλὰ κατὰ τὸ ἐπικρατοῦν ἕκαστον λέγεται· ἐπεὶ κἂν τὸ κέντρον αὐτὸ τῆς γῆς λέγωμεν Ἑστίαν, κἂν τοὺς πόλους, κἂν τὴν οὐσίαν

TIT 32 πῶς Ἑστία ἡ γῆ C   34 ζωτικῶς κινεῖται C

NC 2 σημαίνων] σημαίνει M   ἐκάλεσεν ex ἐκάλεσαν A   11 τελέαν M   12 οὖν om. M   15 ἡ] ἢ M (jam correxerat Ast)   22 δυναμούμενοι scripsi : δυναμούμεναι libri   22-23 μεθ' ἑαυτοὺς] μετ' αὐτοὺς M   24 τὰ ὄντα om. M   26 μὲν om. M   μόνιμον] γόνιμον M   30 δίων A cf. 138, 4   34 λέγεται ἕκαστον M   35 et 142, 3 λέγομεν EM

[137] τὴν ἐν τοῖς μέσοις γένεσιν, ἢ τὸ ὂν καὶ τὴν οὐσίαν τὴν ἐν τοῖς πρώτοις γένεσιν, ἰστέον ὡς πάντα ταῦτα κατὰ μετοχὴν λέγεται Ἑστία· ἐπεὶ κἂν τὸ f° 56 r° κέντρον τῆς γῆς | ἢ τοὺς πόλους λέγωμεν μένειν, εἰ καὶ κατὰ τόπον εἰσὶν ἀκίνητα, ἀλλ' οὖν ζωτικῶς κινοῦνται· καὶ πάλιν αὖ εἰ καὶ τὸ ἄλλο σῶμα τοῦ οὐρανοῦ ἀεὶ κινεῖται, ἀλλ' οὖν τὸ ἀίδιον εἶναι καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν ἀπὸ τῆς Ἑστίας ἔχει. Μετέχει οὖν πάντα καὶ στάσεως· ἀλλ' οὖν κατὰ τὸ ἐπικρατοῦν ἐν ἑκάστῳ λέγεται καὶ οἰκειότερον· διὸ τὸν Ἑστίᾳ εὐχόμενον πρὸς τοὺς πόλους ἀποβλεπτέον ὡς εἰς οἰκειότερον τόπον καὶ ἀίδιον ἄγαλμα αὐτῆς, καὶ ἄλλοις ἀλλαχοῦ κατ' οἰκειότητα ἑκάστου. Ἰστέον δὲ ὅτι ἡ θεολογία οὐ μόνῳ τῷ Διὶ τῷ τῶν ἕνδεκα ἡγουμένῳ ἵππους παρέχει, ἀλλὰ καὶ τῷ τριττῷ Διί, Διί, Ποσειδῶνι, Πλούτωνι, καὶ ἔτι αὐτῷ τῷ ἐξῃρημένῳ ἑνὶ Διί. Καὶ τί θαυμαστὸν ὅπου γε τῷ τούτου πατρὶ τῷ Κρόνῳ καὶ τῷ προπάτορι Οὐρανῷ καὶ ἔτι ἀνώτερω αὐτῷ τῷ Φάνητι; πρώτῳ γὰρ τούτῳ ἡ θεολογία παρέχει τοὺς ἵππους, ἅτε πρώτῳ ἐκφοιτήσαντι τῶν οἰκείων ἀρχῶν, ἐπεὶ καὶ πρώτως ἐν τούτῳ γίνεται γάμος· καὶ ἁπλῶς ᾧ ἐνέργειαν δίδωσι, τούτῳ καὶ ἵππους παρέχει. Αὐτῷ δὲ τούτῳ πρώτῳ τῷ δεσπότῃ Φάνητι καὶ πτέρυγας δίδωσι·

χρυσείαις πτερύγεσσι φορεύμενος ἔνθα καὶ ἔνθα. —

Τὸ δὲ ἐν θεῶν οἴκῳ ἀντὶ τοῦ ἐν αὐτῇ· ἡ γὰρ ἰδιότης ἑκάστου θεοῦ οἶκος αὐτοῦ λέγεται· οὐ γὰρ ὡς ἄλλος ἐν ἄλλῳ ἐστίν, ὡς ἡμεῖς λεγόμεθα ἔν τῳ οἴκῳ εἶναι, ἀλλ' ἡ οἰκειότης καὶ ἰδιότης ἑκάστου θεοῦ καθ' ἣν ἵσταται καὶ χαρακτηρίζεται, καθ' ἣν καὶ προνοεῖ τοῦ κόσμου, οἶκος αὐτοῦ λέγεται.

κε'. Πολλαὶ μὲν οὖν καὶ μακάριαι] **247 A.**

Εἰπὼν περὶ τοῦ Διὸς τοῦ ἡγουμένου πᾶσι καὶ τῶν ἄλλων ἡγεμόνων, ὅτι αὐτοῦ ἐφιέμενοι ἐπὶ τὸ νοητὸν συνάγουσιν ἑαυτοῖς καὶ θεοὺς καὶ δαίμονας καὶ πάντα τὰ δυνάμενα αὐτοῖς ἕπεσθαι, βούλεται λοιπὸν εἰπεῖν τὰς θέας ἃς θεῶνται οἱ ἀναγόμενοι. Διαιρεῖται δὲ αὐτὰς τριχῇ εἴς τε τὰς ἐντὸς οὐρανοῦ καὶ ὑπουρανίαν ἁψῖδα καὶ τὰς ἔξω τοῦ οὐρανοῦ. Οὐρανὸν δὲ νῦν

7 nescio unde desumptum 13 πρώτῳ — 18 ἔνθα = *fragm. orph.* 65 Abel : inde ab 16 αὐτῷ jam ediderat Gesner in Orphicis 19 cf. 133, 17

TIT 8 τὸν Ἑστίᾳ εὐχόμενον πρὸς τοὺς πόλους ἀποβλεπτέον **C**

NC 3-4 εἰσὶν ἀκίνητα] εἰσὶν κινητά **Ast 4** οὖν] οὐ **M** (ἄλλο οὖν **E**) κινοῦται **M 5** κινεῖται ἀεὶ **M 6** ἀπὸ **A** ἐκ **a 8** εἰς **om. M 9** ἄλλοις **non intellego :** ἄλλα A^a **10** μόνῳ **ex emend. A :** μόνον **M 11** τριττῷ] τρίτῳ **M 12** γε] καὶ **a :** γε καὶ **E 15** πρώτως] πρῶτος **M 18** χρυσείαις **Lobeck :** χρυσέαις **libri 19** αὐτῇ **A** θεοῦ **evanid. in A 20** τῳ **scripsi :** τῷ **libri : cf. 133, 17 21** ἡ **om. M 23** πολλαί, π **rubr. A** (πολλὰ **a**) **27** τριχῇ] τριχῶς **M 28** ὑπουρανίαν ἁψῖδα] A^a **(litt.** ὑπουρα **A, ceteræ a) :** ὑπερουράνιον ἁψῖδα **M :** ὑπουράνιον ἁψῖδα **Ast : fort.** <τὴν> ὑπουρανίαν ἁψῖδα

[137] ἀκουστέον οὐ τοῦτον τὸν αἰσθητόν· πῶς γὰρ ἂν καὶ θεοὶ εὐδαίμονες λέγοιντο καὶ τὸ μακάριον ἔχειν τῆς θέας διὰ τὰς θέας τὰς ἐντὸς τούτου τοῦ οὐρανοῦ ὅπου γε οὐδὲ τῷ σπουδαίῳ; Ἡμῖν μὲν γὰρ κατ' αἴσθησιν ζῶσιν ἀποβλέπειν εἰς αὐτὸν ἄμεινον ἤπερ εἰς ἄλλο τι· οὐ μὴν τοῦτο τὸ εὐδαῖμον τῶν ἡγου-
p. 138 μένων καὶ ἑπομένων θεῶν. | Τινὲς μὲν οὖν καταγελάστως εἶπον ὅτι « καὶ γὰρ εὐφραίνονται ἀποβλέποντες εἰς τὰς ἀνθρώπων πολιτείας· ὡς καὶ παρ' Ὁμήρῳ ὁ Ζεὺς ἐτέρπετο

καθορόων Τρώων τε πόλιν καὶ λαὸν Ἀχαιῶν

καὶ

νόσφιν ἐφ' ἱπποπόλων Θρηκῶν καθορώμενος αἶαν.

Δῆλον δὲ ὅτι οὐχ ἐπιστρέφοντες εἰς ἡμᾶς οὕτως ἡμῶν προνοοῦσιν, ἀλλὰ πρὸς τῷ ἑαυτῶν μακαρίῳ ὄντες αὐτῷ τῷ εἶναι τὰ ἡμῶν εὖ διατιθέασι. Τούτων μὲν οὖν ἀποστατέον τῶν δοξῶν καὶ τούτου τοῦ αἰσθητοῦ Οὐρανοῦ, Οὐρανὸν δὲ ἀκουστέον λέγεσθαι τὸν ἄκρον τῶν νοερῶν θεῶν, ὃν οἱ θεολόγοι πατέρα μὲν Κρόνου, προπάτορα δὲ Διός φασι. Πολλαὶ τοίνυν τάξεις εἰσὶ τῶν νοερῶν θεῶν ἀπὸ τοῦ Οὐρανοῦ μέχρι Διὸς καὶ εἴδη πολλὰ πρῶτα καὶ μέσα καὶ τελευταῖα καὶ ὁλικώτερα καὶ μερικώτερα καὶ ἀθρούστερα καὶ περιληπτικὰ καὶ κοιλότερα, πηγαί τε καὶ ἀρχαί, εἰς ἅπερ ὁ Ζεὺς πάντα ἀνατείνει τὰ μεθ' ἑαυτόν. Θέαι μὲν οὖν οἰκειότερον ἐπὶ νοῦ, διέξοδοι δὲ ἐπὶ ψυχῆς, καὶ ἀμφότερα δὲ ἐπὶ ἀμφοτέρων ἁρμόζει, ἀλλ' οἰκείως ἑκάστῳ· ἐπὶ μὲν γὰρ ψυχῆς καὶ ἡ θέα διεξοδική, ἐπὶ δὲ νοῦ καὶ ἡ διέξοδος... κατὰ τὸ διεξωδευκέναι. Θεῶν δὲ εὐδαιμόνων γένος λέγει τὰς δυνάμεις τῶν πρώτων καὶ ἐγκοσμίων θεῶν. Τὸ δὲ εὐδαιμόνων καὶ ὡς ὁ θεῖος μὲν Ἰάμβλιχός φησι « τῶν γὰρ τὴν εὐδαιμονίαν παρεχόντων· » καὶ ἐπ' αὐτῶν δὲ τῶν θεῶν δυνατὸν τὸ τῆς εὐδαιμονίας ἀκούειν κατὰ τὸ ἕπεσθαι τοῖς ἑαυτῶν ἡγεμόσι καὶ ἀεὶ αὐτῶν ἔχεσθαι. — Τὸ δὲ πράττων ἕκαστος τὸ αὑτοῦ, τουτέστιν ὁ μὲν ἡλιακῶς, ὁ δὲ σεληνιακῶς, ὁ δὲ ἀρεϊκῶς, καὶ ἄλλως κατὰ τὴν ἑκάστου ἰδιότητα, ὅπερ καὶ ἀνωτέρω εἶπε « κατὰ τὴν τάξιν ἣν ἕκαστος ἐτάχθη. » Τὴν δὲ εὐδαιμονίαν ὁ Πλάτων καὶ μέχρι

5 τινὲς interpretes ante Hermiam   8 Θ 52   10 Ν 4   24 cf. 9, 10

TIT 11 πῶς προνοοῦσιν ἡμῶν οἱ θεοί C   14 τί οὐρανός C   16 ἀπὸ τοῦ οὐρανοῦ μέχρι Διὸς πολλὰ εἴδη (cod. ἤδη) C

NC 5 οὖν addidit A¹ supra versum   6 τὰς τῶν ἀνθρώπων M   8 καθορόων metro claudicante] εἰσορόων Hom.   λαὸν metro claudicante] νῆας Hom.   10 Θρηίκων A   11 ἡμῶν] ἡμᾶς M   12 ἑαυτῶν] αὐτῷ M   14 τὸν scripsi : τὸ libri   15 προπάτορα] $\overline{\pi\rho\alpha}$ (= πατέρα) A¹ qui adjecit supra versum προ   φασὶ et 24 φησὶ A   εἰσὶ] ἀπὸ M   20 δὲ om. M   21 aut plura desunt aut sane adjectivum quale est θεατική   22 διεξωδρυκέναι M (jam correxerat Ast)   θεῶν γένος εὐδαιμόνων (εὐδαιμόνως Schanz) Plat.   26 ἕκαστος αὑτῶν Plat.   28 ἄλλως scripsi : ἁπλῶς libri   τὴν om. Plat.

[138] θεῶν ἐκτείνει καὶ μέχρι τῶν ἀλόγων, ὡς ἐν Νόμοις εἶπε. — Τὸ δὲ ἕπεται δὲ ὁ αἰεὶ θέλων τε καὶ δυνάμενος περὶ τῶν ἡμετέρων λέγεται ψυχῶν· τὰ γὰρ ἀνωτέρω περὶ τῶν κρειττόνων ἡμῶν ἐλέγετο γενῶν. — Τὸ δὲ φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται οὐχ ὅτι οὐ βασκαίνουσιν ἡμῖν οἱ θεοὶ (τοῦτο γάρ οὐδὲ περὶ τοῦ ἐνταῦθα σπουδαίου λεγόμενον μέγα τί ἐστιν), ἀλλὰ τὸ ὑπερπλῆρες αὐτῶν τῆς ἀγαθότητος καὶ προνοίας καὶ τῆς ἀνεκλείπτου δόσεως τῶν ἀγαθῶν καὶ χορηγίας τῶν καλῶν σημαίνει τὸ ἄφθονον. Καλῶς δὲ καὶ τὸ ἵσταται· οὐ γὰρ ποτὲ μὲν ἐγγυ- f° 56 v° τέρω | ποτὲ δὲ ἀπωτέρω αὐτῶν ἐστιν, ἀλλ' ἀεὶ ὁμοίως αὐτοῖς ὑπεξίσταται καὶ ὑποφεύγει.

κς'. Ὅταν δὲ δὴ πρὸς δαῖτα καὶ θοίνην] 247 A.

Δαὶς μέν ἐστιν ἡ ἄνωθεν ἐφήκουσα αὐτοῖς τελειότης καὶ ἡ ἐπιβάλλουσα ἑκάστῳ ἀποπλήρωσις κατὰ τὰ οἰκεῖα μέτρα· διὸ καὶ δαὶς ἡ μερὶς καὶ δάσασθαι τὸ μερίσαι. Θοίνη δὲ ἡ κοινὴ καὶ ἀθρόα αὐτῶν ἀπόλαυσις καὶ πλήρωσις τῶν ἀγαθῶν· ἔρχεται γὰρ αὐτοῖς ἀπὸ τῶν ὑπερτέρων καὶ κοινὸν καὶ ἴδιον ἀγαθόν· ἡ ἐμφόρησις οὖν καὶ ἡ ὑπερβλύζουσα τελειότης αὐτοῖς τῶν ἀγαθῶν θοίνη εἴρηται. — Τὸ δὲ ἄκραν ὑπὸ τὴν ὑπουρανίαν ἀψῖδα λέγει τὰς προσεχῶς ἐξημμένας Οὐρανοῦ τάξεις τῶν θεῶν, ἤ τινας ἄλλας μεταξὺ Οὐρανοῦ καὶ Κρόνου. — Τὰ μὲν οὖν τῶν θεῶν ὀχήματα λέγει ἀεὶ ἐπιτήδεια εἶναι πρὸς τὸ ἄναντες χωρεῖν. Ὀχήματα δὲ λέγει τὰς δευτέρας αὐτῶν δυνάμεις, ἢ καὶ αὐτὰ τὰ ἐξημμένα αὐτῶν σώματα. — Τὸ δὲ ἰσορρόπως ὅτι καὶ προνοεῖ καὶ ἀνάγεται εἰς τὰς οἰκείας ἀρχάς· καὶ τοῦτο ὁμοίως καὶ ὡσαύτως ποιεῖ ἅμα ἑκάτερον. Ἢ τὸ ἰσορρόπως ἀντὶ τοῦ δικαίως. — Τὰ δὲ τῶν ἄλλων, φησὶ, μόγις, τὰ ἡμέτερα λέγων τῶν πεφυκότων κακύνεσθαι καὶ ῥεπόντων ἐπὶ τὴν γένεσιν. Βρίθει γὰρ, φησὶν, ὁ τῆς κάκης ἵππος, τουτέστιν ἡ γενεσιουργὸς ἐν p. 139 ἡμῖν δύναμις· τοῦτο δὲ οὐκ ἐᾷ ἐπὶ | τοῦ αὐγοειδοῦς σώματος ἐκλαμβάνειν τὸ ὄχημα καὶ τοὺς ἵππους. Ῥέπων τε, φησὶ, καὶ βαρύνων· ῥέπων μὲν αὐτὸς ἅτε βρίθων τῆς γενεσιουργοῦ δυνάμεως, βαρύνων δὲ, τουτέστι καθέλκων καὶ τὴν ἄλλην πᾶσαν ψυχήν.

TIT 19 τίνα τὰ ὀχήματα C 27 αὐγοειδὲς σῶμα BC

NC 2 αἰεὶ etiam Plat. codd. θέλων] ἐθέλων Plat. 5 οὐδὲ] οὐ M 11 ὅταν, ὅ rubr. A καὶ ἐπὶ θοίνην Plat. 14 μερίσαι] μερίζεσθαι M 15 γὰρ] δὲ A^a 16 αὐτοῖς] ἁπάντων A^a 17 ὑπὸ τὴν ὑπουρανίαν] ὑπὸ τὴν οὐράνιον M : ὑπὸ τὴν ὑπουράνιον Plat. cod. B : ἐπὶ τὴν ὑπουράνιον Plat. cod. T 18 et 19 τοῦ οὐρανοῦ M 19 οὖν τῶν om. Plat. 20 τήδεια εἶναι non jam leguntur in A, spatio vacuo ab a relicto 22 καὶ post ὅτι om. M 24 τῶν ἄλλων] ἄλλα Plat. 25 ῥεπόντων] πεσόντων A sed πεσ A^a 27 ἐᾷ] ἔστιν A^a ἀγοειδοῦς A^1 28 τὸ om. M φησὶ post βαρύνων M 29 ἅτε] καὶ A^a

[139] κζʹ. Ἔνθα δὴ πόνος τε καὶ ἀγὼν ἔσχατος ψυχῇ πρόκειται] 247 B.

Ψυχῇ λέγει τῇ ἡμετέρᾳ τῇ μερικῇ· ψυχὴν γὰρ εἴωθε πολλάκις τὴν μερικὴν καλεῖν· πόνον δὲ αὐτὴν πονεῖν διὰ τὴν μαρμαρυγὴν καὶ λαμπρότητα, ἕως ἂν οἰκειωθῇ τῷ ϑείῳ φωτί· ἀγῶνα δὲ συμφώνως τῷ ἀλλαχοῦ αὐτῷ εἰρημένῳ ἀκούσομεν περὶ τῶν τριῶν παλαισμάτων· ἔσχατος δὲ ὡς τελευταῖος ἀνιόντων καὶ μὴ ἔχων ὑπὲρ αὐτὸν ἢ κατιόντων πρῶτος· πρόκειται γὰρ ἄθλον ἢ τῶν ϑεῶν γενέσθαι ἢ πεσεῖν εἰς γῆν· διὸ ἔσχατος.

κηʹ. Αἱ μὲν γὰρ ἀθάνατοι καλούμεναι] 247 B.

Περὶ τῶν ϑείων πρῶτον λέγει ψυχῶν μέχρι τοῦ « καὶ οὗτος μὲν ϑεῶν βίος· » εἶθ' ἑξῆς περὶ τῶν ἡμετέρων. Καλούμεναι δὲ εἶπεν οὐχ ὡς ϑνητῶν οὐσῶν (πᾶσαι γὰρ καὶ αἱ ϑεῖαι καὶ αἱ ἡμέτεραι ψυχαὶ ἀθάνατοι), ὡς προλάμποντος δὲ ἐπὶ τῶν ϑείων τοῦ ἀθανάτου καὶ ἐκφανοῦς ὄντος, ὥστε καὶ τὸν τυχόντα ἐπιγνῶναι, ὅτι αἱ ϑεῖαι ψυχαὶ ἀθάνατοί εἰσιν, οὕτως εἶπε τὸ καλούμεναι. Ἡ γὰρ μερικὴ ἡμετέρα ἅτε κακυνομένη καὶ ἀμφισβήτησιν ἔσχεν εἰ ἀθάνατός ἐστιν.

κθʹ. Ἡνίκ' ἂν πρὸς ἄκρῳ] 247 B.

Δύο ὄντων ἄκρων, τοῦ μὲν πρὸς τῇ κοίλῃ περιφερείᾳ, τοῦ δὲ πρὸς τῇ κυρτῇ, ὅτε μὲν ἔλεγε τὴν ὑπουρανίαν ἀψῖδα τὴν κοίλην ἐνεδείκνυτο, τουτέστι τοὺς προσεχῶς ἐξημμένους τοῦ Οὐρανοῦ ϑεούς· νῦν δὲ τὸ ἔξω καὶ τὸ νῶτον τὴν κυρτὴν σημαίνει αὐτὴν πᾶσαν τὴν Οὐρανοῦ βασιλείαν· τοῦτο γὰρ δηλοῖ καὶ τὸ νῶτον τὸ ἑνιαῖον καὶ περιληπτικὸν τῆς βασιλείας τοῦ Οὐρανοῦ, ὥσπερ καὶ παρ' ἡμῖν τὸ νῶτον ἔξωθέν ἐστι περιέχον τὸ ἄλλο πᾶν σῶμα ὁμαλές τε καὶ λεῖον καὶ ἓν καὶ ἁπλούστερον, ἐξ ὧν πάντων τὴν μίαν περίληψιν καὶ ἑνιαίαν ϑεότητα τῆς βασιλείας τοῦ Οὐρανοῦ σημαίνει. — Τί οὖν τὸ ἡνίκα; οὐ γὰρ ποτὲ μὲν αἱ ϑεῖαι ψυχαὶ πρὸς τῷ νοητῷ γίνονται, ποτὲ δὲ οὔ· τοῦτο γὰρ τῶν ἡμετέρων ἴδιον. Ἢ οὐ τὸ κατὰ χρόνον σημαίνει τὸ ἡνίκα, ἀλλὰ τὸ ἴδιον τῆς ψυχικῆς νοήσεως τὸ ἀεὶ μεταβατικῶς καὶ διεξοδικῶς αἱρεῖν τὰ εἴδη· οἱ μὲν γὰρ νοῖ αὐτῶν ἀεὶ πρὸς αὐτοῖς εἰσι τοῖς οὖσιν, ἀθρόως πᾶν τὸ νοητὸν αἱροῦντες, αἱ δὲ ψυχαὶ μεταβατικῶς

10 247 E

TIT 18 τίς ἡ κοίλη καὶ τίς ἡ κυρτὴ τοῦ οὐρανοῦ περιφέρεια C

NC 1 ἔνθα, ἕ rubr. A ψυχὴ A ut videtur 4 αὐτὴν] λέγει καὶ A^a 4-5 λαμπρότητα] λαμπηδῶνα A^a 6 ὡς] ὧν A^a 7 μὴ] μηδὲν? αὐτὸν A^a πρῶτος M πρώτως A 9 αἱ rubr. A 10 πρῶτον] πρώτων M τοῦ] οὗ M 13 ἀθανάτου] θανάτου M (jam correxerat Ast) 17 ἡνίκ', ἡ rubr. A 19 ὑπουράνιον M Plat. 21 σημαίνει] εἶπεν M αὐτὴν] καὶ τὴν legendum, vel ἢ τὴν, vel fort. τουτέστι? 26 νοητῷ evanid. in M (ἄκρῳ supplevit Ast)

[139] καὶ ἀπὸ τοῦδε τόδε. Ἐπεὶ οὖν οἱ μὲν νοῖ ἀεὶ τὸ αὐτὸ ὁρῶσιν ἀθρόως, ἡμεῖς δέ ποτε, ἔδει εἶναι καὶ τὸ μέσον, τὰς θείας ψυχὰς, αἳ ἐκεῖ μὲν εἰσιν ἀεὶ, διεξοδικῶς δὲ καὶ μεταβατικῶς, ἀλλ' οὐκ ἀθρόως θεωροῦσι τὰ εἴδη. Ἢ καὶ οὕτως· ἐπειδὴ πολυδύναμοί εἰσι καὶ αἱ θεῖαι ψυχαὶ, τὰς μέν τινας ἔχουσι πρὸς τοῖς νοητοῖς καὶ τῷ νώτῳ τοῦ οὐρανοῦ συζυγούσας δυνάμεις, τὰς δέ τινας καὶ μέσας ἐν τῷ οὐρανῷ αὐτῷ, τὰς δὲ τελευταίας τὰς θεωμένας τὰ ἐντὸς τοῦ οὐρανοῦ. Ἐπεὶ οὖν κατὰ πάσας ἑαυτῶν τὰς δυνάμεις f° 57 r° ἐνεργοῦσιν αἱ θεῖαι ψυχαὶ, τὸ ἡνίκ' ἂν | πρὸς ἄκρῳ γένωνται ἀντὶ τοῦ ὅταν κατὰ τὰς πρώτας θεωρῶνται δυνάμεις ἐνεργοῦσαι. — Θεωροῦσι τὰ ἔξω τοῦ οὐρανοῦ· τριχῇ δὲ διεῖλε καὶ αὐτὸς τὰς ἀνόδους καὶ εὐδαίμονας καὶ μακαρίας θέας· τὰς μὲν ἐντὸς τοῦ οὐρανοῦ εἰπὼν αἵτινές εἰσιν αἱ κατὰ τὴν Κρόνου βασιλείαν καὶ τὴν μέσην τῶν νοερῶν θεῶν ἐκφάνειαν, ἃς καὶ διεξόδους ἐκάλεσεν ὡς ποικιλωτέρας τῶν πρὸ αὐτῶν· τὰς δὲ ἐν αὐτῇ τοῦ οὐρανοῦ τῇ ἁψῖδι· τὰς δὲ ἔξω ὑπὲρ τὸν οὐρανὸν θέας, ὥσπερ καὶ ἐξεστάναι λέγομεν τοὺς κατόχους τῷ θεῷ. — Τί δὲ τὸ ἔστησαν ἐπὶ τῷ τοῦ οὐρανοῦ νώτῳ; οὐ γὰρ δὴ ἀνελθοῦσαι ἐκεῖ ἀργαὶ γεγόνασιν· ὅσῳ γὰρ ἀνίασι, τοσούτῳ ῥωμαλεώτεραι καὶ δραστήριοι γίνονται. Ἢ δηλοῖ ὅτι οὐκέτι ὡς μερικαὶ οὐδὲ ὅλως κατὰ τὰς οἰκείας ἐνεργείας ἵστανται, ἀλλ' οἷον τὰς οἰκείας μύσασαι ἐνεργείας τὴν τοῦ ὅλου οὐρανοῦ ἐνεργοῦσιν, οὐρανίως ζῶσαι· ὥσπερ δὴ καὶ ὁ ἐνταῦθα κάτοχος οὐ κατὰ τὴν οἰκείαν p. 140 ἐνέργειαν ἵσταται, ἀλλὰ | κατὰ τὴν θείαν. Στάσας οὖν αὐτὰς καὶ ἠρεμούσας κατὰ τὰς οἰκείας ἐνεργείας περιάγει ὁ οὐρανὸς καὶ ἡ οὐρανία νόησις· ποιεῖ γὰρ ἐπιβάλλειν τοῖς ὑπὲρ αὐτὸν νοητοῖς καὶ κατὰ τὴν οὐρανίαν νόησιν νοεῖν. Τὰ δὲ ἔξω τοῦ οὐρανοῦ εἰσιν αἱ Νύκτες, ἃς καὶ ὑπερουράνιον τόπον καλεῖ. — Ἀλλὰ διὰ τί φησιν οὐδένα οὔτε τῶν προγεγενημένων ποιητῶν οὔτε τῶν ἐσομένων ἐπαξίως ὑμνῆσαι τὸν ὑπερουράνιον τόπον; οὐ γὰρ δὴ οὕτως ἀπαυθαδίζεται ὡς μόνος αὐτὸς ἐπαξίως ὑμνῶν· ἀλλὰ τὸ λεγόμενον τοιοῦτόν ἐστιν. Εἰ μὲν ποιητὰς ἀκούοιμεν τοὺς τρίτους ἀπὸ τῆς ἀληθείας, τουτέστι τὸ πλῆθος τῶν τῇδε ἀνθρωπικῶν ποιητῶν, ὥστε ἐξαιρεῖσθαι τοῦ λόγου Ὅμηρον καὶ Ὀρφέα (εἴρηται γὰρ αὐτοῖς περὶ τοῦδε τοῦ τόπου, καὶ Ἡσιόδῳ καὶ Μουσαίῳ), πρόδηλον τοῦ λόγου τὸ ἀληθὲς, ὅτι τῶν τοιούτων ποιητῶν τῶν πολλῶν καὶ τεχνικῶν

29 τὸ πλῆθος — 31 Μουσαίῳ = *fr. orph.* 116 Abel

TIT 10 τριχῇ ἡ ἄνοδος διαιρεῖται C 25 ἀπορία A

NC 1 καὶ om. M εἰς τόδε A^2 2 δὲ ποτέ A 8 ἡνίκ' ἂν scripsi cum Plat. : ἡνίκα A ἡνίκα σημαίνει ἀντὶ τοῦ EM 9 θεωροῦσι] θεωροῦσαι Plat. codd. (præter *Par.* 1814) 10 ἔξω] ἑξῆς A^2, sed vocis ἔξω spiritus et accentus etiamnunc perspicui 11 τὰς] τὴν M 13 ὡς evanid. in A 15 ἐξεστάναι] ἐξιστάναι M 16 ἀργαὶ] ἄνω A^2 : ἀρχαὶ M 21 στάσας] πάσας M 23 γὰρ scripsi : γ' libri 24 ἃς] ὃν EM 25 ὑπερουράνιον] ἄλλως οὐράνιον A^2 οὔτε om. M 26 οὔτε] ἢ M 27 μόνως M 30 ἐξαίρεσθαι Abel 32 ὅτι ex emend. A τεχνίτων M

[140] οὐδεὶς ἐφικνεῖται ἐκείνων ἀξίως, ἀλλὰ τῶν ἐνθέων ποιητῶν οἷος Ὅμηρος καὶ Ὀρφεύς. Εἰ δὲ πάντας ἁπλῶς ἀκούοιμεν τοὺς ποιητὰς ὥστε καὶ Ὅμηρον καὶ Ὀρφέα περιλαμβάνεσθαι, δῆλον ὅτι καὶ ἑαυτὸν συμπεριλαμβάνει, ὡς οὐδὲ αὐτὸς ἀξίως εἰπεῖν δυνησόμενος· ὡς ἂν οὖν εἰ ἔλεγε « τὸν δὲ ὑπερουράνιον τόπον οὐδεὶς μὲν τῶν ἀνθρώπων τῶν ἐν τῇ ποιήσει ἀξίως ὑμνήσει, μόνος δὲ ὁ Ἀπόλλων καὶ ὁ τῶν Μουσῶν χορός. »

λʹ. Τολμητέον γὰρ οὖν τό γε ἀληθὲς εἰπεῖν ἄλλως τε καὶ περὶ ἀληθείας λέγοντα] 247 C.

Πῶς εἰπὼν ὅτι οὐδεὶς ἀξίως τὸν ὑπερουράνιον τόπον ὑμνήσει νῦν φησι· « τολμητέον γὰρ οὖν τό γε ἀληθὲς εἰπεῖν; » Ἢ τὸ ἀληθὲς τὸ ὡς ἐν ἀνθρωπίναις ἐννοίαις εἴρηται· δυνατὸν δὲ καὶ τὰ ἀληθῆ λέγειν, μὴ μέντοι κατ' ἀξίαν, ὥσπερ ὁ τὸν Σωκράτην λέγων μὴ εἶναι κακὸν μηδὲ ἀνόσιον ἀληθῆ μὲν λέγει οὐ μὴν ἐπάξια αὐτοῦ, ὥσπερ ὁ λέγων αὐτὸν ἀγαθὸν καὶ ἐπιστήμονα καὶ θεῖα φρονοῦντα καὶ θεοφιλῆ· ὁ γὰρ ταῦτα λέγων ἀξίως αὐτὸν ἐπαινεῖ. Τὸ τοιοῦτον οὖν φησιν καὶ ἐπὶ τοῦ ὑπερουρανίου τόπου. — Τὸ δὲ ἄλλως τε καὶ περὶ ἀληθείας λέγοντα πάνυ ἀπορρήτως καὶ θεολογικῶς εἴρηται· τὴν γὰρ ἀλήθειαν τὴν τῶν Νυκτῶν πᾶσαν τάξιν φασὶ, καὶ τὸ πεδίον ἀληθείας ἑξῆς ἐὰν λέγῃ, ταύτας αἰνίττεται· καὶ ἰδίως δὲ ἀλήθειαν οἱ θεολόγοι ἐκεῖ ἱδρύουσιν. Ὁ γάρ τοι Ὀρφεὺς περὶ τῆς Νυκτὸς λέγων « θεῶν γὰρ ἔχει, φησὶ... » καὶ

μαντοσύνην [δὲ] οἱ δῶκεν ἔχειν ἀψευδέα πάντῃ.

Καὶ αὕτη λέγεται μαντεύειν τοῖς θεοῖς. Ἐνεδείξατο δὲ περὶ αὐτῆς καὶ Ὅμηρος· μοναχοῦ γὰρ ἐμνήσθη τοῦ τῆς Νυκτὸς ὀνόματος· περὶ γὰρ τοῦ Διὸς λέγων φησίν·

εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν,
τὴν ἱκόμην φεύγων· ὃ δ' ἐπαύσατο χωόμενός περ·
ἅζετο γὰρ μὴ Νυκτὶ θοῇ ἀποθύμια ῥέζοι. —

Τολμηρῶς δὲ περὶ αὐτῆς φησιν ἐρεῖν ἐπειδήπερ ἀποφατικῶς μέλλει περὶ

18 248 B 20 ὁ γάρ τοι — 21 πάντῃ jam ediderat Gesner in *Orphicis* (fr. 88 Abel usque ad θεοῖς) : cf. 150, 13 et 151, 8 25 Ξ 259-261

TIT 16 τί τὰ ἔξω τοῦ οὐρανοῦ· αἱ νύκτες C 22 Ὅμηρος νυκτὸς μνημονεύει C

NC 1 ἀφικνεῖται M 2 ἀκούομεν A[a] cf. 146, 28 7 τολμητέον, τ rubr. A 11 τὰ om. M 13 μὴ δὲ A 18 φασὶ] φησὶ Ast quod fort. recipiendum καὶ τὸ Ast : κατὰ libri 20 φησὶ <βασιληίδα τιμήν> Abel 21 δὲ delevit Abel 21-22 καὶ ὁ Ὅμηρος M 23 ἐμνήσθη] ἔμνησε M 26 ὃ δ'] ὁ δὲ A 27 ῥέζοι] ἔρδοι Hom. 28 φησὶν A ἀποφαντικῶς ante emendationem A

[140] αὐτῆς διαλέγεσθαι· δέος δὲ μὴ εἰς τὸ ἀνείδεόν τε καὶ ἀόριστον ὑπενεγχθῶμεν κατὰ τὸ χεῖρον τοῦ εἴδους ἐν ταῖς τοιαύταις διδασκαλίαις. Συμφώνως δὲ τοῖς ἐν Παρμενίδῃ περὶ τῆς πρώτης ἀρχῆς καὶ περὶ ταύτης διαλέγεται· καὶ γὰρ ἐκείνην διὰ τῶν ἀποφατικῶν ἐνεδείξατο· πλὴν ἐπὶ μὲν τῆς πρώτης ἀρχῆς πάντα ἁπλῶς ἀπέφασκεν, ἐπὶ δὲ τοῦ ὑπερουρανίου τόπου τὰ μὲν ἀποφάσκει τὰ δὲ καταφάσκει· ἐπειδὴ τινῶν μέν ἐστι τάξεων ὑπερτέρα †ἠδέος, τινῶν δὲ κοιλοτέρα, καὶ ὥσπερ τὸ πρῶτον ὑπερούσιον, οὕτω τοῦτο ὑπερουράνιον. Ἐζήτησα διὰ τί αἱ ψυχαὶ οὐ λέγονται ὁρᾶν οὐρανὸν ἀλλὰ γίνεσθαι ἐν αὐτῷ καὶ συνάπτεσθαι αὐτῷ, τοῖς δὲ ὑπὲρ τὸν p. 141 οὐρανὸν οὐκέτι συνάπτεσθαι ἀλλὰ ὁρᾶν μόνον. | Πρὸς δὴ τοῦτο εἴρηται ὅτι δεῖ ἄχρι τινὸς εἶναι τὴν συναφήν. Διὰ τί δὲ ἄχρι τούτου; ὅτι δὴ οὐδὲ οἱ ὑπὸ τὸν Δία θεοὶ λέγονται ἑνοῦσθαι τῷ Φάνητι, ἀλλὰ μόνος ὁ Ζεύς, καὶ αὐτὸς διὰ μέσης τῆς Νυκτός.

λα΄. Ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος] 247 C.

Ἀχρώματος πῶς λέγει; Ἆρα ὡς λέγομεν καὶ τὴν φύσιν ἀχρώματον καὶ τὴν ψυχήν; Καὶ τί θαυμαστόν ἐστι τοῦτο; Καίτοι καὶ ἐξαίρετον ἐπὶ τοῦ f° 57 v° ὑπερουρανίου τόπου, ὅπου γε καὶ ἡ φύσις καὶ ἡ ψυχὴ ἔχει αὐτό. | Ἦ σφόδρα παρηκολουθηκὼς ὁ Πλάτων τοῖς ὑπὸ τῶν θεολόγων εἰρημένοις, κατ' ἐκείνους καὶ αὐτὸς διατίθησι τὸν λόγον. Μετὰ γὰρ τὴν τῶν Νυκτῶν τάξιν τρεῖς εἰσι τάξεις θεῶν, Οὐρανοῦ, Κυκλώπων, Ἑκατογχείρων, ὧν αὐτὸς ἀποφάσκει τὰ οἰκεῖα τούτων ὀνόματα. Ἐπειδὴ γὰρ τῶν ἔνδον ἐν αὐτῷ μεινάντων τῷ Φάνητι πρῶτος φανερῶς ὁ Οὐρανὸς ἐξ αὐτοῦ γέγονεν (ἔξω γὰρ προῆλθον πρῶτοι ἀπ' αὐτοῦ Οὐρανὸς καὶ Γῆ,

δεῖξέν τ' ἐξ ἀφανῶν φανεροὺς οἵ τ' εἰσὶ γενέθλην),

καὶ πρῶτος καταλάμπεται ὁ Οὐρανὸς ὑπὸ τοῦ θείου φωτὸς τοῦ Φάνητος· (τὴν γὰρ Νύκτα ἡνῶσθαι αὐτῷ φησι·

3 *Parm.* pass. 11 οὐδὲ — 13 νυκτός = *fragm. orph.* 120 Abel 17-18 ἦ σφόδρα — 25 Φάνητος = *fragm. orph.* 89 Abel (inde ab ἔξω jam ediderat GESNER in *Orphicis*) 25 καὶ — 149, 4 Φάνητος = *fr. orph.* 59 Abel : cf. BENTLEY *Epist. ad J. Mill* (*Opuscul.* p. 455-56)

TIT 8 ἀπορία· <λύσις C> AC 20 Οὐρανός, Κύκλωπες, Ἑκατόγχειρες C

NC 1 ἀνείδεον] ἀνίδιον M τε scripsi : τι libri ἀόριστον] φαῦλον M 4 ἀποφαντικῶν ante emend. A 7 ἠδέος] « *num* ἢ θεός? » AST : libentius ἦδε scripserim 8 fort. ἐζήτηται 14 ἡ rubr. A 19 τὸν λόγον] τοὺς λόγους A[a] sed vocis λόγον littera ν etiamnunc perspicua 20 τῶν θεῶν M ABEL 21 αὐτὸς AST : αὐτῆς libri 22 αὐτῷ] ταυτῷ M ABEL πρῶτος] πρώτως M ABEL fort. etiam φανερός αὐτοῦ] Φάνητος GESNER 24 δεῖξεν LOBECK : δεῖξαι libri : cf. 154, 27

[141] πρωτόγονόν γε μὲν οὔτις ἐσέδρακεν ὀφθαλμοῖσιν,
εἰ μὴ Νὺξ ἱερὴ μούνη· τοὶ δ' ἄλλοι ἅπαντες
θαύμαζον καθορῶντες ἐν αἰθέρι φέγγος ἄελπτον·
τοῖον ἀπέστραπτε χροὸς ἀθανάτοιο Φάνητος),

τὸ δὲ φανερὸν καὶ τὸ πεφωτισμένον κέχρωσται, ἐπεὶ καὶ τὰ χρώματα φῶτά τινά εἰσιν, εἰκότως ὑπὲρ τὸν πρώτως φανερὸν τὸν Οὐρανὸν οὖσα ἡ Νὺξ καὶ πᾶς ὁ ὑπερουράνιος τόπος ἀχρώματος εἴρηται. Εἰ δὲ ὅτι καὶ ἡ νὺξ τῇ ἡμέρᾳ κατὰ τὸ πεφωτίσθαι καὶ κεχρῶσθαι ἀντίκειται, διὰ τοῦτο ἀχρώματος εἴρηται, καὶ οὕτως ἂν ἔχοι λόγον. Διὰ μὲν τοῦ ἀχρώματος ἐδήλωσεν ὅτι ὑπὲρ τὴν Οὐρανοῦ βασιλείαν ἐστὶν ὁ τῶν Νυκτῶν τόπος· διὰ δὲ τοῦ ἀσχηματιστος ὅτι καὶ ὑπὲρ τὴν τῶν Κυκλώπων τάξιν· ἐν γὰρ πρώτοις τούτοις τὸ σχῆμα ἐκφαίνεσθαι ἡ θεολογία φησὶ καὶ πρώτας ἀρχὰς καὶ αἰτίας τῶν πανταχοῦ σχημάτων τούτους εἶναι τοὺς θεοὺς [Κύκλωπας]· διὸ καὶ τεκτονόχειρας αὐτοὺς ἡ θεολογία καλεῖ· αὕτη γὰρ τριάς ἐστι τελεσιουργικὴ τῶν σχημάτων·

κυκλοτερὴς ὀφθαλμὸς ἕεις ἐνέκειτο μετώπῳ·

καὶ ἐν Παρμενίδῃ δὲ ἐὰν λέγῃ ὁ Πλάτων εὐθὺ καὶ περιφερές, ταύτην τὴν τάξιν αἰνίττεται. Οὗτοι δὲ καὶ [τὴν] Ἀθηνᾶν καὶ Ἥφαιστον διδάσκουσι τὰ ποικίλα τῶν σχημάτων εἴδη, ὡς πρῶτοι αἴτιοι τῶν σχημάτων·

πρῶτοι τεκτονόχειρες οἳ Ἥφαιστον καὶ Ἀθήνην
πάντ' ἐδίδαξαν.

Ἐὰν οὖν ἀκούωμεν καὶ τὸν Ἥφαιστον καὶ τὴν Ἀθηνᾶν αἰτίους τῶν σχημάτων, οὐ θαυμασόμεθα. Ὁ μὲν γὰρ Ἥφαιστος τοῦ ἐν τοῖς σώμασι καὶ τοῦ ἐγκοσμίου παντὸς σχήματος αἴτιος· ἡ δὲ Ἀθηνᾶ τοῦ ψυχικοῦ τε καὶ

3-4 laudavit PROCLUS *in Tim.* 132 C 4 laudavit DAMASCIUS περὶ ἀρχῶν t. II p. 12, 13 Ruelle 11 ἐν γὰρ — 21 ἐδίδαξαν = *fr. orph.* 92 Abel (om. διὸ — αἰνίττεται) 14 καλεῖ cf. l. 20 16 HESIOD. *Theog.* 145 17 *Parm.* 137 E 20-21 laudavit PROCLUS *in Tim.* 100 A : vid. etiam DAMASC. II 125, 6

TIT 8-9 τί τὸ ἀχρώματον C 11 τί τὸ ἀσχημάτιστον C 12 ἐν πρώτοις Κύκλωψι τὸ σχῆμα C 13 Κύκ]λωπες A

NC 1 οὔτις] ὅστις GESNER : εἴ τις SCHNEIDER ad Proclum 2 τοὶ δ'] οἱ δ' M GESNER (jam correxerat KÖCHLY) ἅπαντες om. GESNER (unde οἱ δέ τοι ἄλλοι SCHNEIDER) 3 ἐθαύμαζον GESNER (jam correxerat SCHNEIDER) ἄελπτον] ἄληπτον GESNER : ἄληκτον SCHNEIDER (jam correxerat BENTLEY) 4 ἀπέστραπτε] ἀπέστραπται GESNER : ἀπαστράπτει SCHNEIDER : ἀπέστιλβε Damasc. Procl. ABEL χροὸς] χρόνος Damasc. 6 πρώτως (ex πρῶτος A) α' οὐρανόν M 7 εἰ δὲ] ἠδὲ M 9 μὲν <οὖν> ἀχρωμάτου libri 11 ἀσχηματίστου libri 13 κύκλωπας seclusi 14 καλεῖ] φησὶν M ABEL 16 εἱς A 18 τὴν delevit ABEL 21 δαίδαλα πάντ' ἐδίδαξαν Procl.

[141] νοεροῦ· οἱ δὲ Κύκλωπες τοῦ θείου καὶ τοῦ πανταχοῦ δηλονότι· καὶ ὑπὲρ τὴν τῶν Κυκλώπων τάξιν ἐστὶν ὁ ὑπερουράνιος τόπος. — Διὰ δὲ τοῦ ἀναφῆς ὅτι καὶ ὑπὲρ τοὺς Ἑκατόγχειράς ἐστι δηλοῖ· οὗτοι γὰρ πρῶτοι οἷον ἐφάπτονται τῆς πάσης δημιουργίας· διὸ καὶ Ἑκατόγχειρας αὐτοὺς ἡ θεολογία προσαγορεύει· διὰ γὰρ τῶν χειρῶν πάντων ἡμεῖς ἐφαπτόμεθα καὶ ποιοῦμεν καὶ διακρίνομεν· ἔτι καὶ ἡ ἁφὴ διὰ παντὸς πέφυκε τοῦ σώματος. Συμβολικῶς οὖν Ἑκατόγχειρας ὠνόμασε τούτους ἡ θεολογία ὡς πάσης ἐφαπτομένους τῆς δημιουργίας καὶ αἰτίους αὐτῆς ὄντας. Ἔστι δὲ ἡ τριὰς τῶν Ἑκατογχείρων φρουρητική. Ὁ δὲ Πλάτων ὅπερ μὲν εὗρε κατα- p. 142 φατικῶς ὑπὸ τοῦ θεο|λόγου ῥηθέν, τοῦτο αὐτὸς ἀποφατικῶς προηνέγκατο (ὃ γὰρ ἐκεῖνος Νύκτα εἶπε, τοῦτο οὗτος ἀχρώματον), ὃ δὲ ἐκεῖνος ἀποφατικῶς [ἀψευδέα] εἰπών·

μαντοσύνην [δὲ] οἱ δῶκεν ἔχειν ἀψευδέα πάντων,

τοῦτο οὗτος καταφατικῶς εἶπε « περὶ ἣν τὸ τῆς ἀληθοῦς ἐπιστήμης γένος, οὐσία ὄντως οὖσα· » τρία <γὰρ> ἀποφατικὰ προενεγκάμενος, τρία καταφατικὰ πάλιν ἐπάγει, ἀπὸ τοῦ ὄντος τρία προενεγκών. Ἐπειδὴ γὰρ ἓν τρία ἐστὶν ἡ τάξις αὕτη, εἰκότως τὸ τριαδικὸν καὶ ἐν τοῖς ἀποφατικοῖς καὶ ἐν τοῖς καταφατικοῖς ἐτήρησεν. Ἡ ἐπειδὴ καὶ ἕν ἐστι καὶ ὄν (ἓν ὂν γὰρ λέγεται τὸ συναμφότερον τοῦτο τὸ νοητικόν) καὶ ἔστι καθ' ἑκάτερον τριαδικὸν καὶ κατὰ τὸ ἓν καὶ κατὰ τὸ ὄν, τὰ μὲν ἀποφατικὰ κατὰ τὸ ἓν τὸ ὑπερούσιον ἐνδείκνυται, τὰ δὲ καταφατικὰ κατὰ τὸ ὄν. Ἐνταῦθα καὶ ὁ πρῶτος ἐκφαίνεται ἀριθμός.

λβ'. ψυχῆς κυβερνήτῃ] 247 C.

Ὁ θεῖος Ἰάμβλιχος κυβερνήτην τὸ ἓν τῆς ψυχῆς ἀκούει· ἡνίοχον δὲ τὸν νοῦν αὐτῆς· τὸ δὲ θεατῇ οὐχ ὅτι καθ' ἑτερότητα ἐπιβάλλει τούτῳ τῷ νοητῷ ἀλλ' ὅτι ἑνοῦται αὐτῷ καὶ οὕτως αὐτοῦ ἀπολαύει· τοῦτο γὰρ δηλοῖ τὸν κυβερνήτην τελειότερόν τι τοῦ ἡνιόχου καὶ τῶν ἵππων· τὸ γὰρ f° 58 r° ἓν τῆς ψυχῆς ἑνοῦσθαι τοῖς θεοῖς πέφυκεν. | Οὐδὲν δὲ πρὸς αὐτὸν ἡ ἔνστασις εἴ τις λέγοι τὸν Πλάτωνα παρακατιόντα λέγειν ὅτι ἅτε οὖν θεοῦ

13 cf. 147, 21 24 cf. 9, 10 et indicem 29 247 D

TIT 3 τί τὸ ἀναφές C 19 ἓν ὂν C 24 Ἰάμβλιχος C

NC 1 πανταχοῦ δηλονότι· καὶ] πανταχοῦ· δῆλον ὅτι καὶ M 3 ἀναφῆς scripsi : ἀναφοῦς libri Ἑκατόγχειρας ἐστὶ A 6 πέφυκε scripsi (cf. *add. et corrig.*, 9) : πεφοίτηκε libri 11 εἶπεν οὗτος τοῦτο M 12 ἀψευδέα seclusi 13 δὲ delevit ABEL : cf. 147, 21 15 οὐσία ὄντως οὖσα : hæc verba (addito ψυχῇ ante οὖσα in cod. B) nunc apud Platonem ante ψυχῆς (om. cod. B) κυβερνήτῃ leguntur γὰρ addidi 23 ψυχῆς, ψ rubr. A ψυχῆς om. Plat. cod. B (qui ψυχῇ ante οὖσα addidit) : delevit MADVIG 25 θεατῇ etiam Plat. codd. 29 λέγοι] λέγει M ἅτε (vel ἅτ') etiam Plat. codd.

[142] διάνοια νῷ τε καὶ ἐπιστήμῃ ἀκήρατος τρεφομένη· ῥηθήσεται γὰρ πρὸς τοῦτο ὅτι ἕκαστον οἰκείως τρέφεται, καὶ ἡ διάνοια ἐπιστημονικῶς καὶ διανοητικῶς, καὶ ὁ νοῦς νοερῶς, καὶ τὸ ἓν αὐτῆς θείως.

λγ΄. Περὶ ἣν τὸ τῆς ἀληθοῦς] 247 C.

Οὐ τὴν κατὰ συμφωνίαν ἀλήθειαν λέγει, ἀλλ' ἥτις σύνδρομον ἔχει τῷ ἀληθεῖ τὸ εἶναι αὐτῆς καὶ τὴν οὐσίαν, καὶ τοῦτό ἐστιν αὐτῆς τὸ εἶναι ἡ ἀλήθεια, ἣ ὅπερ καὶ ὁ θεολόγος εἶπε·

μαντοσύνην [δὲ] οἱ δῶκεν <ἔχειν> ἀψευδέα πάντων.

Ὁρᾷς δὲ ὅτι ἡ μαντικὴ πάντα συναιρεῖ τὸν χρόνον, καὶ τὰ μέλλοντα καὶ τὰ παρεληλυθότα ὡς παρόντα ὁρᾷ·

ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

Τὸ οὖν πᾶσαν τὴν ἀλήθειαν ἑνιαίως περιέχον ὁ μὲν θεολόγος μαντοσύνην εἶπεν, ὁ δὲ Πλάτων ἐπιστήμης γένος, ὃ πάσας ἑνιαίως τὰς ἐπιστήμας ἐν ἑαυτῷ συνείληφεν. Ὃ οὖν ἐκεῖνος ἀψευδές, τοῦτο οὗτος ἀληθὲς εἶπε. — Τὸ δὲ τοῦτον ἔχει τὸν τόπον οἰκείως ἀποδεξόμεθα· τῶν μὲν γὰρ ἐνύλων εἰδῶν τόπος ἡ ὕλη, τῶν δὲ σωμάτων τὸ διάστημα τοῦ κόσμου τὸ κενόν, τῶν δὲ φαντασμάτων ἡ φαντασία τόπος, καὶ τῶν διανοημάτων ἡ διάνοια, καὶ τῶν ὄντων εἰδῶν νοῦς τόπος καὶ τοῦ ὑπερουρανίου, ὃν τόπον οἰκείως ἀκουσόμεθα ὡς τῶν θείων εἰδῶν περιοχὴν ὑπάρχοντα. Διχῶς δὴ ὄντος περὶ ἑκάστου πράγματος εἰπεῖν, ἢ περὶ τῆς οὐσίας αὐτοῦ καὶ τοῦ οἷον ὑποκειμένου, ἢ περὶ τοῦ κριτηρίου αὐτοῦ, ἀμφοτέροις ὁ Πλάτων ἐχρήσατο. Ὥσπερ δὴ καὶ ἐν Τιμαίῳ τὸ μὲν τί τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, καὶ τί τὸ γινόμενον μέν, ὂν δὲ οὔποτε, ἀπὸ τῆς οὐσίας τῶν πραγμάτων ἡρμήνευται, τὸ δὲ τὸ μὲν τῇ νοήσει μετὰ λόγου περιληπτόν, τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστόν, ἀπὸ τῶν περὶ αὐτὰ κριτηρίων καὶ γνωστικῶν καὶ καταληπτικῶν ἕξεων· οὕτω δὴ οὖν καὶ ἐνταῦθα ποιεῖ. Τὸ μὲν γὰρ ἀχρώματος καὶ ἀσχημάτιστος

8 cf. 147, 21; 150, 13 11 Hom. A 70 22 *Tim.* 27 D-28 A

NC 1 ἀκήρατος item τρεφομένη etiam Damasc. et Plat. cod. W : στρεφομένη Plat. codd. BT 4 περί, π rubr. A 7 ἢ om. M 8 δὲ delevit Abel ἔχειν hic om. A 9 μαντικὴ] μαντοσύνη E καὶ πάντα τὰ μέλλοντα A[a] (τὰ in marg.) 13 πάσας] πάσης M (jam correxerat Ast) 15 τόπον] τρόπον Plat. cod. B ἀποδειξόμεθα M 20 καὶ τοῦ om. M 22 μὲν addidit supra versum A[1] : om. Plat. 23 γιγνόμενον Plat. μὲν ἀεὶ Plat. (sed ἀεὶ om. plurimi eorum qui hæc verba laudaverunt) οὔποτε] οὐδέποτε M Plat. 24 ἡρμήνευται] ἑρμηνεύεται M τῇ] δὴ M Plat. 25 post περιληπτὸν add. ἀεὶ κατὰ ταὐτὰ ὂν Plat. 26 αὐτὰ] αὐ^τ (sic) A αὐτὸ M γνωστικῶν] γνώσεων A[a] 27 ἀχρώματός τε Plat.

[142] καὶ ἀναφὴς οὐσία ὄντως οὖσα τοῦ ὑποκειμένου πράγματός ἐστιν ἑρμηνευτικά, τὰ μὲν τοῦ ἑνὸς τὰ δὲ τοῦ ὄντος, ὡς εἰρήκαμεν (ἓν ὂν γάρ ἐστι)· τὸ δὲ ψυχῆς κυβερνήτῃ μόνῳ θεατῇ τοῦ κριτηρίου ἐστί· τὸ δὲ τῆς ἀληθοῦς ἐπιστήμης γένος τὸ συναμφότερον περιλαμβάνει. p. 143 Καλῶς δὲ τῷ κυβερνήτῃ τὸ μόνῳ προσέθηκεν· ἐν μὲν | γὰρ Τιμαίῳ ἐπειδὴ ὁλοσχερῶς περὶ παντὸς τοῦ νοητοῦ ἐλέγετο εἶπε· νοήσει μετὰ λόγου περιληπτόν· ἐνταῦθα δὲ ἐπειδὴ περὶ τῶν κυρίως ἀκροτάτων νοητῶν ὁ λόγος ψυχῆς κυβερνήτῃ μόνῳ θεατῇ εἶπε. Τὸ γὰρ ἓν τῆς ψυχῆς τοῖς ἄκροις νοητοῖς ἑνοῦσθαι δύναται. Εἰ γὰρ καὶ ὁ ἐνεργείᾳ νοῦς ὁ ὑπεριδρυμένος αὐτῆς ἀεὶ θεᾶται τὰ ὄντα, ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν ἡμῶν ψυχήν· ἡμῶν γάρ ἐστιν ὅταν πρὸς αὐτὸν στραφῶμεν· ἡ δὲ ὕπαρξις τῆς ψυχῆς, ὅ ἐστι τὸ ἓν αὐτῆς, κυρίως τότε ἐνθουσιᾷ, ὅταν τὸ τῆς ἀληθείας ἴδῃ πεδίον. Οὐ χεῖρον δὲ ὡς ἐν πλάτει καὶ ἀριθμόν τινα τῶν ἀληθειῶν ἐκθέσθαι· τὰ γὰρ ὑπέρτερα τοῖς κοιλοτέροις ἀληθείας φῶς ἐλλάμπει. Νοήσωμεν τοίνυν τέσσαρα ταῦτα· τὸ ἓν τὴν πρώτην ἀρχήν· τὸν Φάνητα ὅπερ ἐστὶ πέρας τῶν νοητῶν θεῶν ἀρχὴ δὲ τῶν νοερῶν θεῶν ἐξῃρημένη (αἱ γὰρ Νύκτες ἀρχαὶ αἷς ὡς συντεταγμένη ἡ ἀρχή)· τὸν Δία ὃς τῶν ὑπερκοσμίων ἐστὶ βασιλεύς, πέρας δὲ τῶν ἰδίως νοερῶν θεῶν· τὸν ἥλιον ὃς βασιλεύς ἐστι τοῦ αἰσθητοῦ. Ἕκαστος δὴ τούτων τοῖς ὑπ' αὐτὸν φῶς ἐλλάμπει, τουτέστιν ἀλήθειαν ἣν ἔχει ἀπὸ τῆς ὑπερκειμένης τάξεως· οἷον ὁ ἥλιος φῶς ἐπιπέμπει τοῖς αἰσθητοῖς ὑπερκόσμιον (διὸ καὶ ἡ οὐσία αὐτοῦ λέγεται ἀπὸ τῶν ὑπερκοσμίων εἶναι)· πάλιν ὁ Ζεὺς φῶς ἐλλάμπει τοῖς ὑπερκοσμίοις νοερόν· πάλιν ὁ Φάνης φῶς ἐπιλάμπει τοῖς νοεροῖς θεοῖς νοητόν· ἡ δὲ πάντων ἀρχὴ καὶ τοὺς νοητοὺς θεοὺς καὶ πάντα τοῦ ἀπ' αὐτῆς θείου πληροῖ φωτός.

λδ'. Ἅτ' οὖν θεοῦ διάνοια] 247 D.

Ταῦτα περὶ τῶν θείων ἔτι λέγεται ψυχῶν μέχρι τοῦ καὶ οὗτος μὲν θεῶν βίος. Θεοῦ δὲ διάνοιαν, εἰ μὲν τὸ τῆς διανοίας κυρίως ἀκούοιμεν, λέγοι ἂν τὴν ἐξηρτημένην τοῦ θεοῦ διάνοιαν, ὥσπερ δὴ πολλάκις καὶ τὸ

2 εἰρήκαμεν 148, 14 sqq. 12-13 cf. 248 B 15 τέσσαρα — 19 αἰσθητοῦ = *fragm. orph.* 85 Abel 27 247 E

TIT 15 πρῶτον τὸ ἓν ἡ πρώτη ἀρχή· δεύτερον ὁ Φάνης πέρας ὢν τῶν νοητῶν θεῶν· τρίτον ὁ Ζεὺς τῶν ὑπερκοσμίων βασιλεύς· τέταρτον ὁ ἥλιος βασιλεὺς τῶν αἰσθητῶν C

NC 1 πράγματος ἐστὶν A 2 ἑρμηνευτικὰ] ἑρμηνευτικὸν M μὲν] μετὰ A[a] E 3 ψυχῆς κτέ : de textu v. 150, 15 8 τὸ] τὰ M 8-9 ἓν τῆς ψυ[χῆς] a in marg. : ἐν τῇ ψυχῇ libri : cf. 12 9 ἑνοῦσθαι] ἐννοεῖσθαι M 15 τὰ τέσσαρα ταῦτα τὸ ἓν τὸν Φάνητα Abel 16 θεῶν om. Abel 17 ὡς om. A : add. in marg. a 18 ἐστὶ τῶν ὑπερκοσμίων Abel 19 τοῦ αἰσθητοῦ] τῶν αἰσθητῶν M Abel ὑπ' scripsi : ὑπὲρ libri 22 ἐλλάμπει] ἐπιλάμπει M 25 αὐτῆς] αὐτῶν M 26 ἅτ', ἃ rubr. A (cf. 150, 29) 29 θεοῦ διάνοιαν θεοῦ A

143] σῶμα τὸ ἐξηρτημένον τοῦ θεοῦ θεὸν εἰώθαμεν προσαγορεύειν· εἰ δὲ τὸ τοῦ θεοῦ κυρίως ἀκούομεν, τὸ τῆς διανοίας δῆλον ὅτι καταχρηστικῶς ἀκουσόμεθα, ὥσπερ δὴ καὶ ἀλλαχοῦ λογισμὸν εἶπε θεοῦ. — Ἀκήρατος δὲ ὡς ἄνευ τῆς οἰκείας βλάβης προεστώσης τῶν ἐγκοσμίων καὶ ἀκλινοῦς
'58 v° μενούσης πρὸς τὰ δεύτερα· ἐξ ἀκηράτων γὰρ | γενῶν ἐποίει ὁ Τιμαῖος τὰς θείας ψυχάς, τὰς δὲ ἡμετέρας ἐξ ἀκηράτων οὐκέτι πάμπαν. — Τῷ δὲ καὶ πάσης ψυχῆς προσυπακουστέον τὸ διάνοια. — Ὅση ἂν μέλλῃ, φησί, τὸ προσῆκον δέξασθαι, τουτέστιν ὅση τὸ οἰκεῖον μὲν μέτρον καταδέχεται, λέγοιτο δ' ἂν περί τε θεῶν καὶ ἀγγέλων καὶ δαιμόνων καὶ ἡρώων· ἑκάστῳ γὰρ τούτων τῶν γενῶν οἰκεῖον καὶ ἴδιον μέτρον ἐνδίδοται ἄλλο ἄλλῳ παρὰ τῶν πρώτων καὶ ἐπαναβεβηκότων θεῶν. — Τὸ διὰ χρόνου οὐκ ἂν τοῦτο λέγοι ὅτι διακόπτεται μεταξὺ ἡ τῶν θεῶν νόησις ὥσπερ τὸ ἡμέτερον, ὡς ποτὲ μὲν αὐτὰς θεωρεῖν, ποτὲ δὲ μή· οὐκέτι γὰρ τὸ ἴσον τῆς εὐδαιμονίας τῶν θείων ψυχῶν τηρήσομεν· οὐ γὰρ δεῖ αὐτὰς ποτὲ μὲν μᾶλλον ποτὲ δὲ ἧττον εὐδαιμονεῖν· ἀλλὰ τὸ διὰ χρόνου τὸ ἐν χρόνῳ σημαίνει, ὅπερ ἴδιόν ἐστι τῆς ψυχικῆς οὐσίας τὸ ἐν χρόνῳ ποιεῖσθαι τὰς ἐνεργείας· ὥσπερ δὴ καὶ ἡμεῖς, κἂν ἀεὶ πεπταμένας ἔχωμεν τὰς ὄψεις πρὸς τόνδε τὸν ἀστέρα, ὅμως ἐν κινήσει καὶ ἐν χρόνῳ τοῦτο ποιοῦμεν. Συμφώνως δὲ καὶ ἐνταῦθα τοῖς ἐν Φιλήβῳ τὸ τέλος παρέλαβεν ἔκ τε θεωρίας καὶ εὐφροσύνης. — Τὸ δὲ ἀγαπᾷ καὶ τρέφεται καὶ εὐπαθεῖ· τρέφεσθαι μὲν λέγει ἐκ τῆς ἄνωθεν αὐτῇ ἐκδιδομένης τελειότητος· ἀγαπᾷ δὲ ἀντὶ τοῦ στέργει καὶ ἀνατείνεται πρὸς τὰς οἰκείας ἀρχάς· ἐκ δὲ ἀμφοτέρων τὸ εὐπαθεῖ. — Τὸ δὲ ἕως ἂν κύκλῳ ἡ περιφορὰ εἰς ταυτὸ περιενέγκῃ ἀντὶ τοῦ· ἕως ἂν συμπεριενεχθῶσι τῇ νοήσει τοῦ οὐρανοῦ, οὐχ ὡς καὶ αὐτοῦ μεταβατικῶς ἐνεργοῦντος, ἀλλ' ὡς τῆς ψυχῆς τὴν ἐκείνου νόησιν καὶ ἐνέργειαν ἐν χρόνῳ δεχομένης, ὥσπερ δὴ καὶ ὁ ἐνταῦθα κάτοχος ἐν χρόνῳ φθέγγεται, τοῦ θεοῦ ἀχρόνως ἐνεργοῦντος. Τὸ μὲν οὖν κύκλῳ ἴδιον τῆς ψυχικῆς περιόδου· τὸ δὲ τῆς περιφορᾶς τῆς
p. 144 οὐρανίας νοήσεως. — Τὸ δὲ καθορᾷ μὲν | αὐτὴν δικαιοσύνην, καθορᾷ δὲ σωφροσύνην, καθορᾷ δὲ ἐπιστήμην· τὸ ἐφ' ἑκάστου χρῆσθαι τῷ καθορᾷ αὐτὴν προσρήματι τὴν μόνην νόησιν τῶν θείων ψυχῶν δηλοῖ· πλεονάκις δὲ ταυτὸ λέγων καὶ τὸ μεταβατικὸν ἐνδείκνυται καὶ τὸ μεμερισμένον τῆς ψυχικῆς νοήσεως· οὐχ ὥσπερ δὲ εἴωθεν ἐπὶ τῶν ἰδεῶν λέγειν αὐτοδικαιοσύνην, αὐτοσωφροσύνην, οὕτω καὶ ἐνταῦθα ἀπήγ-

3 *Tim.* 30 B 5 *Tim.* 41 D 19 ἐν Φιλήβῳ : locum non inveni

NC 3 ἀκήρατος cf. 151, 1 5 γενῶν om. M 7 πάσης] ἁπάσης Plat. ὅση] ὅσῃ Plat. cod. B 8 δέξεσθαι Plat. cod. B μὲν om. M 14 ἶσον A ut solet δεῖ] δὴ M 20 ἀγαπᾷ τε καὶ θεωροῦσα τἀληθῆ τρέφεται Plat. 23 εὐπαθεῖν libri ταὐτὸν Plat. : ταυτὸν M 24 νοήσει] κινήσει A[a] 30 τὸ δὲ ἐφ' M 31 προρρήματι A[a] (sed σ supra ρ) 33 τὸ] τὴν A[a] (sed in marg. τὸ a) 34 καὶ αὐτοσωφροσύνην M

[144] γειλεν, ἀλλὰ αὐτὴν δικαιοσύνην, αὐτὴν σωφροσύνην, τὴν ὁλοτελῆ θεὸν ἐνδεικνύμενος, τὴν ὡς θεὸν [ἓν] δικαιοσύνην καὶ τὴν ὡς θεὸν σωφροσύνην, ὡς ἐνεδέχετο λόγῳ ἑρμηνεύοντα παραστῆσαι περὶ τῶν πρώτων θεοτήτων. Οἱ μὲν γὰρ ποιηταὶ πλείονος ἀδείας λαβόμενοι ἔτι ἐμφαντικώτερον ἡμῖν αὐτὰ παρέστησαν, τικτομένην παραδιδόντες καὶ κινουμένην τὴν δικαιοσύνην ἐπὶ πάντα· ὁ δὲ φιλόσοφος τὴν ὁλοτελῆ θεὸν δικαιοσύνην, ὡς οἷόν τε φιλοσόφῳ, λόγῳ παρέστησε. Δικαιοσύνη μὲν οὖν καὶ σωφροσύνη καὶ ἐπιστήμη ἐν ἰδέαις εἴδη ἐστὶν ἄτομα ὑπὸ ἑνὸς εἴδους τοῦ νοῦ αὐτοῦ περιεχόμενα, οἷον μέρη ὄντα τοῦ νοῦ καὶ πληρώματα· δικαιοσύνη δὲ αὐτὴ ἡ ἐν θεοῖς ὁλοτελής ἐστι, πάντα ἐν ἑαυτῇ καὶ αὐτὴ περιέχουσα κατὰ τὸ ἑαυτῆς ἰδίωμα. Ἡ μὲν γὰρ ἐν ταῖς ἰδέαις δικαιοσύνη πάντα νοερῶς περιέχει· ἡ δὲ ἐν τοῖς θεοῖς θείως. Ἡ μὲν οὖν δικαιοσύνη τὸ ἑκάστῳ ἐπιβάλλον ὁρίζει, ἡ δὲ σωφροσύνη τὰ δεύτερα τῶν προτέρων καὶ αἰτίων εἶναι ποιεῖ, ἡ δὲ ἐπιστήμη γνῶσιν πᾶσι καὶ ἀλήθειαν ἐμποιεῖ. Παράγεται δὲ ἡ δικαιοσύνη παρὰ τῷ θεολόγῳ ὑπὸ νόμου καὶ εὐσεβείας. Οὐ μάτην δὲ οὐδὲ τὰ τρία ταῦτα ὀνόματα παρέλαβεν, αὐτὴν δικαιοσύνην, αὐτὴν σωφροσύνην, αὐτὴν ἐπιστήμην. Τριῶν γὰρ παραδεδομένων Νυκτῶν παρ' Ὀρφεῖ, τῆς μὲν ἐν αὐτῷ μενούσης τῆς πρώτης, τῆς δὲ τρίτης ἔξω προελθούσης, τῆς δὲ μέσης τούτων, τὴν μὲν πρώτην μαντεύειν φησίν, ὅ ἐστι τῆς ἐπιστήμης, τὴν δὲ μέσην αἰδοίαν καλεῖ, ὅ ἐστι τῆς σωφροσύνης, τὴν δὲ τρίτην ἀποτίκτειν φησὶ τὴν δικαιοσύνην. — Ἠπόρησα πῶς τὸν ὑπερουράνιον τόπον ὁρῶσαι ταύτας καθορῶσιν· οὐδὲ γὰρ [οὐδὲ] προσεχῶς ἀπὸ τῆς Νυκτός εἰσιν, ἀλλὰ τρίται καὶ πολλοσταὶ ἀπ' ἐκείνης. Πρὸς δὴ τοῦτο εἶπεν ὅτι γεννήματά ἐστι ταῦτα τῆς Νυκτὸς μένοντα ἐν αὐτῇ. Ἔστι δὲ καὶ οὐρανὸς ὑπερουράνιος, καὶ ταῦτα πάντα μένει ἐν τῇ Νυκτί·

ἣ δὲ πάλιν γαῖάν τε καὶ οὐρανὸν εὐρὺν ἔτικτε·
δεῖξέν τ' ἐξ ἀφανῶν φανεροὺς οἵ τ' εἰσὶ γενέθλην.

Διὰ ποίαν γάρ, φησὶν ὁ ἑταῖρος, αἰτίαν καὶ ταῦτα καταλέγουσιν οἱ θεολόγοι ὅσα ἐν αὐτοῖς μένει; δῆλον γάρ ἐστιν ὅτι ἕκαστος θεὸς ἑαυτὸν παράγει, ὥστε τίς ἦν χρεία προόδου; Πρὸς τοῦτο εἴρηται ὅτι ἡ ὁλότης διττή, ἡ

17 τριῶν — 21 δικαιοσύνην jam ediderat Gesner in *Orphicis* (*fr.* 60 Abel) 23 πρὸς — 27 γενέθλην = *fr. orph.* 89 Abel 26 laudavit Proclus *in Tim.* 130 B 27 cf. 148, 24

TIT 7 περὶ δικαιοσύνης καὶ σωφροσύνης καὶ τῶν ἄλλων C 17 τρεῖς νύκτες παρ' Ὀρφεῖ C

NC 2 ἓν seclusi 7 οἷον τε A λόγῳ] λόγον M (jam correxerat Ast) 9-10 αὐτὴ ἡ Ast : αὕτη ἡ libri 12 ἡ δὲ] εἰ δὲ M 17 παραδιδομένων Ast 18 αὐτῷ Abel : fort. ταὐτῷ 18-19 δὲ ante μέσης om. Gesner 20 αἰδοίην Gesner τῆς om. Abel 22 οὐδὲ γὰρ οὐδὲ A : οὐ γὰρ οὐδὲ M : alterum οὐδὲ seclusi 26 γαῖαν τε A 27 δεῖξαί τ' M : δεῖξαι τ' A ; cf. 148, 24 29 αὐτοῖς scripsi : αὑτοῖς A : αὐτῷ M

4] μὲν ὡς ἐξ ὅλων, ἡ δὲ ὡς ἐκ τῶν μερικωτέρων συμπληρουμένη, παραγομένων τῶν μερικωτέρων ὑπὸ τῶν ἐν αὐτοῖς ὁλικωτέρων, οἷον ὡς ἐπὶ τοῦ κόσμου· ὅλος γάρ ἐστιν ὁ κόσμος ὡς συνεστηκὼς ἐκ τῶν ὅλων στοιχείων, ἐξ ὅλης γῆς, ἐξ ὅλου πυρὸς, ἐξ ὅλου ὕδατος, ἐξ ὅλου ἀέρος, ἣν ὁλότητα
1r ποιεῖ ὁ δημιουργὸς ὁ ἐξῃρημένος Ζεύς. Καὶ πάλιν αὖ ἑτέρως | ὅλον λέγεται ὁ κόσμος, ὡς πάντα ὅσα νοητὰ ζῷα ἔχων ἐν ἑαυτῷ, ἅπερ καὶ αὐτὸς λοιπὸν ἐν ἑαυτῷ παράγει· ἧς δημιουργίας ἄρχει ὁ Διόνυσος. Ἡ μὲν οὖν πρώτη ὁλότης ἀναλογεῖ κατὰ τοὺς ἔνδον ἐν τοῖς παράγουσι μένοντας θεούς, ἡ δὲ δευτέρα κατὰ τοὺς ἔξω ἀπὸ τῶν ὁλικῶν προιόντας. — Τὸ δὲ ἐπὶ τῆς ἐπιστήμης ῥηθέν « οὐχ ᾗ γένεσις πρόσεστιν οὐδ' ἥ ἐστί που ἑτέρα ἐν ἑτέρῳ » οὐ μόνον περὶ τῆς ἐκ θεωρημάτων λέγει συνεστώσης καὶ οὔσης ἐν ψυχῇ, ἀλλὰ καὶ τῆς ἐν νῷ καὶ ἐν ἰδέᾳ. Ἐν γὰρ τῷ νῷ, ὥσπερ εἴπομεν, περιέχεται ὡς ὑπὸ ἄλλου· διαιρεῖ γὰρ ὁ λόγος εἰ καὶ ἥνωνται. Ἠρκέσθη δὲ τοῖς τρισὶ τούτοις δικαιοσύνης καὶ σωφροσύνης καὶ ἐπιστήμης ὀνόμασιν, ὡς καὶ μόναις ἀρκούσαις πρὸς εὐδαιμονίαν. — Καλῶς δὲ τῷ
145 θεασαμένη τὸ ἑστιαθεῖσα προσέθηκεν· οὐ | γάρ ἐστιν ἁπλῶς ἀμυδρὰ θέα, ἀλλὰ πλήρωσις ἀγαθῶν καὶ μέστωσις τῆς οἰκείας τελειότητος. — Τὸ δὲ δῦσα πάλιν εἰς τὸ εἴσω τοῦ οὐρανοῦ οἴκαδε ἦλθεν ἀντὶ τοῦ· ἀπὸ τῆς θέας τοῦ ὑπερουρανίου τόπου ἔρχεται ἐπὶ τὰς θέας τὰς ἐντὸς οὐρανοῦ· εἶτα ἀπ' ἐκείνων καὶ ἑαυτὴν ὡς ψυχὴν θεωρεῖ· τοῦτο γάρ ἐστι τὸ οἴκαδε ἐλθεῖν· οὐχ ὅτι οὖν ἀπολιμπάνουσα τὸν ὑπερουράνιον τόπον ἐν τοῖς ἐσχάτοις γίνεται· τοῦτο γὰρ οὐ θέμις ἐπὶ τῆς θείας ψυχῆς· οὐ γὰρ μᾶλλον καὶ ἧττον εὐδαιμονοῦσιν αἱ θεῖαι ψυχαί· καλῶς δὲ ἔχει τὸ περὶ αὐτῶν ῥηθὲν ὅτι « ὃ ἐν ἡμῖν ποτε, τοῦτο ἐκείνοις ἀεὶ » καὶ πάλιν τὸ « ἀεὶ ἐν τέλει εἶναι. » Ἀλλὰ τὸ λεγόμενον τοιοῦτόν ἐστι· πλείους ἔχουσι δυνάμεις αἱ θεῖαι ψυχαὶ, τὰς μὲν ὑπερτέρας, τὰς δὲ μέσας, τὰς δὲ καταδεεστέρας. Ταῖς μὲν οὖν πρωτίσταις τῶν δυνάμεων ἀεὶ τοῖς πρωτίστοις τῶν νοητῶν ἐπιβάλλουσι καὶ τῷ ὑπερουρανίῳ τόπῳ, ταῖς δὲ μέσαις τοῖς ἐντὸς οὐρανοῦ, ταῖς δὲ ἐσχάταις κατὰ τὸ ψυχικὸν μάλιστα ἰδίωμα· ἵστανται οὖν ἑαυτὰς ὡς ψυχὰς λοιπὸν θεωροῦσαι· διὸ καὶ τὸ δῦσα εἰς τὸ εἴσω τοῦ οὐρανοῦ οἴκαδε ἦλθεν· αἱ γὰρ ἐνέργειαι αὐτῆς αἱ καταδεέστεραι ἐντός τε οὐρανοῦ λέγονται καὶ οἴκαδε ὡς οἰκεῖα, ἐπειδὴ μάλιστα ὡς οἰκεῖαι τῆς ψυχῆς θεωροῦνται κατὰ τὸ ψυχικὸν ἰδίωμα ἱστάμεναι καὶ ἑαυτὰς ὡς ψυχὰς θεωροῦσαι. Ἢ καὶ ἐλθεῖν λέγεται εἰς τὸ εἴσω ἐπειδὴ ἔλλαμψίς τις ἐκ τῶν πρώτων δυνάμεων ταῖς δευτέραις ἐποχετεύεται.

TIT 4 ποίαν ὁλότητα ποιεῖ ὁ Ζεύς C

NC 2 αὐτοῖς M 3 ὡς] ὁ M 5 ὅλον] ὅλως M : ὅλος Ast 6 αὐτὸς] αὐτὰ καὶ A[a] 8 τοῖς] οἷς Ast 10 γένεσις ex emend. A[a] (γένος a[1]) ἐστιν Plat. 13 ὡς scripsi : ἕως libri διαι**ρεῖ A εἰ] ἃ A[a] 14 ἠρκέσθη] ἐχρήσθη M 15 ἀρκούσαις] ἀκούσαις M : ἀγούσαις Ast τὴν εὐδαιμονίαν M καὶ τῷ M 24 ποτὲ A 26 τὰς δὲ μέσας om. M 30 ψυχὰς scripsi : ψυχαὶ libri cf. 33 32 οἰκεῖα] οἰκεῖαι M

[145] λε΄. Ἐλθούσης δὲ αὐτῆς] 247 E.

Βούλεται λοιπὸν περὶ τῆς προνοίας αὐτῶν τῆς εἰς τὸν κόσμον εἰπεῖν· εἰπὼν γὰρ περὶ τῆς θεωρίας αὐτῶν, βούλεται λοιπὸν καὶ περὶ τῆς εἰς τὸν κόσμον αὐτῶν προνοίας εἰπεῖν. Ἵππους μὲν οὖν, ὡς ἤδη εἴρηται, τὰς πεζοτάτας δυνάμεις τῆς διανοίας αὐτῶν ἐκληψόμεθα, τὴν ταυτοῦ καὶ θατέρου δύναμιν· ἡνίοχον δὲ τὴν δύναμιν τῆς οὐσίας, τουτέστι τὸν ἔρωτα τὸν αὐτῆς. — Τὸ δὲ στήσας τὴν μνήμην ἣν ἔσχεν ἐκ τῆς θέας τῶν νοητῶν ἐκείνων ἀκουστέον· ταύτην γὰρ ἐνδίδωσι τοῖς ἵπποις, ἵνα κατ' ἐκείνην κυβερνῶσι τὸ πᾶν. — Φάτνην δὲ τὴν ὑποδοχὴν τῆς μνήμης ἐκείνης καὶ τῆς θέας· ὥσπερ οὖν ἐφ' ἡμῶν τὸ δοξαστικὸν ὑποδέχεται παρὰ τοῦ λόγου καὶ τῆς διανοίας τὰ μέτρα καὶ οὕτω μεταδίδωσι τῷ ὀρεκτικῷ τῷ τε θυμῷ καὶ τῇ ἐπιθυμίᾳ, ἵν' οὕτω ταῦτα μετρηθέντα προνοῇ τοῦ τε ζῴου καὶ πάντων τῶν κατὰ τὸν βίον, καὶ εἴποις ἂν φάτνην τὸ δοξαστικόν, οὕτω καὶ ἐπὶ τῶν θείων ψυχῶν τὸ ὑποδεχόμενον τὰς θείας ἐκείνας καὶ μακαρίας θέας, καὶ μεμνημένον αὐτῶν καὶ μεταδιδὸν τοῖς ἵπποις εἴη ἂν φάτνη τῆς ψυχῆς· καὶ γὰρ καὶ ἐνταῦθα ἴδιον τῆς φάτνης τὸ ὑποδέχεσθαι καὶ πληροῦσθαι. Πληροῦνται οὖν καὶ οἱ ἵπποι ἀμβροσίας καὶ νέκταρος, ἀντὶ τοῦ· ἐνιδρύονται τοῖς θεοῖς αἱ ἀναγωγοὶ αὐτῶν καὶ προνοητικαὶ τῶν θείων ψυχῶν δυνάμεις, καὶ προνοοῦσι τοῦ κόσμου. Ἀμβροσία δέ ἐστιν ἡ ἐνιδρύουσα τοῖς θεοῖς τὴν ψυχὴν κατὰ στέρησιν τοῦ βροτοῦ καὶ φθαρτοῦ λεχθεῖσα· διὸ καὶ ὅντινα ἂν λέγοι ἡ ἱστορία ἀθανασίας τετυχηκέναι, ἀμβροσίας αὐτὸν μετειληφέναι φησίν, ἀντὶ τοῦ· ἐνιδρύθη τοῖς θεοῖς. Ἀναλογεῖ δὲ ἡ ἀμβροσία τῇ παρ' ἡμῖν ξηρᾷ τροφῇ, διὸ καὶ τὴν ἐνίδρυσιν τὴν ἐν τοῖς αἰτίοις σημαίνει. Τὸ δὲ νέκταρ τῇ ὑγρᾷ τροφῇ ἀναλογεῖ· δηλοῖ δὲ τὴν θείαν τῶν θεῶν πρόνοιαν τὴν εἰς τὰ δεύτερα κατὰ στέρησιν τοῦ κτέρως εἰρημένον καὶ τοῦ τάφου· κτερίσαι γὰρ τὸ θάψαι· μὴ ἐῶντες οὖν οἱ θεοὶ τεθάφθαι τὰ ἐν τῷ κόσμῳ καὶ αὐτὴν τὴν ψυχήν, νέκταρι αὐτὴν δεξιοῦσθαι λέγονται. Καὶ ὅταν δὲ προνοοῦντας παραδίδωσι τοὺς θεούς, χρωμένους αὐτοὺς ποιοῦσι τῷ νέκταρι·

μετὰ δέ σφισι πότνια Ἥβη
νέκταρ ἐῳνοχόει· τοὶ δὲ χρυσέοις δεπάεσσι
f°59v° δειδέχατ' ἀλλήλους, | Τρώων πόλιν εἰσορόωντες·

24 cf. *Etym. M.* παρὰ τὸ νε στερητικὸν καὶ τὸ κτῶ 30 Δ 2-4

TIT 2 περὶ τῆς εἰς τὸν κόσμον προνοίας τῶν θείων ψυχῶν (cod. ψυχικῶν) ὁ λόγος C 4 περὶ τῶν ἀνθρωπίνων ψυχῶν νῦν λέγει C (quod ad 157, 5 pertinet) τίνες οἱ ἵπποι C 19 τί ἐστι ἀμβροσία C 24 τί τὸ νέκταρ C

NC 1 ἐλθούσης, ἐ rubr. A 4 εἴρηται ἤδη M 11 καὶ τὰ μέτρα M 15 μεταδίδον A : cf. 118, 27 22 μετειληχέναι M ἐνιδρύθη τι τοῖς M 23 παρ'] περὶ M 25 κτέρως] κτέριος M : κτερω E

p. 146 προενόουν γὰρ τότε τῶν Τρώων. Πίνειν οὖν λέγονται καὶ οἱ νῦν ἵπποι | τὸ νέκταρ ὡς προεστηκότες καὶ προνοοῦντες τῶν δευτέρων, ἐσθίειν δὲ ἀμβροσίαν ὡς ἐν τοῖς θεοῖς ἐνιδρυμένοι.

λϛʹ. Αἱ δὲ ἄλλαι ψυχαὶ ἡ μέν...] 248 A.

Εἰπὼν περὶ τῶν θείων ψυχῶν καὶ τῶν κατὰ τὰ αὐτὰ ἀεὶ ὡσαύτως ἐχουσῶν, νῦν ἐπὶ τὰς ἡμετέρας τὰς μερικὰς καὶ ἀνθρωπίνας μεταβαίνει ψυχὰς τὰς δυναμένας ποτὲ καὶ ἀποπίπτειν τοῦ θείου· διὸ καὶ τῷ ἄλλαι αὐτὰς ἀορίστῳ ὀνόματι ἐδήλωσεν, ὡς πολὺ ἐχούσας τὸ ἀόριστον καὶ πεπλανημένον. Διαιρεῖ δὲ καὶ ταύτας τριχῇ, πρώτας καὶ μέσας καὶ τελευταίας· πάντα γὰρ καὶ τὰ ἀνωτέρω τριαδικῶς ἔτεμε, περὶ μὲν [οὖν] τῶν θεωριῶν τὰς μὲν ἐντὸς οὐρανοῦ λέγων, τὰς δὲ ὑπὸ τὴν ὑπουρανίαν ἀψῖδα, τὰς δὲ ἔξω τοῦ οὐρανοῦ· περὶ δὲ αὖ τῶν ἔξω τοῦ οὐρανοῦ εἶπεν ἀχρώματος ἀσχημάτιστος ἀναφὴς οὐσία ὄντως οὖσα· καὶ ἔτι ἀνωτέρω εἰς Δία καὶ Ἑστίαν καὶ τοὺς δέκα ἡγεμόνας· καὶ πάλιν εἰς Δία καὶ θεοὺς καὶ δαίμονας· ἢ πάλιν εἰς Δία... καὶ τοὺς ἀεὶ ἑπομένους ὅτε καὶ ἐθέλουσι καὶ δύνανται· καὶ γὰρ πᾶν ἁπλῶς ὃ ἂν ἅπαξ ἀπὸ τοῦ πρώτου προέλθῃ τριαδικὸν ὀφείλει εἶναι· τέλειον γὰρ ὂν πρῶτα καὶ μέσα καὶ τέλη ἕξει κατὰ τὸ λόγιον·

... τριὰς κατὰ πάντα μετροῦσα.

Οὕτως οὖν καὶ περὶ τῶν ἡμετέρων ψυχῶν τὴν μέν φησιν ὑπεραίρειν εἰς τὸν ἔξω τόπον τὴν τοῦ ἡνιόχου κεφαλήν, τουτέστι τὸ ἀκρότατον τοῦ νοεροῦ ἡμῶν· τὴν δὲ ποτὲ μὲν αἴρειν ποτὲ δὲ μή· τὴν δὲ οὐκέτι αἴρειν δύνασθαι, ἀλλ' ὑποφέρεσθαι λοιπὸν εἰς γένεσιν. Ἀκριβῶς δὲ προσεκτέον πόσην τὴν διαφορὰν τῶν ἡμετέρων ψυχῶν καὶ τῶν θείων ἐνδείκνυται. Τὴν γὰρ ἀκροτάτην εὐδαιμονίαν ἡμῶν παραδοὺς καὶ τὴν ἄριστα θεῷ εἰκασμένην ψυχὴν λαβών, φησὶν ὅτι μόγις, θορυβουμένη ὑπὸ τῶν ἵππων, ἠδυνήθη μόνην τὴν κεφαλὴν ὑπερᾶραι εἰς τὸν ἔξω τοῦ οὐρανοῦ καὶ ἰδεῖν τι τῶν ὄντων· καὶ οὕτω στῆσαι ἐπὶ τῷ τοῦ οὐρανοῦ νώτῳ θεωροῦσιν ὥσπερ ἐπὶ σχολῆς νῦν μὲν τόδε νῦν δὲ τόδε. Καὶ αἱ μὲν θεῖαι

5 τῶν — ἐχουσῶν verba sæpe a Platone usurpata 11 ἐντὸς οὐρανοῦ 247 A : ὑπὸ — ἀψῖδα 247 B : ἔξω τοῦ οὐρανοῦ 247 C 12-13 247 C 19 *fragm. orph.* ut mihi videtur ineditum 28 247 C

TIT 9 καὶ ἀνθρώπιναι ψυχαὶ τριχῇ διαιροῦνται C 23 διαφοραὶ τῶν ἀνθρωπίνων ψυχῶν πρὸς τὰς θείας C

NC 4 αἱ rubr. A 8 ἀόριστον] φαῦλον M : cf. 148, 1 9 fort. <εἰς> πρώτας 10 οὖν seclusi 12-13 ἀχρώματός τε καὶ Plat. 13 καὶ ἀναφὴς Plat. 15 deest divisionis terminus alter (fort. εἰς Δία <καὶ Ἑστίαν> coll. 247 A) 20 μὲν φησὶν A 24 πόσην] πόσιν M : πῶς Ast (« *nisi malueris* πόσην ») 29 θεωροῦσιν] θεωροῦσαν Ast δὲ τόδε Ast : δὲ τότε libri

[146] ψυχαὶ περιάγεσθαι ἐλέγοντο ὑπὸ τῆς περιφορᾶς τοῦ οὐρανοῦ, αἱ δὲ ἡμέτεραι συμπεριάγεσθαι. Κεφαλὴν δὲ ἡνιόχου ἀκουστέον τὸ ἀκρότατον αὐτῆς καὶ νοερώτατον ἑνιαίως πᾶσαν αὐτῆς τὴν νοερὰν δύναμιν ἔχον. Ἐπεὶ οὖν πολυδύναμός ἐστιν ἡ ψυχὴ καὶ ἐνεργεῖν θέλουσι καὶ αἱ λοιπαὶ δυνάμεις, εἰκότως αἱ μὲν πρῶται ψυχαὶ θορυβεῖσθαι λέγονται ὑπὸ τῶν ἵππων· αἱ δὲ μέσαι αἱ μὴ τελέως παιδαγωγήσασαι τὰς ἄλλας δυνάμεις οὐχ ἁπλῶς θορυβεῖσθαι λέγονται ἀλλὰ καὶ βιάζεσθαι ὑπὸ τῶν ἵππων· διὸ τοτὲ μὲν ἐνεργοῦσι κατὰ τὸ ἀκρότατον, τοτὲ δὲ πάλιν κατὰ τὸ κοιλότερον· αἱ δὲ τρίται πάντῃ κεκρατῆσθαι, διὸ ἀδυνατοῦσαι τὴν κεφαλὴν αἴρειν ὑποβρύχιαι γίνονται. Λαβὲ δὲ αὐτῶν ἐκ τῶν ἐνταῦθα ὑποδείγματα. Τῆς μὲν οὖν πρώτης ὑπόδειγμα ἔστω ὁ φιλόσοφος ὁ ἐνταῦθα πρὸς ἑαυτῷ ὢν καὶ θεωρίᾳ σχολάζων, ταῖς δὲ ἄλλαις ἑαυτοῦ ζωαῖς καὶ τοῖς γειτνιῶσι πᾶσιν ἀγαθοῦ μόνου μεταδιδούς· ὁ δὲ πολιτικὸς τῶν μέσων ψυχῶν εἰκὼν ἔστω, ποτὲ μὲν εἰς θεωρίαν ἀνατεινόμενος, ποτὲ δὲ πάλιν ἐπιστρέφων εἰς τὰ καταδεέστερα καὶ τάττων αὐτά· αἱ δὲ τρίται ψυχαὶ ἀναλογείτωσαν τῷ πολλῷ καὶ ἐμπαθεῖ ἀνθρώπῳ. Πολὺ μέντοι ἐν ταῖς μέσαις, ταῖς τὰ μὲν ἰδούσαις τὰ δὲ μή, πλάτος· αἱ μὲν γὰρ πλείονα μὲν εἶδον, ὀλίγα δὲ οὐκ εἶδον· αἳ δὲ ἀνάπαλιν ὀλίγα μὲν εἶδον, πλείονα δὲ οὐκ εἶδον· αἳ δὲ ἐπίσης τὰ μὲν εἶδον, τὰ δὲ οὐκ εἶδον. Προσεκτέον οὖν τούτῳ· συντελέσει γὰρ ἡμῖν εἰς τοὺς ἑξῆς βίους. Αἱ μὲν οὖν ἔσχαται τῶν ἑπομένων κατὰ φύσιν μὲν ἐφιέμεναι τοῦ ἄνω συμπεριφέρονται, διὰ δὲ τὸ τὴν δύναμιν ἀπαγορεύειν φέρονται κάτω· τελευταῖον δὲ καὶ ἡ βούλησις καὶ ἔφεσις αὐτὰς ἀπολιμπάνει· καὶ γὰρ πρώτη ἄρχεται καὶ ὑστέρα λήγει ἡ βούλησις. Ὥσπερ οὖν ὁ ἐμπαθὴς καὶ πολὺς ἄνθρωπος ἐνταῦθα κατὰ φύσιν μὲν ἐφίεται τοῦ ἀγαθοῦ, ἀδυνατεῖ δὲ διακρῖναι καὶ εὑρεῖν τὸ ὄντως ἀγαθόν, οὕτω δὴ καὶ ἐκεῖ πάσχουσιν αἱ p. 147 ψυχαί. Λάβοις δ' ἂν τῶν τριῶν τάξεων τῶν | ψυχῶν καὶ ἕτερα ὑποδείγματα, τῆς μὲν πρώτης τὸν σώφρονα, τῆς δὲ δευτέρας τὸν ἐγκρατῆ, ὅπου στασιάζει μὲν τὰ χείρονα πρὸς τὰ κρείττονα, ὅμως μέντοι σπουδάζει τὴν f° 60 r° ἑαυτοῦ ἀρχὴν | διακρατεῖν ὁ λόγος, τῆς δὲ τελευταίας τὸν ἀκρατῆ ἢ τὸν ἀκόλαστον. Καὶ πάλιν τῆς μὲν πρώτης τὸν σπουδαῖον ὃς οὔτε ἑαυτὸν οὔτε ἄλλον αἰτιᾶται (αἱ γὰρ πρώτισται τῶν ψυχῶν οὐ διὰ τὴν ἑαυτῶν κακίαν θορυβοῦνται, ἀλλὰ διὰ τὴν φύσιν τοῦ ὑποκειμένου πράγματος τοιαύτην οὖσαν· ὅθεν καὶ τὴν ἀπορίαν λύσομεν τὴν λέγουσαν· « πῶς οὖν εἴρηται τελέα οὖσα καὶ ἐπτερωμένη μετεωροπορεῖ καὶ πάντα τὸν κόσμον διοικεῖ; » καθὸ γὰρ ἕπεται τοῖς θεοῖς καὶ ἑαυτὴν ἐπιδέδωκεν αὐτοῖς,

34 246 C

TIT 11 φιλόσοφος C 13 πολιτικός C 27 σώφρων, ἐγκρατής, ἀκρατής C

NC 8 πάλιν ex πάλην A 9 κεκρατῆσθαι] κρατεῖσθαι M 10 λάβε A 17 et 18 πλέονα A 22 ἡ ἔφεσις M 23 καὶ ὁ M 24 ὁ πολὺς M 31 ἑαυτῶν] αὐτῶν A[a] 34 τελέα μὲν Plat. μετεωροπολεῖ M : μετεωροπορεῖ τε Plat. cf. 130, 1 et 135, 19-20

[147] εὐδαίμων ἐστίν)· αἱ δὲ μέσαι ψυχαὶ τάττοιντο ἂν κατὰ τὸν προκόπτοντα καὶ μόνον ἑαυτὸν αἰτιώμενον· αἱ δὲ τελευταῖαι κατὰ τὸν ἀμαθῆ καὶ τοὺς ἄλλους αἰτιώμενον.

λζ΄. Ὑποβρύχιαι ξυμπεριφέρονται] 248 A.

Οὐκ εἶπεν ἐπὶ τούτων ὅτι δῦσαι, ἀλλ' ὑποβρύχιαι μὲν ὡς ἠνδραποδίσθαι ὑπὸ τῆς βίας τῶν ἄλλων δυνάμεων καὶ τῆς στάσεως, ξυμπεριφερόμεναι δὲ ὅμως τοῖς ὀπαδοῖς τῶν θεῶν διὰ τὸ ἐφίεσθαι τοῦ ἄνω. Περὶ μὲν οὖν τῶν θείων ψυχῶν ἐλέγετο ὅτι περιάγει αὐτὰς ἡ περιφορὰ τοῦ οὐρανοῦ, ὡς ἂν καὶ αὐτῶν ἐπιτηδείων οὐσῶν πρὸς τοῦτο καὶ ἑαυτὰς ἐπιδεδωκυίας τῇ περιφορᾷ· περὶ δὲ τούτων λέγεται ξυμπεριφέρονται ὡς βίᾳ λοιπὸν φερομένων, καὶ αὐτῶν μὲν τὴν κατ' εὐθεῖαν πορείαν φερομένων εἰς γένεσιν, κύκλῳ ὅμως ξυμπεριαγομένων διὰ τὸ ἐνηνέχθαι ἔτι ὑπὸ τοῦ οὐρανοῦ καὶ τῶν ὀπαδῶν τοῖς θεοῖς, ὡς λέγεται κύκλῳ φέρεσθαι τὸ ὑπέκκαυμα τοῦ ἀέρος. Ὑποβρύχιαι οὖν γίνονται ὡς τοῦ γενεσιουργοῦ αὐτῶν λοιπὸν βρίθοντος καὶ βουλομένου ἐνεργῆσαι, ἢ καὶ τοῦ ὀχήματος λοιπὸν ἐνίκμου γενομένου· ταύταις γὰρ λοιπὸν προσάπτει καὶ τὸ ἄλογον εἶδος τῆς ζωῆς. — Τὸ δὲ πατοῦσαι ἀλλήλας οὐ δήπου ὅτι ποσὶν ἐκεῖ χρῶνται, ἀλλ' ὅτι ἡ ἑτέρα πρὸ τῆς ἑτέρας σπουδάζει γενέσθαι· ἡ μὲν οὖν ὑπερτέρα πατεῖν ἂν λέγοιτο τὴν ὑποβεβηκυῖαν, ἡ δὲ ὑφειμένη ἐπιβάλλειν τῇ ὑπερτέρᾳ. Αἱ δὴ τοιαῦται ψυχαὶ οὐκέτι πρὸς τὸ νοητὸν ἀνατείνονται, ἀλλὰ πρὸς ἀλλήλας βλέπουσι καὶ ἀλλήλων κρείττους πειρῶνται φαίνεσθαι πρὸς ἀλλήλας ἁμιλλώμεναι.

λη΄. Θόρυβος οὖν] 248 B.

Θόρυβος μὲν οὖν αὐταῖς γίνεται τῆς διανοίας, ἅμιλλα δὲ τοῦ θυμοῦ (τὸ γὰρ τιμῆς καὶ φιλοπρωτίας ἐφιέμενον ὁ θυμός ἐστιν), ἱδρὼς δὲ ἔσχατος τοῦ ἐπιθυμητικοῦ καὶ γενεσιουργοῦ, βρίθουσαι λοιπὸν εἰς γένεσιν. Ἔσχατος δὲ πρὸς ἀντιδιαστολὴν τοῦ θείου ἱδρῶτος ὃν ἴσχουσιν αἱ ἀναγόμεναι ὡς ἑξῆς ἐρεῖ. Ἐνταῦθα δὴ μόνον ἐν ταῖς τρίταις καὶ τὸν ἡνίοχον ἐκάκισεν, ὅτι τῆς τοιαύτης ἀκοσμίας αὐταῖς αἴτιός ἐστιν· ὥσπερ δὴ καὶ αὐτὸς ἐν Πολιτείᾳ εἶπεν ὅτι ἀδύνατον ἄνευ τῆς τῶν ἀρχόντων κακίας δια-

8 247 C 28 ἑξῆς 251 A 30 *Rep.* VI

NC 2 αἱ — 3 αἰτιώμενον om. M 4 ὑποβρύχιαι, ὑ rubr. A συμπεριφέρονται Plat. 5-6 ἠνδραποδίζεσθαι DE : fort. ἠνδραποδισμέναι (?) 6 στάσεως] τάξεως DE 7 ὀπαδοῖς M τὸ] τοῦ M 8 οὖν om. M 12 ἐνηνέχθαι] ἀνηνέχθαι Aª DE τοῦ om. M 14 ἀέρος] οὐρανοῦ Aª λέγονται γίνονται A, sed prius verbum transversa penna deletum 16 ἐνίκμου om. M (« *desunt nonnulla in codice* » Ast) ταύταις] ταῦτα Aª : ταύτης DE εἶδος] αὐτῆς Aª 21 φαίνεσθαι] φέρεσθαι M 23 θόρυβος, θ rubr. A 24 γίνεται ex γίνονται A¹ 25 φιλοπρωτείας M 26 τοῦ — 27 ἱδρῶτος om. DE 26 βρίθουσαι] βάθουσαν BCM : βαδίσαι Ast

[147] λυθῆναι τὴν εὐκοσμίαν τῆς πόλεως. Λάβοις δ' ἂν ἐντεῦθεν ὅτι κατὰ Πλάτωνα πᾶσα κάτεισιν ἡ ψυχὴ, εἴ γε ὅς ἡνίοχός ἐστιν αὐτῆς τὸ ἀκρότατον [ὂν] φησι κακύνεσθαι, καὶ οὐχ ὥς φησι Πλωτῖνος τὸ μέν τι αὐτῆς κάτεισι, τὸ δὲ μένει ἄνω. — Τὸ δὲ χωλεύονται ἀπὸ τῆς κινήσεως τῶν χωλευόντων γνώριμον γίνεται· οὗτοι γὰρ καὶ βραδέως πορεύονται καὶ μετὰ ἀκοσμίας καὶ κινδυνεύουσι κατενεχθῆναι· οὕτω δὴ οὖν καὶ αὗται αἱ ψυχαὶ καὶ ἀμβλύτεραί εἰσι κατὰ τὰς νοήσεις καὶ ἀσχήμονες καὶ κινδυνεύουσιν ἀεὶ εἰς γένεσιν ὑπενεχθῆναι. Τῇ οὖν βαδίσει τῶν χωλευόντων ἀπείκασεν αὐτῶν τὰς νοήσεις, ἐπειδὴ ἡ βαδίσις οἰκεῖον τῇ μεταβατικῇ αὐτῶν αἰσθήσει. Καλῶς δὲ εἶπε καὶ τὸ καταθραύεσθαι· οὐ γὰρ εἶπεν ἀπόλλυσθαι, ἐπειδὴ οὐδέποτε τὴν ἀναγωγὸν ἑαυτῆς δύναμιν ἀπόλλυσιν, ἀλλὰ ἀργοῦσι μὲν αἱ ἐνέργειαι καὶ ταύτῃ ἀπόλλυνται, ἡ δὲ δύναμις μένει τεθραυσμένη. Πάλιν δὲ ἀπὸ τῶν p. 148 πτηνῶν λάβωμεν· ἐὰν γάρ τι τούτων παραθραύσῃ τὰ πτερὰ, διὰ μὲν | τὴν πτηνὴν φύσιν αἴρονται ἄνω ἐπ' ὀλίγον, πάλιν δὲ καταφέρονται. Ἀπέρχονται οὖν, φησὶ, τουτέστι φεύγουσιν ἐπὶ τὸ ἄθεον καὶ σκοτεινόν,

φυγὰς θεόθεν καὶ ἀλήτης. —

Τὸ δὲ ἀτελεῖς ἀντὶ τοῦ ἀτέλεστοι· τελετὴ γὰρ ὄντως ἡ τῶν νοητῶν θέα. f°60v° Τροφῇ δὲ δοξαστῇ | χρῶνται, τουτέστι τοὺς τῶν αἰσθητῶν προβάλλουσι λόγους καὶ κατὰ τούτους ζῶσιν, οὐκέτι τὰ νοητὰ θεώμεναι, ἀλλὰ τὰ αἰσθητά.

λθ'. Οὗ δὴ ἕνεχ' ἡ πολλὴ σπουδὴ τὸ ἀληθείας ἰδεῖν πεδίον οὗ ἐστι] 248 B.

Τὸ κοινὸν ἐνταῦθα παραδίδωσι τῶν τριῶν τάξεων τῶν τε θείων καὶ τῶν τυγχανουσῶν καὶ τῶν μή· ὡς εἰ ἠρώτα τις « τί οὖν οὕτω σπουδάζουσι καὶ κάμνουσιν; » οἳ δὲ ἀπεκρίνοντο « πᾶσαι γὰρ ἐφίενται τοῦ ἰδεῖν τὰ ὄντα. » — Τὸ δὲ ἡ προσήκουσα ψυχῆς τῷ ἀρίστῳ νομή· τῷ νοερῷ τῷ τῆς ψυχῆς λέγει· τοῦτο γὰρ προσηκόντως μόνως ὑπὸ τοῦ νοητοῦ τρέφεται.

3 *Enn.* IV 8, 8 16 Empedocl. v. 7 17 τὸ δὲ — ἀτέλεστοι jam ediderat Ruhnken ad *Tim.* p. 133 ex P

TIT 3 Πλάτωνος (leg. Πλωτίνου) δόξα C

NC 3 ὄν seclusi ὥς φησι A qui prius ὂν, φησὶ scripserat τι scripsi : τις A : τῆς M 6 δὴ] δὲ M αὗται] αὐταὶ M 8 τῇ ex τὸ A¹ ut videtur 9 αὐτῶν] αὐτὸ M (jam correxerat Ast) 10 καταθραύεσθαι : fort. legendum θραύεσθαι, cum apud Platonem θραύονται inveniatur, et κατα ex καὶ τὸ errore reduplicato natum esse possit : parum diligens Schanz ad Platonis locum 21 οὗ rubr. A οὗ δὴ ἕνεχ' ἡ] Plat. cod. T οὗ δὴ ἐνέχει Aª : οὗ δὴ ἐν εἴχει E : οὐδὲν ἔχει Plat. cod. B 22 ἐστιν Plat. 23 τε θείων] ψυχῶν EM : suspicor legendum esse τάξεων τῶν <ψυχῶν τῶν> τε θείων 24 ἠρώτα] ἐρωτᾷ M τίς A 25 ἀπεκρίνοντο scripsi : ἀπεκρίναντο libri sed Aª 26 τῷ post νοερῷ om. M

148] Προσυπάκουσον δὲ ἀντὶ τοῦ δή τὸ γάρ· καὶ σαφὲς γίνεται τὸ τῆς λέξεως. Τὸ δὲ πτερόν, ὅ ἐστιν ἡ ἀναγωγὸς αὐτῆς δύναμις, οὐχ ὅτι προσηκόντως, ἀλλὰ καὶ μόνως ὑπὸ τοῦ νοητοῦ τρέφεται καὶ ὑπ' οὐδενὸς ἄλλου. Λειμὼν δέ ἐστιν ἡ γόνιμος τῶν εἰδῶν δύναμις· λέγοι δ' ἂν λειμῶνα τὰς Νύκτας· ἐκεῖ γὰρ αἱ πηγαὶ τῆς ζωῆς· ἄλλος δὲ λειμών ἐστιν ὁ ἐν Πολιτείᾳ ἐν ᾧ κατασκηνοῦνται μέλλουσαι ἰέναι εἰς γένεσιν, ὅ ἐστι τὸ φάσμα τὸ ὑπὸ σελήνην· ἀναλογίαν δὲ ἔχει οὗτος ὁ λειμὼν ὁ ἐν τῇ Πολιτείᾳ πρὸς τὸν ἐνταῦθα εἰρημένον· καὶ γὰρ ἐκεῖ αἱ ἀρχαὶ τῆς φύσεως καὶ τῆς ἐν γενέσει ζωῆς ἐν αὐτῷ περιέχονται.

μ'. Θεσμός τε Ἀδραστείας ὅδε] 248 C.

Βούλεται λοιπὸν περὶ καθόδου ψυχῶν διαλεχθῆναι καὶ τῆς πρώτης ἀπὸ τοῦ νοητοῦ αὐτῶν εἰς γένεσιν εἰσκρίσεως. Ἐπειδὴ γὰρ ἀπέστησαν τοῦ θεᾶσθαι τὰ νοητά, λοιπὸν κατ' ὀλίγον ὑποφερόμεναι πίπτουσιν εἰς γένεσιν· καὶ τοῦτο ἔχουσι γέρας αἱ πρώτως ἀπὸ τοῦ νοητοῦ κατιοῦσαι εἰς γένεσιν ψυχαὶ τὸ εἰς ἀνδρὸς εἰσιέναι σῶμα καὶ μὴ εἰς ἄλλο τι, ὡς ἑξῆς ἐρεῖ. Ἡ δὲ Ἀδράστεια μία ἐστὶ καὶ αὕτη θεὸς τῶν μενουσῶν ἐν τῇ Νυκτί, γενομένη ἐκ Μελίσσου καὶ Ἀμαλθείας. Ὁ μὲν οὖν Μέλισσος κατὰ τὴν ἐπιμέλειαν τῶν δευτέρων καὶ πρόνοιαν εἴληπται· ἡ δὲ Ἀμάλθεια κατὰ τὸ ἀκλινὲς καὶ μὴ μαλθάσσεσθαι. Ἐκ τῆς οὖν προνοίας τῆς ἀκλινοῦς γέγονεν ἡ Ἀδράστεια, ἥτις ἀδελφή ἐστι τῆς Εἴδης·

Εἴδη τ' εὐειδὴς καὶ ὁμόσπορος Ἀδρήστεια,

ἡ πάντων ὁμοῦ τῶν νόμων τῶν τε ἐγκοσμίων καὶ ὑπερκοσμίων, τῶν τε εἱμαρμένων καὶ θείων (εἰσὶ γὰρ καὶ θεῖοι νόμοι καὶ χρόνιοι, θεῖοί τε καὶ ὑπερκόσμιοι καὶ ἐγκόσμιοι), ἡ πάντων οὖν τούτων τὰ μέτρα ἐνιαίως ἐν ἑαυτῇ συλλαβοῦσα καὶ συνέχουσα. Αὕτη ἐστὶν ἡ θεὸς Ἀδράστεια διὰ

7 *Rep.* X 614 E sqq. 15 ἑξῆς 248 D ἡ — 162, 11 Ἀμαλθείας = schol. 248 C (p. 270 *Herm.*) ἡ — 162, 14 = *fragm. orph.* 109-110 Abel de Adrastia cf. PROCL. *in Tim.* 323 C qui fere eadem dicit

TIT 11 περὶ καθόδου ψυχῶν καὶ τῆς εἰς γένεσιν εἰσκρίσεως αὐτῶν C 16 τί ἐστιν Ἀδράστεια καὶ γενεαλογία αὐτῆς C 20 ἡ Εἴδη C 21 περὶ Ἀ]δραστείας A

1 τὸ γάρ· καὶ σαφὲς scripsi : τὸν γάρ· A[1] καὶ σαφὲς a : τὸ γὰρ καί· σαφὲς γὰρ M 3 μόνως] μόνον A[a] 10 θεσμὸς, θ rubr. A 12-13 θεᾶσθαι] θεάσασθαι M 14 ψυχαὶ εἰς γένεσιν M 15 δὲ om. schol. 16 καὶ αὕτη om. schol. γενομένη] γενομένου M (jam correxerat AST) 17 ἐπιμέλειαν τῶν δευτέρων καὶ om. schol. 18 εἴληπται] εἴρηται schol. 21 Εἴδη] « *fort.* Ἴδη *leg.* » ABEL Ἀδράστεια M schol. 22 τῶν τε — 24 τούτων om. schol. 23 θεῖοί τε AST : θεοί τε libri 24 μέτρα] κέντρα M, in marg. A[1] ut videtur, DE, ABEL ἐνιαίως om. schol. 25 post συνέχουσα non distinxit ABEL θεὸς om. schol.

[148] τοῦτο κεκλημένη διὰ τὸ τὰ ὑπ' αὐτῆς τεθέντα καὶ νομοθετηθέντα ἀναπόδραστα εἶναι· διὸ καὶ πρὸ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται·

παλάμησι δὲ χάλκεα ῥόπτρα
δῶκεν Ἀδρηστείᾳ·

ἐν τοῖς προθύροις γὰρ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται τοῖς κυμβάλοις, ἵνα πάντα αὐτῆς τῶν νόμων κατήκοα γένηται. Ἔνδον μὲν γὰρ ἐν τῷ ἀδύτῳ τῆς Νυκτὸς κάθηται ὁ Φάνης· ἐν μέσῳ δὲ ἡ Νὺξ μαντεύουσα τοῖς θεοῖς· ἡ δὲ Ἀδράστεια ἐν τοῖς προθύροις πᾶσι νομοθετοῦσα τοὺς θείους θεσμούς. Διαφέρει δὲ τῆς ἐκεῖ Δίκης ὡς νομοθετικὴ δικαστικῆς· καὶ ἡ μὲν ἐκεῖ Δίκη θυγάτηρ λέγεται τοῦ Νόμου τοῦ ἐκεῖ καὶ Εὐσεβείας, αὕτη δὲ ἡ Ἀδράστεια ἐκ Μελίσσου καὶ Ἀμαλθείας οὖσα περιεκτική ἐστι καὶ τοῦ Νόμου. Αὗται δὴ καὶ λέγονται τρέφειν τὸν Δία ἐν τῷ ἄντρῳ τῆς Νυκτὸς, ἄντικρυς τοῦ θεολόγου τοῦτο λέγοντος ὃ καὶ Πλάτων περὶ αὐτοῦ φησι· καὶ γὰρ δημιουργοῦντα αὐτὸν ποιεῖ καὶ διαθεσμοθετοῦντα. Θεσμὸς δὲ ἐνδίδοται μὲν παρὰ τῆς Ἀδραστείας καὶ εἰς τοὺς θεούς (ἡ γὰρ ἐν αὐτοῖς τάξις ἀπὸ ταύτης p. 149 ἐστὶ τῆς θεοῦ), ἐνδί|δοται δὲ καὶ εἰς τοὺς ὀπαδοὺς τῶν θεῶν καὶ κοινῇ πᾶσι καὶ ἰδίᾳ ἑκάστῳ. Ὁ μέντοι Πλάτων ἐνταῦθα οὐ περὶ πασῶν τῶν διαθεσμοθετήσεων καὶ τῶν νόμων προτίθεται λέγειν, ἀλλὰ περὶ τῶν εἰς τὰς ἡμστέρας ψυχὰς καθηκουσῶν, τάξεών τε καὶ διαθεσμοθετήσεων καὶ νόμων. Βούλεται δὲ εἰπεῖν περὶ ὧν τυγχάνει γερῶν ἡ ψυχὴ θεωροῦσα τὰ νρητά, καὶ τρεῖς πτώσεις παραλαμβάνει, τὴν πρὸ τῆς γενέσεως, τὴν ἐν τῇ καθόδῳ καὶ εἰσκρίσει, τὴν εἰς γένεσιν· ὅτι ἡ μὲν, ἐὰν ἐν ἀρχῇ τῆς περιόδου πάλιν ἴδῃ τι τῶν νοητῶν, οὔπω πίπτει εἰς γένεσιν, ἀλλὰ ἀνέρχεται τὴν πᾶσαν περίοδον ὑπὸ τῶν θεῶν· ἡ δὲ μὴ ἰδοῦσα εἰς ἀνδρὸς σῶμα εἴσεισιν, οὐκ εἰς θηρίον ἢ ἄλλο τι· καὶ ταῦτα μὲν τὰ δύο ἐκ τῆς θέας τῶν νοητῶν· λοιπὸν δὲ τρίτη ἐστιν ἡ ἐν αὐτῇ τῇ διεξόδῳ τῆς γενέσεως κατὰ τὴν οἰκείαν αἵρεσιν τῆς ψυχῆς γινομένη, ὅτι ἡ μὲν ἄμεινον διαβιοῦσα ἀμείνονος μοίρας μεταλαγχάνει, ἡ δὲ κάκιον χείρονος. |

f° 61 r° μα'. Ἥτις ἂν ψυχή] 248 C.

Ἥτις ἄν, φησί, ψυχὴ ἀκολουθήσασα τῷ οἰκείῳ θεῷ κατιδεῖν τι

1 jam ediderat GESNER in *Orphicis* : Ἀδράστεια κεκλημένη διὰ τὸ — 8 θεσμούς 12 λέγονται cf. PROCL. *in Tim.* 323 C; APOLLOD. *Bibl.* I 1, 6

NC 1 τοῦτο — διὰ om. schol. 4 Ἀδρηστείᾳ] Ἀδραστείᾳ M ABEL : Ἀδρηστείη GESNER : Ἀδραστείη schol. 5 ἠχεῖν — 7 Νυκτὸς om. GESNER 6 τὰ αὐτῆς M ABEL (jam correxerat HERMANN) 7 ἡ δὲ — 8 θείους om. GESNER 10 θυγάτηρ om. schol. λέγεται εἶναι schol. τοῦ ἐκεῖ Νόμου M ABEL αὐτὴ schol. δὲ om. AM ABEL 12 τοῦτο τοῦ θεολόγου M ABEL 13 φησὶ A 16 ὀπαδοὺς M et id. infra 22 εἰσκρίσει] κρίσει M 25 ἄλλό τι A λοιπὸν] λοιπὴ M 27 γινομένη ex γενομένη A 29 ἥτις, ἥ rubr. A 30 ἄν φησι A[a]

[149] δυνηθῇ τῶν νοητῶν, ἀβλαβὴς μένει πᾶσαν ἐκείνην τὴν περίοδον, τουτέστιν οὐ πίπτει εἰς γένεσιν· τοῦτο γάρ ἐστι τὸ πημανθῆναι, τὸ εἰς γένεσιν πεσεῖν. Ὅρα δὲ πῶς ἀκριβῶς καὶ ἐνταῦθα, ὡς καὶ ἐν τοῖς ἀνωτέρω, τὴν διαφορὰν ἡμῖν τῶν τε θείων καὶ ἀνθρωπικῶν ψυχῶν παρίστησιν· οὐ γὰρ ἁπλῶς εἶπεν « ἐὰν κατίδῃ τι (τουτέστι μερικὸν καὶ ἄτομον) ἐάν τι οὖν ἐν τῇ ἀρχῇ τῆς περιόδου κατίδῃ, ἀβλαβὴς ἄχρι τῆς ἑτέρας περιόδου μένει· » ὁ γὰρ θεσμὸς τῆς Ἀδραστείας τὰς προόδους πάντων καὶ θεῶν καὶ ψυχῶν προκαταλαμβάνει καὶ τὸ προσῆκον ἑκάστῳ ἀποδίδωσιν· ἐὰν οὖν καὶ τὸ τυχὸν κατίδῃ, τηλικοῦτον γέρας ἀπονέμεται αὐτῇ, ὥστε ὅλην τὴν περίοδον ἄνω μένειν καὶ συμπεριπολεῖν τοῖς θεοῖς· ἀνέχει γὰρ αὐτὴν καὶ ἡ οἰκειότης αὐτῆς ἡ πρὸς τὴν περίοδον· ὥσπερ καὶ ἐνταῦθα τὰ μὲν μίαν περίοδον ἡλιακὴν ζῇ, τὰ δὲ δύο, ἄλλα δέ τινα ἡμέραν, διὰ τὸ τῇ τοιᾷδε θέσει τῶν ἄστρων ᾠκειῶσθαι. Καὶ δαίμονες δέ τινες ἀνοχαῖς συνέχουσιν αὐτὴν μὴ πεσεῖν εἰς γένεσιν· ὥσπερ δὴ ὁρῶμεν καὶ ἐνταῦθα τὰ καλῶς φύντα σώματα, κἂν κακῶς διαιτηθῇ, ὅμως ὑγιεινὰ διαμένοντα διὰ τὴν ἐξ ἀρχῆς φύσιν· καὶ μιαράς τινες πράξεις ἐπιχειρήσαντες ποιῆσαι ὑπό τινων ἀγαθῶν δαιμόνων ἐκωλύθησαν αὐτὰς ἐπιτελέσαι· οὕτως οὖν καὶ ἡ ψυχὴ ἡ ἅπαξ θεασαμένη τι τῶν νοητῶν βοηθεῖται καὶ ἀνέχεται ὑπὸ ἀγαθῶν δαιμόνων καὶ ἡρώων, ὥστε μὴ πεσεῖν εἰς γένεσιν ἐν ἐκείνῃ τῇ περιόδῳ.

μβʹ. Ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδῃ] **248 C.**

Πολλὰ αἴτια καταλέγει τῆς ἐπὶ τὴν γένεσιν αὐτῆς φορᾶς· τὴν ἀδυναμίαν αὐτῆς, τὸ μὴ δυνηθῆναι ἐν ἀρχῇ τῆς περιόδου κατιδεῖν τι τῶν νοητῶν. Πρῶτον οὖν ἡ ἀδυναμία τοῦ συνέπεσθαι τοῖς ὀπαδοῖς τῶν θεῶν· δεύτερον τὸ μὴ δυνηθῆναι αὐτὴν ἰδεῖν τι τῶν νοητῶν· τρίτον καὶ ἡ συντυχία· αὕτη δέ ἐστιν ἡ δαιμόνων τινῶν συνάντησις κακοποιῶν, ὡς τὸ εἰκός· ἀποστᾶσα γὰρ τῶν ὀπαδῶν θεῶν περιπίπτει δαίμοσιν οἳ καὶ τὰς ἐπιθυμίας αὐτῆς τὰς περὶ τὴν γένεσιν ἐξάπτουσιν· ὥσπερ δὴ καὶ ἐνταῦθα ὁρῶμεν, ἐν ὅσῳ μὲν συνέπεταί τις τῷ διδασκάλῳ (Σωκράτει φέρε ἢ ἄλλῳ χρηστῷ διδασκάλῳ) κόσμιός τε καὶ ἐπιεικὴς γίνεται καὶ μεταλαμβάνει ἀγαθοῦ τινός· ἐὰν δὲ ἀποστῇ τοῦ διδασκάλου, περιτυγχάνει ἀκολάστοις καὶ ἀναιδέσιν ἀνθρώποις, οἳ αὐτὸν ἐπὶ τὰς ἐναντίας ἐγείρουσιν ἐπιθυμίας. Τέταρτον αἴτιον ἡ λήθη πάντων τῶν νοητῶν καὶ ἡ αὐτῆς ἑτεροποιὸς καὶ γενεσιουργὸς δύναμις βαρυνομένη λοιπὸν καὶ πλήθουσα μὲν τοῦ τῆς λήθης πόματος καὶ ὅσα τῶν τῆς γενέσεως δεσμῶν, ἀποστάσης δὲ καὶ παντελὴς λήθη τῶν νοητῶν. Αὕτη γάρ ἐστιν αὐτῆς ἡ κακία ἡ καὶ ποιοῦσα αὐτὴν

NC 4 ἀνθρωπικῶν A^a : num ἀνθρωπίνων   5 κατίδῃ τί A   13 ἄστρων A^a : ἀστέρων M   ἀνοχαῖς M : ἀνοχεῖς A   16 ποιῆσαι] ποιεῖσθαι M   18 τί A   20 ὅταν, ὅ rubr. A   21 φορᾶς] φθορᾶς M   23 fort. πρῶτον οὖν <αἴτιον>   24 τρίτον] τρίτη M   25 συνάντησις om. M   26 καὶ om. M   27 ὥσπερ] ὥστε M   32 πάντων scripsi : πάντῃ libri   33 πλήθουσα — 35 νοητῶν corruptus locus   34 ἀπόστασις M quod verum videtur

[149] πτερορρυεῖν καὶ ἐπὶ τὴν γῆν φέρεσθαι. — Τὸ δὲ ἐπὶ τὴν γῆν πέσῃ λέγοι
μὲν ἂν γῆν καὶ πᾶσαν τὴν γένεσιν, λέγοι δ' ἂν καὶ τὴν ἰδίως ταύτην γῆν,
λέγοι δ' ἂν καὶ τοῦτο τὸ σῶμα τὸ ἀνθρώπου εἰς ὃ καὶ εἰσέδυ, διὰ τὸ πλεῖσ-
p. 150 τον | γῆς μετέχειν. Ὁ νόμος οὖν ὁ τῆς Ἀδραστείας τοῦτο χαρίζεται τῇ
πρώτως ἀπὸ τοῦ νοητοῦ εἰς γένεσιν πεσούσῃ ψυχῇ τὸ μὴ εἰς θηρίου σῶμα
εἰσιέναι, ἀλλὰ καὶ εἰς ἀνδρός. **Πρώτην** γὰρ **γένεσιν** καλεῖ τὴν μετὰ τὴν
θέαν τοῦ νοητοῦ κατιοῦσαν εἰς γένεσιν ψυχὴν καὶ συμπληροῦσαν τοῦτο τὸ
ζῷον.

μγ'. Ἀλλὰ τὴν μὲν πλεῖστα] 248 D.

Πρῶτον τοῦτο ῥητέον ὡς [ὅτι] διαφέρουσιν οἱ ἐνταῦθα παραδιδόμενοι
ἐννέα βίοι τῶν ἐν Πολιτείᾳ παραδεδομένων. Οὗτοι μὲν γὰρ ἐννέα, ἐκεῖνοι
δὲ ἄπειροι· καὶ ἐκεῖνοι μὲν κατὰ τὰς αἱρέσεις τῆς ψυχῆς ἀπεκληροῦντο,
οὗτοι δὲ κατὰ γέρα καὶ τιμὴν ἀξίως τῆς θέας τῶν νοητῶν ἀπονέμονται·
καὶ ἐκεῖ μὲν ἀπὸ ἀνθρώπου εἰς θηρίον καὶ ἀπὸ θηρίου εἰς ἄνθρωπον ἐγίνετο
ἡ μετάβασις τῇ ψυχῇ, ἐνταῦθα δὲ μόνως εἰς ἄνθρωπον καὶ τοῦτον εἰς
ἄνδρα (οὐ γὰρ εἰς γυναῖκα)· καὶ τό γε μέγιστον ὅτι ἐνταῦθα μὲν πρώτως
ἀπὸ τοῦ νοητοῦ εἰς γένεσιν εἴσεισιν ἡ ψυχή, ἐκεῖ δὲ καὶ ἀπὸ ἄλλου βίου |
f° 61 v° εἰς ἄλλον βίον. Καὶ ὅλως λεπτουργῶν πολλὰς ἂν εὕροις διαφορὰς τούτων
τε κἀκείνων· ἔτι δὲ καὶ τοῦτο ἀναγκαῖον ὂν μνημονεύσωμεν, ὅτι ἐνταῦθα
αὐτὰ τὰ εἴδη τῶν ζῴων ἐκτίθεται, οὐ πάντως καὶ τὰς τύχας καὶ τὰς ἐκτὸς
περιστάσεις, οἷον στρατιωτικὸν ἢ βασιλικόν, οὐ πάντως τὸν ἐν ὅπλοις ἐξε-
ταζόμενον καὶ τοιᾷδε τύχῃ χρώμενον, ἀλλὰ τὸν εἶδος ζωῆς τοιόνδε προ-
βεβλημένον, ὡς καὶ ἐν φιλοσόφῳ φέρε τὸ εἶδος τῆς στρατιωτικῆς ζωῆς
ἐμφαίνεσθαι· ἐν δὲ Πολιτείᾳ καὶ αὐτὰς τὰς τύχας αἱρεῖσθαί φησι καὶ
ἀποδίδοσθαι αὐταῖς. Λοιπὸν δὲ τοῦτο ζητητέον πότερον ὅλον τὸ πλάτος τῆς
ζωῆς εἰς τούτους τοὺς ἐννέα βίους κατατέτμηται, ἢ ὑπολέλειπταί τις ἄλλη
ἔξωθεν διαίρεσις, ἥτις ἡμῖν δέκα ἢ πλείους ποιήσει τοὺς βίους· τὸ γὰρ
αὐτὸ πρᾶγμα κατ' ἄλλας καὶ ἄλλας ἐπιβολὰς δυνατὸν εἰς πλείω καὶ ἐλάτ-
τονα τεμεῖν· ὡς ἐν Φιλήβῳ μὲν τρεῖς τοὺς βίους, ἐν Πολιτείᾳ δὲ πέντε.
Ἡμῖν δὲ ἐπιδεικτέον ὅτι νῦν πᾶν τὸ πλάτος τῆς ζωῆς εἰς τούτους τοὺς
ἐννέα βίους κατανενέμηται. Τεσσάρων οὖν τούτων περὶ τὸν ἄνθρωπον θεω-
ρουμένων, λόγου, θυμοῦ, ἐπιθυμίας, φύσεως, ἡ ψυχὴ ἡ κατελθοῦσα εἰς

11 *Rep*. VIII 544 D, X 618 A 29 *Phil*. pass. *Rep*. X 618 A

TIT 10 οὗτοι οἱ ἐννέα βίοι τί διαφέρουσι τῶν ἐν Πολιτείᾳ βίων C
31 πῶς ἐκ διαιρέσεως δείκνυσιν ὅλον τὸ πλάτος τῆς ζώης εἰς τούτους βίους κα-
τατέτμηται (leg. κατατετμῆσθαι) C

NC 9 ἀλλὰ, ἀ rubr. A 10 ὅτι seclusi 11 παραδιδομένων M 12 δὲ
om. M ἀπεκληροῦντο] ἀποκληροῦνται M 16 γυναῖκας M 22 τὸν] τὸ
M 24 δὲ om. M αὐτὰς scripsi dubitanter : ἀλίτας libri φησὶ A
28 δυνατὸν] δύναται A[a] 30 ἐπιδεικτέον] ἀποδεικτέον M

[150] γένεσιν ἢ κατὰ λόγον μόνον ζῇ, μηδὲν προσποιουμένη τὰ πάθη μηδέ τι ἐξ αὐτῶν πάσχουσα, καὶ ποιεῖ τὸν πρῶτον βίον τὸν φιλόσοφον· ἢ κατὰ θυμὸν ζῇ κρατοῦντος τοῦ λόγου, καὶ ποιεῖ τὸν δεύτερον βίον τὸν βασιλικὸν καὶ πολεμικόν· ἢ κατὰ ἐπιθυμίαν ζῇ κρατοῦντος πάλιν τοῦ λόγου, καὶ ποιεῖ τὸν τρίτον βίον τὸν πολιτικὸν καὶ χρηματιστικόν (οὗτος γὰρ τὰς ἀναγκαίας τροφὰς περιποιεῖ τῷ ζῴῳ καὶ τῇ πόλει)· ἢ πάλιν περὶ τὴν φύσιν στρέφεται τοῦ λόγου ἐπιστατοῦντος, καὶ ποιεῖ τὸν γυμναστικὸν καὶ ἰατρικόν· περὶ γὰρ τὴν φύσιν καὶ τὰ σώματα οὗτος ἀναστρέφεται ἐπιμελούμενος αὐτῶν καὶ ἰώμενος. Ἐπειδὴ οὖν εἰς τὸ πέρας τῆς κατὰ φύσιν προόδου τῆς ζωῆς κεχωρήκαμεν, λοιπὸν ὁ πέμπτος βίος ὁ τελεστικός, ἰδίαν οὐκ ἔχων δύναμιν, ἐπιστρέφει εἰς τοὺς θεούς, καὶ ἐκεῖθεν βοήθειάν τινα τοῖς πρὸ ἑαυτοῦ βίοις πορίζεται· μαντικὸν δὲ καὶ τελεστικὸν λαμβάνει οὐ τὸν ἐνθουσιαστικόν (οὗτος γὰρ καὶ φιλόσοφός ἐστιν ἄκρως καὶ ἐπιστήμων καὶ τὸ ὅλον θεῷ κάτοχος), ἀλλὰ τὸν τεχνικὸν τοῦτον καὶ ἱερατικόν, ὃς διὰ θυσιῶν καὶ εὐχῶν ἐπικουρίαν τινὰ τοῖς ἀνθρώποις πορίζει. Καὶ οὗτοι μέν εἰσιν οἱ πέντε βίοι οἱ κατὰ λόγον ἐπιτελούμενοι ὀρθὸν καὶ τοῖς περὶ τὸ θεῖον ἀπεικασμένοι· καὶ γὰρ ἕκαστος τῶν θεῶν καὶ μένει καὶ πρόεισι καὶ ὑποστρέφει· καὶ ἐνταῦθα οὖν ἢ μένει ἐν τῷ λόγῳ καὶ ποιεῖ τὸν φιλόσοφον, ἢ πρόεισιν ἄχρι φύσεως καὶ ποιεῖ τοὺς ἄλλους τρεῖς, ἢ ὑποστρέφει εἰς τοὺς θεοὺς καὶ ποιεῖ τὸν πέμπτον. Τῶν δὲ λοιπῶν τεσσάρων βίων τῶν μιμητικῶν καὶ εἰδωλικῶν τῶν πρὸ αὐτῶν, οἱ μὲν δύο ὅ τε ἕκτος καὶ ὁ ἕβδομος ἀληθῶς μιμοῦνται τοὺς πρὸ αὐτῶν, ὁ μὲν διὰ λόγων, ὁ δὲ δι' ἔργων, ὁ δὲ ὄγδοος καὶ <ὁ> ἔνατος ἀνομοίως μιμοῦνται καὶ ἐπὶ τὸ χεῖρον, ὁ μὲν διὰ λόγων, ὁ δὲ δι' ἔργων· ὥστε οἱ λοιποὶ τέσσαρες μιμητικοί εἰσι τῶν πρὸ αὐτῶν, ἀλλ' οἱ μὲν δύο ἀληθῶς μιμοῦνται, οἱ δὲ δύο ἀνομοίως· ὁ μὲν ἕκτος | p. 151 καὶ <ὁ> ἕβδομος ἀληθινοὶ μιμηταὶ ὄντες ταύτῃ διαφέρουσιν ὅτι ὁ μὲν διὰ λόγων μιμεῖται καὶ φιλόσοφον <καὶ> βασιλέα καὶ τοὺς λοιπούς, καὶ ταύτῃ τοὺς ἀνθρώπους παιδεύει, ὁ δὲ ἕβδομος δι' ἔργων (τοιοῦτος γὰρ ὁ δημιουργικός)· ὁ δὲ ὄγδοος καὶ <ὁ> ἔνατος ἀνομοίως μιμοῦνται, ὁ μὲν διὰ λόγων πάλιν, ὁ δὲ δι' ἔργων. Ποιητικὸν δὲ λαβὲ πάντα τὸν μιμητικόν, ἐν οἷς καὶ τὸν ζωγράφον· οὓς καί φησιν ἐν Πολιτείᾳ τρίτους εἶναι ἀπὸ τῆς ἀληθείας· δημιουργικὸν δὲ τὸν εἰς οὐσίαν τι ἄγοντα ἀπὸ τοῦ μὴ ὄντος, οἷον τέκτονας,

32 *Rep.* X 597 E

TIT 32 ὁ ζωγράφος τρίτος (cod. τρία) ἀπὸ τῆς ἀληθείας C

NC 12 τινὰ A 13 ἄκρως] ἄκρος M 14-15 ἱερατικὸν] ἰατρικὸν M 21 τῶν μιμητικῶν scripsi : μιμητικῶν τῶν A : μιμητικῶν M (ἴσως τόν E in marg.) 23 ὁ δὲ ὄγδοος — 24 δι' ἔργων om. M ὁ addidi; sic et 26 et 30 26 μὲν] δὲ M 28 καὶ addidi ante βασιλέα 30 ἔννατος M 31 λάβε A cf. 158, 10 32 φησὶν A ἐν τῇ Πολιτείᾳ M 33 τὶ A ἀπὸ litt. α male depicta in A

[151] πλάστας, σκυτοτόμους, καὶ ὁ γεωργὸς δὲ καθὸ ἐπιμελεῖται τῆς φύσεως ὅπως ἂν ὑγιὲς καὶ ὡς ἄριστον φύῃ· σοφιστικὸς δὲ καὶ δημοκοπικὸς ταύτῃ διαφέρουσιν ὅτι ὁ μὲν σοφιστὴς διδάσκαλος βούλεται εἶναι νόμων καὶ ἀρετῆς, ὁ δὲ δημοκόπος ῥητορεύειν ἐν πλήθει· σοφιστικὸν δὲ καὶ τυραννικὸν μὴ τοὺς διαστρόφους ἤδη λάβωμεν, ἀλλὰ καὶ τοὺς ἐπὶ ἀγαθῷ χρωμένους, τὸν μὲν τῇ ἀπάτῃ, τὸν δὲ τῇ βίᾳ· ἔστι γὰρ αὐτοῖς καὶ εὖ καὶ κακῶς χρήσασθαι, ὡς καὶ αὐτὸς ἐπάγει. |

f° 62 r° μδ΄. Ἐν δὴ τούτοις ἅπασι] 248 E.

Τοσοῦτοι μὲν οὖν καὶ τοιοῦτοι οἱ ἐννέα βίοι· δεῖ δὲ ἑκάστῳ προσυπακούειν τὸ πλεῖστα ἰδοῦσα, ἵν' ᾖ· ἡ μὲν πρώτως πλεῖστα ἰδοῦσα εἰς τόδε ἢ τόδε εἴσεισιν, ἡ δὲ δευτέρως πλεῖστα ἰδοῦσα εἰς τόδε, ἡ δὲ τρίτως πλεῖστα ἰδοῦσα εἰς τόδε, καὶ ἐφεξῆς οὕτως. Διὸ καὶ οἱ μὲν πρῶτοι τέσσαρες βίοι πλατυτέρας ἔχουσι τὰς αἱρέσεις· ἀπὸ γὰρ τριῶν ἐστιν ἑκάστη· οἱ δὲ ἐφεξῆς τέσσαρες στενοτέρας· ἀπὸ γὰρ δύο· μόνη δὲ ἡ ἐνάτη ἀπεστενωμένον καὶ ἕνα καὶ τυραννικόν. Ἴσως δὲ ἄχρι τοῦ ἐννέα διὰ τοῦτο προέβη ἐπειδὴ καὶ ἡ αὔξησις τοῦ ἀριθμοῦ μέχρι τοῦ ἐννέα πρόεισι. Λοιπὸν δὲ ἀνθρωπίνῃ διανοίᾳ συλλογισώμεθα ὁποῖα τῶν νοητῶν θεασαμένη εἰς τὸν πρῶτον ἢ τὸν δεύτερον βίον κάτεισι καὶ τοὺς ἐφεξῆς. Ἡ μὲν οὖν τὸ καλὸν καὶ τὸ σοφὸν καὶ τἀγαθὸν θεασαμένη, ἐπειδὴ διὰ ταῦτα ἀπὸ τῶν πρωτίστων ἀρχῶν ἀρξαμένη μέχρι τῶν ἐσχάτων δίεισιν, εἰς τὸν πρῶτον βίον κάτεισιν· διὸ καὶ εὔλογον τὴν μὲν τὸ σοφὸν θεασαμένην τὸν φιλόσοφον αἱρεῖσθαι βίον, τὴν δὲ τὸ καλὸν τὸν φιλόκαλον, ὃν διαιρεῖ διχῇ εἰς τὸν μουσικὸν καὶ ἐρωτικόν· ἢ γὰρ δι' ὀμμάτων τὸ καλὸν ἢ δι' ἀκοῆς δεχόμενοι τοῦ νοητοῦ κάλλους ἀναμιμνησκόμεθα· πᾶσι δὲ ἡ ἀναγωγὴ ἐπὶ τἀγαθόν. Ἡ δὲ τὰ γένη τοῦ ὄντος θεασαμένη τὸν δεύτερον αἱρεῖται βίον· καὶ γὰρ ἑδράζει πάντα ὁ βασιλεύς, ὃ ἀναλογεῖ τῇ στάσει (παρὸ καὶ [ὁ] βασιλεὺς εἴρηται παρὰ τὴν βάσιν καὶ τὸ ἑδραῖον καὶ τὸ βεβηκέναι ἐπ' αὐτοῦ τὰ πράγματα)· καὶ κινεῖ [γὰρ] πάντα διατάττων καὶ διακοσμῶν ἕκαστα, ὃ ἀναλογεῖ τῇ κινήσει· καὶ φιλίας καὶ ἑνώσεως πᾶσι μεταδίδωσι διὰ τῶν κοινῶν νόμων, ὅ ἐστι τῆς ταυτότητος· διαιρεῖ δὲ ἕκαστα καὶ ἀναστέλλει τὰ πολέμια καὶ λυμαντικά, ὅ ἐστι τῆς ἑτερότητος ἔργον· καὶ κρατεῖ πάντων, διὸ καὶ πολεμικὸς καὶ ἀρχικὸς εἴρηται· ὡς δὲ πάντα εἶναι ποιῶν, ἆρ' οὐκ ἂν ῥηθείη κατὰ τὴν οὐσίαν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἕκαστα ἄγων; Ἡ δὲ τὰ γένη τοῦ ὄντος μερικώτερον καὶ οὐκέτι ὁλικῶς θεασαμένη ἢ καὶ τὴν αὐτοδικαιο-

NC 3 εἶναι βούλεται M 8 ἐν rubr. A ἅπασιν Plat. 11 ἢ τόδε om. M 13 ἑκάστη Ast. 14 ἐνάτη A[a] : ἐννάτη M ἐπεστενωμένον M; locus corruptus; fort. ἀπεστενωμένην εἰς ἕνα τὸν τυραννικόν 15 προέβη a 19 διὰ addidit A[1] supra versum 20 βιόον (sic) a 22 τὸν φιλόκαλον] τὸ φιλόκαλον A[a] 23 τὸν ἐρωτικόν M ἢ γὰρ] ἡ γὰρ M (jam correxerat Ast.) 26 ὁ seclusi 27 ἐπ'] ἀπ' M 28 γὰρ seclusi 29 μεταδίδωσι om. M : « *desideratur verbum... ni fallor* αἴτιος » Ast. 30 ταυτότητος] τάξεως A[a] corr. in marg. a 34 οὐκέτι] οὐχ αὐτὰ A[a]

151] σύνην ποιεῖ τὸν τρίτον βίον· περὶ γὰρ τὸ δίκαιον μᾶλλον ἀναστρέφονται οἱ ἐν τῷ τρίτῳ βίῳ παραληφθέντες. Ἡ δὲ τὴν αὐτοϋγίειαν καὶ τὸ αὐτόσωμα θεασαμένη ποιεῖ τὸν τέταρτον. Ἡ δὲ τοὺς ἀναγωγοὺς θεοὺς τὸν μαντικὸν ἢ τελεστικόν. Οἱ δὲ λοιποὶ τέσσαρες τὴν αὐτοομοιότητα καὶ ἀνομοιότητα θεῶνται· ἀλλ' οἱ μὲν πρῶτοι μᾶλλον τὴν ὁμοιότητα, οἱ δὲ τελευταῖοι τὴν ἀνομοιότητα. Πάσαις δὲ σχεδὸν ταῖς τομαῖς ἐχρήσατο ὁ Πλάτων· καὶ γὰρ διεῖλεν εἰς τρία καὶ τέσσαρα καὶ ἕν, καθὸ τοὺς μὲν πρώτους τέσσαρας τριαδικῶς προηνέγκατο, τοὺς δὲ λοιποὺς τέσσαρας δυαδικῶς, καὶ τὸν τελευταῖον μοναχῶς διεῖλε· καὶ εἰς πέντε καὶ τέσσαρα, καθὸ τοὺς μὲν πρώτους πέντε τῇ αὐτῇ πτώσει προηνέγκατο εἰπὼν « πρώτην, δευτέραν, τρίτην, τετάρτην, πέμπτην, » ἐν δὲ τοῖς ἐφεξῆς ἐνήλλαξε τὴν πτῶσιν, κατὰ δοτικὴν εἰπὼν « ἕκτῃ » καὶ « ἑβδόμῃ » καὶ ἐφεξῆς· καὶ εἰς ὀκτὼ καὶ ἕν, καθὸ τοὺς μὲν ἄλλους πάντας διὰ πλειόνων ἐξέθετο, τὸν
p. 152 δὲ τελευταῖον | δι' ἑνός. Ἐὰν δὲ καὶ τρεῖς τριάδας ποιήσωμεν τὴν μὲν πρώτην δίιον εὑρήσομεν· φιλόσοφος γὰρ καὶ βασιλεὺς ὁ Ζεὺς καὶ δὴ καὶ ἄριστος πολιτικὸς τοῦ κόσμου· εὑρεθεῖεν δ' ἂν καὶ ἄλλοι θεοὶ ὑπὸ ταύτην τελοῦντες τὴν τριάδα, οἷον καὶ Ἀθηνᾶ διὰ τὸ φιλόσοφον καὶ πολεμικὸν καὶ Ἄρης καὶ Ἥρα διὰ τὸ βασιλικόν. Τὴν δὲ δευτέραν τριάδα ἀπολλωνιακὴν ἂν εἴποιμεν καὶ μαντικῆς καὶ ποιητικῆς· μουσηγέτης γοῦν λέγεται, πάλιν καὶ Ἑρμοῦ δυναμένου ἐνταῦθα ὑπάγεσθαι διὰ τὸ ἀγωνιστικόν. Τὴν δὲ τρίτην τριάδα Ἡφαιστιακὴν ἂν εἴποιμεν· ὁ γὰρ περὶ τὸ φαινόμενον καὶ τὴν δημιουργίαν ἀναστρεφόμενος ὁ δεσπότης ἐστὶν Ἥφαιστος, τὰς ἐγκοσμίους ἕδρας τοῖς θεοῖς προευτρεπίζων. Ταῦτα μὲν οὖν οὕτως ἡμεῖς διεταξάμεθα· εἰ δέ τινες ἢ τὸν ἡνίοχον καὶ τοὺς δύο ἵππους τρεῖς ὄντας τριπλασιάζωσιν, ἢ καὶ τὰς τρεῖς ὁλότητας τριπλασιάζωσι, τὴν πρὸ τῶν μερῶν, τὴν ἐν τῷ μέρει, τὴν <ἐκ τῶν μερῶν> καὶ οὕτως οἴονται ποιεῖν ἐννέα τοὺς βίους, οὐχ ὁρῶ πῶς ἂν ἑαυτοῖς ἢ τῷ Πλάτωνι συμφωνήσαιεν.

με'. Ὃς δ' ἂν ἀδίκως χείρονος] 248 E.

Εἰπὼν περὶ τῶν βίων καὶ τῶν γερῶν τῶν πρὸ γενέσεως τῶν ἀπονεμομένων ταῖς ψυχαῖς ταῖς ἐκ τοῦ νοητοῦ κατιούσαις εἰς γένεσιν, βούλεται λοιπὸν καὶ περὶ αὐτῆς τῆς ἐν τῇ γενέσει διεξαγωγῆς τῆς ψυχῆς διαλεχθῆναι

NC 2 αὐτοϋγείαν M αὐτοσῶμα A 3 μαντικὸν M : μάντιν A 9 τὸν] ἓν M 10 πρώτην add. s. v. A[1], deest ap. Plat. (τὴν μὲν κτλ.) 12 πτῶσιν ex πρῶσιν A 14-15 τὴν μὲν πρώτην] τὸν μὲν πρῶτον M 17-18 Ἀθηνᾷ M Ἄρεϊ. Ἥρᾳ libri : hæc, non illud correx. Ast 19 <τὴν ἰατρικῆς> καὶ μαντικῆς (?) 20-21 ἀγωνιαστικὸν M 25 τριπλασιάζωσι posteriore loco — 26 καὶ om. M; bis legendum, opinor, τριπλασιάζουσι 26 ἐκ τῶν μερῶν supplevi ex 90, 10; spatium 9-10 litt. vacuum in A; nulla lacuna in E 27 οὐχ ὁρῶ] οὐ χωρῶ M (jam correxerat Ast) 29 ὅς, ὃ rubr. A χείρονος] χεί (sic) A (unde ἔχει E[2]) 30 γερῶν] γενῶν M

[152] ἐπὶ βραχὺ, κατὰ τὰ ἐν τῇ Πολιτείᾳ εἰρημένα, ὅτι ἡ μὲν δικαίως καὶ ὁσίως διαζήσασα τὸν τῇδε βίον ἀμείνονος μοίρας μεταλαγχάνει, ὃς δ' ἂν ἀδίκως χείρονος. Βούλεται δὲ καταγαγὼν τὴν ψυχὴν πάλιν αὐτὴν ἀναπέμψαι ἐπὶ τὸ νοητὸν, καί φησιν ὅτι πᾶσα μὲν ψυχὴ ἐπὶ τὸ νοη-
f°62 v° τὸν ἀποκαθίσταται διὰ μυρίων ἐτῶν | οἷαι καὶ αἱ τῶν πολλῶν ψυχαὶ, ἡ δὲ τοῦ φιλοσόφου καὶ διὰ τρισχιλίων ἐτῶν. Ἐπειδὴ δὲ περιόδων ἐμνήσθη τῆς μυριετοῦς καὶ τῆς τρισχιλιετοῦς, καὶ ἔτι τῆς ἀπὸ γενέσεως ἐπὶ γένεσιν τῆς χιλιετοῦς, πρότερον τὸ μαθηματικὸν αὐτὸ ἐκθώμεθα· εἶθ' οὕτως τί βούλεται παραστῆσαι ζητήσωμεν. Ὥρισεν ἐν τῇ Πολιτείᾳ τὸ μέτρον τῆς τοῦ ἀνθρώπου ζωῆς ἑκατὸν ἐτῶν, τετράγωνον ἀριθμὸν ἀπὸ τοῦ δέκα τοῦ πάντα τὰ εἴδη ἐν ἑαυτῷ περιέχοντος τῶν ἀριθμῶν· ἔπειτα πολλαπλασιάσας τῷ δέκα τὸν ἑκατὸν, καὶ ποιήσας κύβον τὸν χίλια ὡς χθόνιον καὶ οἰκεῖον τῇ γῇ ἀπένειμεν αὐτὸν, καὶ ἔφατο τὴν ὑπὸ γῆς πορείαν τῇ ψυχῇ, τουτέστι τὴν ἀπὸ γενέσεως ἐπὶ γένεσιν, χιλιετῆ εἶναι, ἵνα καὶ δεκαπλασία τῶν αὐτῇ ἡμαρτημένων ἢ εὖ πεπραγμένων ἡ ἔκτισις γένηται. Ἔτι δὲ καὶ τοῦτο προληπτέον· δεῖ τὴν μέλλουσαν ἀποκατασταθῆναι ψυχὴν φιλόσοφον αἱρεῖσθαι βίον, ἵν' οὕτως ἀναχθῇ· καὶ οὗτος ὁ ἀποκαταστατικὸς βίος, ὃν ζήσασα φιλοσόφως καὶ λιποῦσα τὸν βίον λοιπὸν ἀνάγεται. Ἔστω τοίνυν ψυχὴ ζήσασα τοὺς ἐννέα τούτους βίους, ζησάτω δὲ λοιπὸν μετὰ τούτους καὶ ἕνα τὸν ἀποκαταστατικὸν, ὡς εἴρηται· συνάγονται δέκα βίοι· ἐπειδὴ οὖν ἡ ὑπὸ γῆν ἑκάστου πορεία χιλιετής ἐστι, δεκάκις τὰ χίλια συνάγει τὰ μύρια ἔτη. Ἐπειδὴ δὲ καὶ τρίτον δεῖ φιλοσοφῆσαι τὸν ἀποκαθιστάμενον, ὡς λέγει, πάλιν τρὶς τὰ χίλια γίνονται τρισχίλια· ἴσως τοῦτο καὶ ἐκ τῆς ἱστορίας εἰληφώς· οὕτως γὰρ καὶ ὁ Τρισμέγιστος Ἑρμῆς ἐπεκλήθη, ὡς τρὶς ἐνταῦθα φιλοσοφήσας καὶ τὸ τρίτον ἑαυτὸν ἐπιγνούς· καὶ ὁ Πίνδαρος·

ὅσοι μὲν ἐτόλμασαν ἐς τρὶς
ἑκατέρωθεν ἀπὸ πάμπαν ἀδίκων ἔργων σχεθέμεν
ψυχὰν, ἔστειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν.

Τὸ μὲν οὖν μαθηματικὸν τοιοῦτον ὡς εἴρηται. Καὶ συνελόντι εἰπεῖν τῷ τρία καὶ τῷ δέκα πολλαπλασιάζει τὸν χίλια, τὴν ὑπὸ γῆν πορείαν, τουτέστι

1 *Rep.* X 614 E 9 *Rep.* X 615 A 25 *Ol.* II 68 (123) sqq.

TIT 5 διὰ μυρίων ἐτῶν C 6 διὰ τρισχιλίων C 9 τί δηλοῖ τὸ μύρια καὶ τρισχίλια C

NC 2 μεταλαμβάνει Plat. 4 φησὶν A 5 ψυχαὶ om. M 6 περιόδου M 9 ζητήσομεν (?) ὥρισεν <οὖν> (?) 17 ἵν' — 18 βίον om. M 19 τούτους om. M 21 ὑπὸ γῆν, cf. l. 13 δεκάκι A 26 μὲν] δ' M Pind. 27 ἑκαθέρωθεν] ἑκαθέρωθι M : ἑκατέρωθι μείναντες Pind. (præter cod. O Mommseni) ἔργων σχεθέμεν] ἔχειν Pind. 28 ἔτειλαν Pind. cod. X (*Par.* 2709) edd. (στείλεται παρὰ Κρόνου τύρσιν Olymp. *in Phædon* p. 91, 23 Finckh)

[152] τὴν ἀπὸ γενέσεως εἰς γένεσιν, καὶ ποιεῖ τόν τε τρισχίλια καὶ τὸν μύρια. Τί οὖν βούλεται διὰ τούτων αἰνίττεσθαι λοιπὸν ὁ Πλάτων; Ῥητέον, φησίν, ὅτι τελειότητός τινός ἐστι σύμβολον ὅ τε τρισχίλια καὶ ὁ μύρια· οὐ γὰρ p. 153 ὡς δοκεῖ ἐμφαίνειν τὸ μαθηματικὸν οὕτω λέγει· ἦ | γὰρ ἂν πᾶσα ψυχὴ διὰ μυρίων ἐτῶν ἀποκαθισταμένη καὶ ἔρημον ἂν ἐποίησε τὸν τῇδε κόσμον ψυχῶν· ἀλλ' ἀδύνατον ἀεὶ ἕνα βίον ἀληθῶς φιλοσοφήσασαν ἀποκατασταῆναι καὶ τρισμυρίους φιλοσοφήσασαν ἐμπαθῶς καὶ δολίως μὴ ἀποκατασταῆναι. Δηλοῖ δὲ καὶ ὁ Ἀρδιαῖος ἐν τῇ Πολιτείᾳ πολλὰς χιλιάδας ἐτῶν ποιήσας ὑπὸ γῆν καὶ μὴ δυνάμενος ἐκ τοῦ στομίου ἀνελθεῖν, τῶν ἄλλων ἀνιουσῶν ψυχῶν. Ἢ οὕτως· οὐ τὸ μαθηματικὸν καὶ ἀριθμητικὸν τῶν ἐτῶν πλῆθος βούλεται δηλοῦν ὁ Πλάτων, ἀλλὰ μέτρα τελειοτήτων καὶ βαθμοὺς βούλεται ἡμῖν σημαίνειν πρώτων τε καὶ μέσων καὶ τελευταίων. Ἐπειδὴ γὰρ αἱ μὲν θᾶττον ἀποκαθίστανται τῶν ψυχῶν, αἱ δὲ βραδύτερον, ἐπειδὴ καὶ αἱ μὲν ὀλίγης καθάραεως δέονται, αἱ δὲ πλείονος, καί ἐστιν ὁ μὲν τρία ὡς ἐν ἐλάττονι ἀριθμῷ τέλειος ἀρχὰς καὶ μέσα καὶ τέλος ἔχων, ὁ δὲ δέκα πάλιν καὶ αὐτὸς τέλειος κατ' ἄλλο εἶδος γινόμενος πάντας τοὺς ἀριθμοὺς ἐν ἑαυτῷ περιέχων, καὶ ἔστιν ὁ μὲν τρία ἀνάλογον τῷ τρισχίλια, ὁ δὲ δέκα τῷ μύρια (μονὰς γάρ τις ἑκάτερος αὐτῶν καὶ περιεκτικὸς πάντων ἀριθμῶν), διὰ τοῦτο τῷ τρισχίλια καὶ τῷ μύρια ἐχρήσατο, δηλῶν ὅτι αἱ μὲν φιλοσοφήσασαι τελείως δι' ἐλάττονος χρόνου ἀποκαθίστανται εἰς τὸ νοητόν, ἅτε οὐδεμιᾶς ἢ ὀλίγης καθάρσεως δεόμεναι, αἱ δὲ πολλαὶ διὰ πλείονος χρόνου ἀποκαθίστανται, ἅτε πολλῆς κολάσεως καὶ καθάρσεως χρῄζουσαι. Καὶ ὁ χίλια δὲ μέτρον τι δηλοῖ τελειότητος τῆς ὑπὸ γῆν καθαιρομένης ψυχῆς, ὃ ἔχουσα ἔρχεται πάλιν εἰς γένεσιν, καὶ πάλιν ἐνταῦθα ἢ εὖ ἢ κακῶς διαζήσασα τυγχάνει ὑπὸ γῆν τῆς ὀφειλομένης τελειότητος· ὥστε οὐ πάντως τὸ τοσοῦτον πλῆθος τῶν ἐτῶν δηλοῦσιν αἵδε αἱ περίοδοι, ὡς πάντως διὰ τοσούτου χρόνου ἀποκαθισταμένων τῶν ψυχῶν, ἀλλὰ συμβολικῶς τελειό- f. 63 r τητός τι οἰκεῖον μέτρον δηλοῦσιν, ὃ τὸ προσῆκον ἀπολαβοῦσα | ἡ ψυχὴ καὶ τὴν ἑαυτῆς σχοῦσα τελειότητα ἀποκαθίσταται.

μϛ'. Αἱ δὲ ἄλλαι ὅταν τὸν πρῶτον βίον] 249 A.

Πρῶτον μὲν βίον λέγει, ὃν νεωστὶ κατελθοῦσα ἀπὸ τοῦ νοητοῦ ἡ ψυχὴ διαζῇ ἐνταῦθα. Ἐπειδὴ δὲ κρίσις ὡς ἐν πλάτει τριττή ἐστι, περὶ τῆς μέσης λέγει ἐνταῦθα. Ἔστι γὰρ πρώτη μὲν κρίσις ἡ αὐτῷ τῷ Διὶ σὺν Αἰακῷ,

8 *Rep.* X 615 DE

TIT 32 τριττὴ (cod. διττὴ sed cf. NC) ἡ κρίσις C

NC 2 αἰνίττεται M φασίν vel [φησίν]? 3 τινος ἔστι A 4 ἦ] ἢ M 6 φιλοσοφήσασαν] φιλοσοφήσας M 7 καὶ τρισμυρίους — ἀποκαταστῆναι om. M 13 θᾶττων M 14 ὡς om. M 15 ἀριθμῷ] ἀριθμὸς M 26 τὸ om. M 30 αἱ rubr. A 32 τριττή] διττή MC cf. quæ sequuntur 33 αὐτῷ τῷ Διὶ] fort. αὐτοῦ τοῦ Διὸς legendum, nisi malueris αὐτῷ τῷ Διὶ συν <οὖσα καὶ> Αἰακῷ

[153] ἥτις οὐσιοποιός ἐστι, διακρίνουσα τὰς ψυχὰς ἀπ' ἀλλήλων, καὶ τὰς μὲν οὐρανίας, τὰς δὲ δαιμονίας, τὰς δὲ ἀνθρωπικὰς ποιοῦσα, ἥτις εἰς ταὐτὸν τῇ κατ' οὐσίαν ἑτερότητι τῶν ψυχῶν συντρέχει. Δευτέρα δ' ἐστὶ κρίσις ἥτις τῷ Μίνωι καὶ Ῥαδαμάνθυι καὶ τοῖς ἐν ἐκείνῳ τῷ τόπῳ δικασταῖς τοῖς ἐν τῇ τριόδῳ, τουτέστι τῷ φάσματι, σύνεστιν, ἡ διακρίνουσα τὰς καθαρὰς τῶν ψυχῶν ἀπὸ τῶν ἀκαθάρτων, καὶ τὰς μὲν εἰς οὐρανὸν, τὰς δὲ εἰς τὰ ὑπὸ γῆν δικαιωτήρια πέμπουσα καθαρθησομένας, περὶ ἧς νῦν διαλέγεται. Τρίτη δέ ἐστι κρίσις ἡ αὐτῷ τῷ Πλούτωνι καὶ τοῖς ἐν Ἅιδῃ καθαρτικοῖς θεοῖς συνοῦσα, ἥτις ἀποκαθαίρει τὰς ἐκ τῆς γενέσεως κηλῖδας τῶν ψυχῶν, καὶ τὸ ἀλλότριον ἀπὸ τοῦ οἰκείου τῶν ψυχῶν διακρίνουσα καθαρὰν αὐτῶν τὴν οὐσίαν ποιεῖ. Περὶ τῆς μέσης οὖν κρίσεως ἐνταῦθα διαλέγεται, ἥτις τὰς μὲν εἰς οὐρανὸν, τὰς δὲ εἰς τὰ ὑπὸ γῆν δικαιωτήρια πέμπει· μετὰ δὲ τὴν κρίσιν ἡ Δίκη τὸ κατ' ἀξίαν ἑκάσταις ἀπονέμει, τῆς Δίκης ἰσαχῶς τῇ κρίσει λεγομένης.

μζ'. Ἔνθα καὶ εἰς θηρίου βίον] 249 B.

Ὅτι ἡ ἀνθρώπου ψυχὴ οὐκ εἰσδύεται εἰς τὸ θήρειον σῶμα πολλάκις εἴρηται ἡμῖν· ἀλλ' ὅτι τῇ ἀλόγῳ ψυχῇ τοῦ θηρίου συνεπιπλέκεται ἡ λογικὴ ἡ τοῦ ἀνθρώπου, καὶ οὕτως μετ' αὐτοῦ τοῦ θηρίου δοκεῖ ἓν ζῷον συμπληροῦν. Ζητητέον δὲ πῶς εἶπεν ἐν τῇ δευτέρᾳ αἱρέσει τοῦ βίου, ὅτι καὶ ἐκ θηρίου πάλιν εἰς ἄνθρωπον εἴσεισιν· οὐ γὰρ πρῶτον ἦν θηρίον γενομένη· εἰ γὰρ ἐκ τοῦ νοητοῦ κατελθοῦσα τὸν πρῶτον βίον ἄνθρωπον
p. 154 ποιεῖ, τελευτήσασα δὲ καὶ εἰς κλήρωσιν | ἐλθοῦσα δευτέρου βίου αἱρεῖται ὃν ἂν ἐθέλῃ, πῶς ἐκ θηρίου εἰς ἄνθρωπον εἴσεισιν; οὐ γὰρ ἦν ἐν τῷ πρώτῳ βίῳ θηρίον γενομένη, ἀλλ' ἄνθρωπος. Τοῦτο οὖν τὸ ἄπορον οὕτω διαλύσομεν· δεύτερον βίον ἁπλῶς πάντας ἐφεξῆς τοὺς μετὰ τὸν πρῶτον ἀκουσόμεθα, ἵνα καὶ ὁ δεύτερος καὶ ὁ τρίτος καὶ ὁ τέταρτος καὶ οἱ ἐφεξῆς πάντες δεύτερος καλῶνται· οὕτω γὰρ ἐν τοῖς ἐφεξῆς καὶ πολλοῖς βίοις δύναται καὶ ἐκ θηρίου εἰς ἄνθρωπον εἰσιέναι. Ἔτι δὲ καὶ οὕτω τῇ ἀναγνώσει διαλύσομεν τὸ ἄπορον· ἐν τῇ δευτέρᾳ, φησὶ, διακληρώσει τοῦ βίου ἔνθα καὶ εἰς θηρίου βίον ἀνθρωπίνη ψυχὴ ἀφικνεῖται· στίξαντες οὖν μέχρι τούτου τελείαν καὶ ἀναπαυσάμενοι τῇ

16 πολλάκις 162, 25; 164, 5

TIT 16 σημαίνει ὅτι ἡ ἀνθρώπου ψυχὴ οὐκ εἰσδύεται εἰς θήρειον (cod. θηρίον) σῶμα C

NC 1 οὐσιοπός M « *num* οὐσιοποιός ? » Ast 3 δ' ἔστι A, δ' om. M 7 γῆν] γῆς Plat. 8 ἐστι] λέγεται A[a] ἡ] οἱ AE 9 τῶν γενέσεων M 12 τὰ] τὰς ante ras. A 13 ἑκάστω (sic) A[a] 15 ἔνθα, ἔν rubr. A βίου Plat. cod. B 16 τὸ om. M 19 συνπληροῦν A[a] 20 καὶ om. M 21 ἄνθρωπον] ἀνθρώπου Ast 22 δεύτερον βίον M 23 ἐθέλῃ etiam Euseb. : θέλῃ Plat. codd. 25 διαλύσομεν] διαλύσον A (litt. διαλύσο A, litt. ν a) 31 τελέαν M

54] φωνῇ, ὡς ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωσόμεθα· καὶ ἐκ θηρίου ὅς ποτε ἄνθρωπος, δηλονότι ὡς ἐπὶ τῶν ἐφεξῆς πάλιν βίων.

μη'. Οὐ γὰρ ἥ γε μήποτε ἰδοῦσα] 249 B.

Ὅτι ἡ ἄλογος ψυχὴ ἡ ἰδίως τοῦ θηρίου οὖσα (αὕτη γάρ ἐστιν ἡ μηδέποτε ἑωρακυῖα τὴν ἀλήθειαν καὶ τὸν νοητὸν τόπον) οὐκ εἰσκρίνεται εἰς ἄνθρωπον καὶ συμπληροῖ τοῦτο τὸ ὄρθιον καὶ πλατυώνυχον σχῆμα τοῦ ἀνθρώπου διὰ τούτων δείκνυσι, τὸ ἴδιον τοῦ ἀνθρώπου ἐκτιθέμενος καὶ ὃ ἔργον ἐστὶ μόνου τοῦ ἀνθρώπου ποιεῖν. Δεῖ γὰρ τὸν ἄνθρωπον δύνασθαι (τοῦτο γάρ ἐστι ξυνιέναι) ἀπὸ τῶν ἐν τοῖς καθέκαστα κατατεταγμένων κοινοτήτων συναθροίζειν τῇ διανοίᾳ ἀπὸ τοῦ ἐν τῷ Σωκράτει καὶ Πλάτωνι καὶ τῶν ὁμοίων κοινοῦ τὸ καθόλου τὸ ὑστερογενὲς, καὶ ἀπὸ τούτων προβαλεῖν τὰ κατ' οὐσίαν ἐνυπάρχοντα τῇ ψυχῇ καθόλου, δι' ὧν ὡς εἰκόνων ἀναμνησθήσεται τῶν ἐν τῷ νοητῷ εἰδῶν. Τοῦτο δὲ ποιεῖν ἡ τοῦ θηρίου ψυχὴ οὐ δύναται· οὐ γὰρ οἵα τέ ἐστιν ὁρῶσα τόνδε τὸν ἵππον καὶ τόνδε καὶ πάλιν τόνδε συναθροίζειν ἐν τῇ διανοίᾳ τὸν καθόλου ἵππον τὸν ὑστερογενῆ. Τοῦτο δὲ ἐπειδὴ οὐδὲ ἔχει κατ' οὐσίαν καὶ συμφυεῖς τούτων τοὺς λόγους καὶ τὰ οὐσιώδη τὰ καθόλου, μόνος οὖν ὁ ἄνθρωπος καὶ ἡ λογικὴ τοῦ ἀνθρώπου ψυχὴ τοῦτο δύναται ποιεῖν, ἀπὸ τοῦδε τοῦ ἴσου καὶ τοῦδε μὴ
53 v° ὄντων ἀκριβῶς ἴσων (τί γὰρ τῶν ἐνύλων ἀκριβές;) | συνάγειν τὸν καθόλου καὶ ἀκριβῆ τοῦ ἴσου λόγον τὸν ὑστερογενῆ, ἀφ' ὧν τοὺς ἐν ἑαυτῇ καθόλου κατ' οὐσίαν προχειρίζεται καὶ προβάλλει λόγους, εἶτα ἀπὸ εἰκόνων τούτων πάντων ἀναμιμνήσκεται τῶν εἰδῶν τῶν ἐν τῷ δημιουργικῷ νῷ· οὐκ ἂν γὰρ οὔτε αὐτὴ ἡ ψυχὴ οὔτε τὰ ἐν γενέσει ταῦτα εἶχε τὰ εἴδη, εἰ μὴ πολὺ πρότερον ὁ δημιουργικὸς νοῦς αὐτὰ εἶχεν ἀεὶ ὡσαύτως ἑστηκότα καὶ ὄντα ὄντως ὑπάρχοντα. Ἐπειδὴ οὖν διὰ εἰδῶν καὶ δι' αὐλοτέρων εἰδῶν ἐπὶ εἴδεσιν ἀναπέμπεται ἡ τοῦ φιλοσόφου ψυχὴ, καὶ οὕτως ἀναμιμνήσκεται τῶν νοητῶν, δικαίως μόνην πτεροῦσθαι ἔφατο τὴν τοῦ φιλοσόφου διάνοιαν· ὁ γὰρ ἐρωτικὸς καὶ ὁ μουσικὸς οὐ διὰ εἰδῶν πρῶτον, ἀλλὰ δι' αἰσθητῶν καὶ ἐνύλων ἀναμιμνήσκονται, ἕως οὗ καταντήσωσιν εἰς τὸν φιλόσοφον.

μθ'. Πρὸς οἷσπερ θεὸς ὢν θεῖός ἐστι] 249 C.

Τέσσαρες φέρονται γραφαί· ἢ « πρὸς οἷσπερ θεὸς ὢν θεός ἐστιν » ἢ πάλιν « θεῖός ἐστιν » ἢ μετὰ τοῦ ἄρθρου « πρὸς οἷσπερ ὁ θεὸς ὢν θεός ἐστιν » ἢ πάλιν « θεῖός ἐστιν ». — Λέγοι δ' ἂν θεὸν ἢ τὸν

NC 3 οὐ rubr. A 6 τοῦ add. supra versum A¹ 8 ἔστι A τὸν om. Plat. 11 τοῖς ὁμοίοις (?) 11-12 προβάλλειν M 16 τούτων] τούτους M 20 ἀφ' οὗ (?) 25 αὐλοτέρων] ἀυλων A² 28 ὁ ante μουσικὸς om. M 31 πρὸς, πρ rubr. A 33 sic Plat. cod. B 34 sic Plat. cod. T : θεῖος ἐστὶ A

[154] κατὰ σχέσιν φιλόσοφον ἢ τὸν ἐγκόσμιον, οἷον τὰς ἀστρῴας ψυχάς, ἵν' οὕτως ἔχῃ ὁ λόγος « πρὸς οἷς νοητοῖς ὢν τῇ μνήμῃ κατὰ δύναμιν ὁ φιλόσοφος ὢν κατὰ σχέσιν θεὸς θεῖος γίνεται διὰ τὴν ἀπὸ τῶν νοητῶν ἔλλαμψιν. » Ἢ πάλιν οὕτως· « πρὸς οἷς νοητοῖς ὄντες οἱ ἐγκόσμιοι θεοὶ θεῖοί εἰσιν ὡς πρὸς ἐκεῖνα παραβαλλόμενοι. » Τελέους δὲ τελετὰς ἐκάλεσε τὰς τῶν νοητῶν θέας· ὥσπερ γὰρ ἐνταῦθα οὐ πάντες ἐπόπται ἐγένοντο, ἀλλά τινες (πολλοὶ γὰρ ἄχρι καὶ τῶν πρώτων ἢ τῶν δευτέρων ἵσταντο βαθμῶν, ὀλίγοις δέ τισι μετῆν καὶ τῆς ἑβδόμης τελετῆς, ὅτε καὶ ἐπώ-
p. 155 πτευον | καὶ τῷ ὄντι τὸ τέλειον ἀπελάμβανον·

πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι),

τὸν αὐτὸν τρόπον καὶ ὁ Πλάτων ἔφατο ἐνταῦθα τοὺς θεασαμένους τὸν νοητὸν τόπον καὶ τὰ νοητὰ καὶ ὑπερουράνια εἴδη τελείους τελετὰς τελεῖσθαι, ὡς τῷ ὄντι τότε τῆς ψυχῆς τελείαν καὶ ὁλόκληρον ἑαυτῆς ἀπολαμβανούσης τὴν οὐσίαν. — Ὑπομνήματα δὲ εἶπε τά τε ἐν τοῖς καθέκαστα κατατεταγμένα εἴδη καὶ τὰ ἀκατάτακτα τά τε ὑστερογενῆ καὶ τὰ οὐσιώδη καθόλου, δι' ὧν πάντων ἀναμιμνήσκεται ἡ ψυχὴ τῶν νοητῶν· εἶτα τὸ τέλος ἐπάγει πάσης ταύτης τῆς διεξόδου τῶν λόγων καὶ τῆς πάλαι συμπεριπολήσεως καὶ τῆς ἐπὶ τὴν γένεσιν καθόδου καὶ πάλιν ἀνόδου ἐπὶ τὸ νοητόν, ὅ τι ἐνθουσιασμός ἐστιν· ἀπὸ γὰρ τῶν ἐνταῦθα ἀναμνησθεὶς καὶ θεασάμενος τὰ θεῖα ἐκεῖνα καὶ ἀτρεμῆ φάσματα καὶ τὰ ὄντως ὄντα εἴδη, ἐνθουσιᾷ μὲν κατὰ τὸ ἀληθὲς τῇ νοήσει ταύτης τῆς θεωρίας, παραπαίειν δὲ καὶ παρακινεῖν νομίζεται ὑπὸ τῶν πολλῶν. Τοῦτο οὖν ἐστι τὸ τέλος τῆς θεωρίας ἐκείνης καὶ τελετῆς ὁ ἐνθουσιασμὸς καὶ ἡ θεία κατοκωχή. |

10 versus orphicus sæpissime laudatus : cf. *Phædon*, 69 C

NC 4 οἷς] δὴ A² 7 ἀλλὰ τινὲς A 10 ναρθηκοφόροι μὲν πολλοὶ libri βάκχοι] χαι sup. χοι A 12 τελέους M Plat. 13 τελείαν τότε τῆς ψυχῆς M 14 ἐν τοῖς — 15 τά τε om. M 16 καὶ καθόλου M δι' ὧν] δύο M 20 καὶ ante τὰ om. M

ΕΡΜΕΙΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΤΩΝ ΕΙΣ ΤΟΝ ΠΛΑΤΩΝΟΣ ΦΑΙΔΡΟΝ ΣΧΟΛΙΩΝ

ΤΩΝ ΕΙΣ ΤΡΙΑ

ΤΟ ΤΡΙΤΟΝ

---

4 r° 55] α΄. Ἔστι δὴ οὖν δεῦρο ὁ πᾶς ἥκων λόγος] 249 D.

Ἡ ἀκολουθία τῶν λεγομένων ἀπὸ τῆς διαιρέσεώς ἐστι τῆς μανίας· εἰπὼν γὰρ κατὰ τοῦ Ἔρωτος ἐξ ἀρχῆς διὰ τὸν Λυσίου λόγον, ἔφησε καθαρσίων δεῖσθαι, ἐπειδὴ ὅπως ποτὲ κατὰ τοῦ ὀνόματος τοῦ θείου εἴρηκε. Τίς δὲ ὁ καθαρμός; Ἡ παλινῳδία δηλονότι. Καὶ ἐπειδὴ διὰ παντὸς τοῦ λόγου ὅ τε Λυσίας καὶ Σωκράτης λέγοντες περὶ τοῦ μὴ δεῖν χαρίζεσθαι τῷ ἐρῶντι τὴν μανίαν ἐπεδείκνυον, τούτου χάριν ἐν τῇ παλινῳδίᾳ ἔδειξεν ὅτι τὸ τῆς μανίας ὄνομα οὐκ ἔστιν ἁπλοῦν, ἀλλὰ πολλὰ σημαίνει, καὶ ἔστι μανία κρείττων σωφροσύνης. Καὶ διεῖλε ταύτην τὴν μανίαν εἰς τέσσαρα· εἰς μαντικὴν καὶ μουσικὴν καὶ τελεστικὴν καὶ ἐρωτικήν, τέσσαρας θεοὺς αὐταῖς ἐπιστήσας, Ἀπόλλωνα, Μούσας, Διόνυσον, Ἔρωτα, καὶ εἰπὼν πόσα ἀγαθὰ ἑκάστη τῶν τριῶν μανιῶν τοῖς ἀνθρώποις παρέχει, ὅτι οἷον ἡ μαντικὴ προμήνυσιν τοῦ μέλλοντος χρόνου παρέχει πῶς ἂν εὐοδήσωμεν κατὰ τὸν βίον, ἡ ποιητικὴ ᾄδει κλέα ἀνδρῶν καὶ διὰ τούτου παιδεύει τὸ τῶν ἀνθρώπων γένος, ἡ τελεστικὴ παλαιῶν μηνιμάτων καθαίρει, μέλλων περὶ τῆς τετάρτης μανίας εἰπεῖν περὶ ἧς καὶ ὁ πᾶς αὐτῷ λόγος, πρὶν εἰπεῖν περὶ αὐτῆς εἰπὼν περὶ ἀθανασίας ψυχῆς, περὶ ἰδέας αὐτῆς, περὶ τῶν βίων, περὶ καθόδου καὶ ἀνόδου καὶ πάντων τῶν ἀνωτέρω ὀλίγον εἰρημένων, οὕτως λέγει περὶ τῆς ἐρωτικῆς μανίας πόσα ἀγαθὰ παρέχει.

6 227 C alibi 8 244 A 14 K 524 15 244 D

TIT 2 περὶ τῆς τετάρτης μανίας τῆς κατὰ ἔρωτα C

NC tit. rubr. A 1 ἔστι, ἔ rubr. A (ἔστιν Plat.) 2 ἡ om. M 5 ὁ om. M 13 εὐοδώσωμεν A ante emend. (η sup. ω) M 14 ante κλέα scriptum est in A κλέης vel simile aliquid; nihil in apographis τούτου] τούτων M 15 μηνημάτων A[a] (μηνυμάτων E) 17 εἰπὼν a in marg., εἶπε A[a] et libri 18 περὶ τῶν] καὶ τῶν A[a] πάντων] περὶ A[a] 19 τῆς om. M καὶ πόσα M

[155] Ἐχρήσατο δὲ, ὥσπερ ἂν εἴποι τις, τῷ κατὰ ἀνάλυσιν λόγῳ· οἷον τὸ πέρας τῶν ἀνθρώπων οὐδὲν ἄλλο ἐστὶν ἢ εὐδαιμονία, τουτέστιν ἡ συναφὴ ἡ πρὸς τοὺς θεούς· οὐ τίθεται γὰρ ὁ Πλάτων ἐν τοῖς ἐκτὸς τὴν εὐδαιμονίαν· συνάπτεται δὲ θεοῖς ἡ ψυχὴ ὅταν ἐνταῦθα οὖσα καὶ θεωροῦσα τὸ πᾶν αἰσθητὸν καὶ οὐράνιον κάλλος ἀναμνησθῇ τοῦ νοητοῦ κάλλους· ἀναμιμνήσκεται δὲ ἅ ποτε θεασαμένη· ἡ γὰρ ἀνάμνησις ἐπὶ ὧν ἔγνω τις ἢ εἶδεν ἢ ἤκουσε γίνεται· ποτὲ δὲ ἐθεάσατο ἡ συμπεριπολήσασα τοῖς οἰκείοις θεοῖς· συνεπόλησε δὲ εἰ ἀθάνατος εἴη· εἰ γὰρ μὴ εἴη ἀθάνατος, δηλονότι οὔτε περιεπόλησεν οὔτε ἀνεμνήσθη· διὰ τοῦτο εἶπε πρῶτον περὶ ἀθανασίας τῆς ψυχῆς καὶ τῆς ἰδέας καὶ τῶν ἑξῆς, καὶ μετὰ τοῦτο εἰς ἃ μέλλει ἡμᾶς ἄγειν ὁ ἔρως, λέγω δὴ εἰς τὴν νοητὴν οὐσίαν καὶ τὸ θεῖον κάλλος καὶ
p. 156 ἁπλοῦν καὶ ἀτρεμές· « ὥσπερ γὰρ, φησὶν, ἐκεῖναι αἱ μανίαι, | οὕτω καὶ αὕτη τὸ κάλλος τὸ νοητὸν τῇ ψυχῇ περιποιεῖ καὶ ἐνιδρύει αὐτὴν τοῖς θεοῖς » διὸ καὶ ἀρίστην τῶν μανιῶν αὐτὴν λέγει. Συνοψίζει δὲ πάντα τὰ εἰρημένα ἀνωτέρω ἐν τούτοις τοῖς ῥητοῖς. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι οὐ δεῖ ἀπομερίζειν τὰς μανίας· ἐπιπλέκονται γὰρ ἀλλήλαις· οὔτε γὰρ ἡ τελεστικὴ οὔτε ἡ ποιητικὴ οὔτε ἡ μαντικὴ ἄνευ ἐρωτικῆς δύνανται <εἶναι>· ἴσως οὖν καὶ διὰ τοῦτο θειοτέρα ἡ ἐρωτική. — Τὸ δ' ὑπερβατὸν τοῦτο ἐστιν· « ἔστι δὴ οὖν δεῦρο ὁ πᾶς ἥκων λόγος περὶ τῆς τετάρτης μανίας, ὡς ἄρα αὕτη πασῶν τῶν ἐνθουσιάσεων ἀρίστη » καὶ τὰ ἑξῆς. Τὸ λεγόμενον οὖν τοιοῦτόν τί ἐστιν· ἐπειδὴ περὶ ἐκείνων τῶν μανιῶν εἰρήκαμεν πόσα ἀγαθὰ παρέχουσι, περὶ δὲ ταύτης οὐδὲν εἰρήκαμεν, ἰστέον ὅτι πάντα τὰ εἰρημένα ἀνωτέρω δι' αὐτὴν ἐξεθέμεθα· καὶ λέγει ποῖα ἀγαθὰ ἡ ἐρωτικὴ καὶ πῶς παρέχει, καὶ ὅτι ὁ πᾶς ἡμῖν λόγος καὶ ἡ σπουδὴ περὶ ταύτης τῆς ἐρωτικῆς μανίας ἐστιν, ὅτι κρείττων ἐστὶ πασῶν.

β'. Ἦν ὅταν τὸ τῇδέ τις] 249 D.

Τὴν γὰρ ἀρχὴν τῆς ἀναμνήσεως ἀπὸ τῶν αἰσθήσεων ἔχει, οἷον τέθηπε τόδε τι τὸ κάλλος ὁ φιλόσοφος, καὶ ἀπὸ τούτου πᾶν τὸ σωματικὸν κάλλος, εἶτα τὸ ἐν τοῖς μαθήμασι, καὶ λοιπὸν διὰ τούτου ἀναμιμνήσκεται, καὶ ποιεῖται τὴν ἄνοδον εἰς τὸ νοητὸν κάλλος.

γ'. Ἐπτέρωταί τε καὶ ἀναπτερούμενος] 249 D.

Τὴν ἀρχὴν, ὥσπερ ἂν εἴποι τις, τῆς ἀνόδου βούλεται εἰπεῖν, ὅτι ὥσπερ

TIT 2 τί ἐστιν εὐδαιμονία κατὰ Πλάτωνα C 27 ἡ ἀρχὴ τῆς ἀναμνήσεως ἀπὸ τῶν αἰσθήσεων C

NC 2 τῶν ἀνθρώπων] τοῦ ἀνθρώπου A[a] 6 ἡ ποτὲ A τὶς A 12 γάρ φησιν A ἐκεῖναι] αἱ κεῖναι M 13 περιποιεῖ] περιπολεῖ M et in textu Ast, quanquam in nota περιποιεῖ scripsisse se ait 14 δι' ὃ M 17 εἶναι addidi 19 πᾶς] πᾶν A (sic) 26 ἦν rubr. A 28 τὸ δέ τι A 31 ἐπτέρωται, ἐ rubr. A (πτερῶται Plat.) τε καὶ legebat igitur Hermias

56] οἱ νεοττοὶ διὰ τὴν φυσικὴν κατασκευὴν ἐφίενται μὲν τοῦ πτῆναι, ἀδυνατοῦσι δὲ καὶ καταφέρονται, τὸν αὐτὸν τρόπον καὶ αἱ νεωστὶ ἀναγόμεναι
34 v° ψυχαὶ τούτῳ τῷ πάθει ἀπεικάζονται· ἐφιέμεναι μὲν ἐκείνων, | κάτω δὲ καταχρατήσασαι διὰ τὸ μήπω ἐνιδρυθῆναι ἐν αὐτοῖς, ἀδυνατοῦσιν ἐπὶ τὸ ἄνω ἀναπτῆναι καὶ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ διανοητὰ γενέσθαι (τὰ γὰρ τῆς ψυχῆς νοήματα διανοητὰ λέγονται), εἶθ' οὕτως ἀπὸ τῶν διανοητῶν ἐπὶ τὰ νοητὰ ἀνάγεσθαι. — Τὸ δὲ βλέπων ἄνω, τῶν κάτω δὲ ἀμελῶν, τουτέστι προθυμούμενος ἀναχθῆναι καὶ καταφρονῶν τῶν ἀνθρωπίνων σπουδασμάτων, ὃ καὶ ἀνωτέρω εἶπε, οὐ δυνάμενος δὲ αὐτοῦ ἐκείνου τοῦ σπουδαζομένου καταδράξασθαι διὰ τὸ μὴ συνεθισθῆναι αὐτῷ.

δ'. Ὡς ἄρα αὕτη] 249 E.

Ὧδε ἀποδέδωκε τὸν πάντα λόγον, ὅτι κυρίως ἐραστὴς καλεῖται ὁ ταύτης τῆς μανίας ἐρῶν, εἰς τὸ νοητὸν κάλλος καὶ αὐτὸ τὸ καλὸν ἀναγόμενος καὶ συνανάγων τὰ παιδικά.

ε'. Καθάπερ γὰρ εἴρηται] 249 E.

Ἃ εἶπεν ἀνωτέρω, ταῦτα ἐν συντόμῳ πάντα συνάγεται· θεᾶται γὰρ τὰ ὄντα διὸ καὶ ἐφίεται· οὐ γὰρ ἂν ἐφίετο ὧν μήποτε ἐθεάσατο· διὰ τοῦτο οὖν πάντα τὰ ἀνωτέρω τὰ περὶ ψυχῆς εἶπε, δεικνὺς οἵων ἀγαθῶν αἴτιος ἡμῖν ὁ ἔρως γίνεται, ἀνάγων ἡμᾶς εἰς τὸ αὐτόκαλον. Φύσει δὲ εἶπεν ἐπειδὴ πᾶσα ψυχὴ φύσει τεθέαται τὰ ὄντα, ἀλλὰ οὐ πᾶσα ἔχει αὐτὰ προβεβλημένα καὶ ἐνεργά, διὸ οὐδὲ εὐχερῶς καίπερ φύσει αὐτὰ ἔχουσα ἀναμιμνήσκεται τῶν ὄντων.

ϛ'. Οὔτε ὅσαι βραχέως εἶδον] 250 A.

Συντόμως εἰπεῖν, ἃς εἶπεν αἰτίας τῆς καθόδου ἀνωτέρω, ταύτας νῦν λέγει αἰτίας εἶναι καὶ τοῦ μὴ ἀναμιμνήσκεσθαι ῥᾳδίως. Ἱερῶν δὲ εἶπεν ἐπειδὴ ἱεροῖς καὶ ἀνακτόροις καὶ ἀδύτοις ἁγίοις ἀπεικάζει ἐκεῖνα τὰ θεάματα.

9 ἀνωτέρω 249 CD

NC 2 τὸν αὐτὸν — 3 ἐκείνων om. DEM 3 κάτω] οὕτω EM δὲ] δὴ M 4 καταχρατήσασαι] « *num* ἀκρατήσασαι ? » Ast 5 διανοητὰ] νοητὰ DEM « *scribendum* διανόητα » Ast 6 διανόητα M διανοητῶν] νοητῶν DEM « *scribendum* διανοήτων » Ast 7 ἀνάγεσθαι] ἀνάγεται A^a : om. DEM τὸ δὲ om. A^a βλέπων μὲν A 8 προθυμούμενος μὲν A^a 9 εἶπεν M οὐ] μὴ A^a δυνάμενοι DEM 11 ὡς, ω rubr. A 15 καθάπερ, κ rubr. A 16 ταῦτα om. DEM 18 τὰ ante ἀνωτέρω om. EM οἵων ex οἷον A^1 ἡμῖν αἴτιος MD 19 αὐτοκαλὸν M 23 οὔτε, ου rubr. A 25 μὴ add. supra versum A^1 ῥᾳδίως om. M δὲ om. A^a 26 ἀνακτορίοις M ἀδύτοις] ἄλλοις τοῖς A^a

[156] ζ'. Ὀλίγαι δὴ λείπονται] 250 A.

Αἱ ἀναμιμνησκόμεναι, τουτέστιν αἱ φιλοσοφοῦσαι ψυχαί, αἳ μήπω τῷ τῆς Λήθης ὕδατι βεβαπτισμέναι εἰσίν.

η'. Αὗται δὲ ὅταν τι] 250 A.

Αὗται δὲ αἱ τὴν μνήμην ἔχουσαι, ὅταν ἴνδαλμά τι καὶ εἴδωλον τῶν ἐκεῖ ἴδωσιν, οἷον τὸ κάλλος τὸ ἐν σώμασι, τότε οὐκέθ' ἑαυτῶν γίνονται, τουτέστιν ἐξίστανται καὶ ἐκτὸς ἑαυτῶν γίνονται, καὶ ἀφίστανται τῶν
p. 157 κάτω καὶ ἐκπλήττονται, ἐκείνου | ἀναμιμνησκόμεναι τοῦ κάλλους. — Ὃ δέ ἐστι τὸ πάθος ἀγνοοῦσι, τουτέστιν αἱ ψυχαὶ αἱ τούτου τοῦ κάλλους ἀντιλαμβανόμεναι (λέγει δὲ τὰς ἀρχομένας ἀνάγεσθαι) ἀγνοοῦσι τί πάσχουσι.

θ'. Δικαιοσύνης μὲν οὖν] 250 B.

Ὃ λέγει τοῦτό ἐστιν, ὅτι τῶν ἰδεῶν αἳ μὲν ἐπὶ πάντα διατείνουσιν, αἳ δὲ ἄχρι τινῶν· οἷον <ἡ> τοῦ κάλλους ἰδέα, ἐπειδὴ ἀπὸ τῆς πρώτης ἀρχῆς ἐστι καὶ τῆς καλλονῆς, ἐπὶ πάντα τὸν κόσμον διατενεῖ τὸ καλόν· διὸ καὶ πάντα ἐπιστρέφει. Ὃ λέγει οὖν τοῦτό ἐστιν, ὅτι τῆς δικαιοσύνης καὶ τῶν ὁμοίων οὐκ ἔστι φέγγος ἐν τοῖς τῇδε ὁμοιώμασιν, ὥσπερ ἐπὶ τοῦ κάλλους· ἢ γὰρ ἂν παρέσχεν ἡμῖν ἔρωτας δεινούς, εἴ τι τοιοῦτον ἦν ἴνδαλμα αὐτῆς· δι' ὀργάνων δὲ καὶ συλλογισμῶν καὶ προτάσεων μανθάνομεν ὅτι ἡ δικαιοσύνη καὶ ἡ σωφροσύνη αἱρετόν, ἐπειδὴ διὰ τῆς αἰσθήσεως αὐτῶν οὐκ ἀντιλαμβανόμεθα, οὐδὲ εἰς ἀνάμνησιν ἐρχόμεθα ὥσπερ ἐπὶ τοῦ κάλλους· εἰ μὴ ἄν τις δικαιοσύνην εἴποι σώματος τὴν συμμετρίαν τῶν ξηρῶν πρὸς τὰ ὑγρὰ καὶ ψυχρῶν πρὸς τὰ θερμά· ἡ δὲ τῆς ψυχῆς δικαιοσύνη οὐκ ἔστιν αἰσθήσει ληπτή. Πᾶσα δὲ ἡ Πολιτεία τῷ Πλάτωνι συντέτακται διὰ τὸ εὑρεῖν τὴν τῆς ψυχῆς δικαιοσύνην κατὰ τὴν τριμέρειαν τῆς ψυχῆς· καὶ τὴν πόλιν ἐκεῖ διεῖλεν εἰς φυλακικόν, προπολεμοῦν, θητικόν· ὥσπερ γὰρ ἡ ἔξω δικαιοσύνη, οὕτω κατὰ ἀναλογίαν καὶ ἡ τῆς ψυχῆς· οἷον τότε εἰρηνεύει ἡ πόλις ὅταν κατακλιθῇ τὸ θητικὸν τῷ προπολεμοῦντι, καὶ τὸ προπολεμοῦν τοῖς ἄρχουσιν· ὅταν δὲ μὴ οὕτως ἔχῃ ἀλλὰ στασιάζῃ, ἀνατρέπεται πᾶσα ἡ πόλις καὶ οὐκ ἔχει δικαιοσύνην. Τὸν

18 cf. 250 D 26 ἐκεῖ *Rep.* III

TIT 13 περὶ ἰδεῶν τινων C 24 περὶ πλάτωνος πολιτείας a

NC 1 ὀλίγαι, ὀ rubr. A 4 αὗται, αὖ rubr. A τι add. supra versum A¹ 6 οὐκεθ' ἑαυτῶν] οὐκέτ' αὐτῶν Plat. codd. (οὐκέθ' αὐτῶν edd.) 8 κάτω] ἀνθρώπων M 9 δ' ἐστὶν Plat. ἀγνοοῦσιν Plat. 12 δικαιοσύνης, δι rubr. A 13 τοῦτο] τοιοῦτον M 13 et 16 ἐστὶν A 13 ἰδεῶν εἰδώλων] A¹ ut videtur 17 οὐκ ἔστι] οὐκέτι M οὐκ ἔνεστι Plat. φέγγος οὐδὲν Plat. 18 ἢ M 21 αὐτῶν] αὐτὸ M 22 τις] τι M 28 ὑποκλιθῇ (?) cf. 177, 2 vel ὑποκατακλιθῇ (?) cf. 181, 20.

157] αὐτὸν τρόπον καὶ ἐπὶ τῆς ψυχῆς δεῖ ἐκδέχεσθαι, ὅταν τὸ ἐπιθυμητικὸν ὑποκλίνηται τῷ θυμικῷ, τὸ δὲ θυμικὸν τῷ λόγῳ, τότε δικαιοσύνην ἔχει ἡ ψυχή. Ὅρα οὖν διὰ πόσων ὀργάνων καὶ πόσης δυσχερείας εἰκόνα ἐστὶ λαβεῖν δικαιοσύνης καὶ τῶν ὁμοίων· αὐτὸ δὲ τὸ κάλλος αὐτόθεν προσπίπτει ἡμῖν. — Τὸ δὲ τοῦ εἰκασθέντος γένος λέγει τὴν αὐτοδικαιοσύνην· δικαιοσύνη δέ ἐστιν ἡ ἰδιοπραγία τῶν τῆς ψυχῆς μορίων. |

65 r° θ'. Κάλλος δὲ τότ' ἦν ἰδεῖν λαμπρόν] 250 B.

Πανταχοῦ ὁ Πλάτων τὸν δεσπότην Ἥλιον ἀναλογεῖν λέγει τῇ πρώτῃ ἀρχῇ· ὥσπερ γὰρ ἐνταῦθα ὁ ἥλιος τοῦ αἰσθητοῦ παντὸς κόσμου δεσπότης ἐστὶν, οὕτως ἐπὶ τοῦ νοητοῦ ἐκείνη· καὶ ὥσπερ ἀπὸ τοῦ δεσπότου ἡλίου φῶς κατάγεται ὃ συζευγνύει καὶ συνάπτει καὶ ἑνοῖ τὸ ὁρατικὸν πρὸς τὸ ὁρατὸν, τὸν αὐτὸν τρόπον καὶ τὸ ἀπὸ τοῦ πρώτου θεοῦ προιὸν φῶς (λέγει δὲ αὐτὸ ἀλήθειαν) συζευγνύει τὸν νοῦν τῷ νοητῷ. Ὁρᾷς οὖν ὅτι τοῦτο μιμεῖται τὸ κάλλος· οἷον γὰρ φῶς ἐστιν ἐξαποσταλὲν ἀπὸ τῆς πηγῆς τῶν νοητῶν ἐπὶ τὸν τῇδε κόσμον, καλοῦν πρὸς ἑαυτὸ καὶ ἑνωτικὸν γινόμενον τῶν ἐρώντων πρὸς τὸ ἐραστὸν, διὸ καὶ δι' αὐτοῦ ἡ ἀναγωγὴ γίνεται. Συνοψίζει οὖν ἐνταῦθα τὰ τῶν νοητῶν πάντων, λέγων ὅτι εἰς τοῦτο ἔστιν εἰς ὃ ἀνάγει ὁ ἔρως· τὸ γὰρ ἐνταῦθα κάλλος ἀμυδρόν ἐστι καὶ αἰσθητὸν, ὡς καὶ τὸ φῶς τὸ ἐνταῦθα συμμιγὲς ἀέρι ἐστὶ καὶ εἰς ἀνάμνησιν τοῦ αὐτοκάλλους ἀναμιμνήσκει ἡμᾶς. — Κάλλος δὲ τότ' ἦν ἰδεῖν, ἀντὶ τοῦ· τὸ δὲ αὐτόκαλλος ἀστράπτον, μὴ ἔχον μῖξιν τοῦ ἐναντίου, ἀλλὰ αὐτόκαλον.

ι'. Ὅτε σὺν εὐδαίμονι] 250 B.

Τουτέστιν ὅτε περιεπολοῦμεν τοῖς οἰκείοις θεοῖς ἅμα. Εὐδαίμων δὲ χορός ἐστιν αἱ τῶν θείων ψυχῶν συμπεριπολήσεις, διὸ καὶ χορὸν ἐκάλεσε διὰ τὸ ἡνωμένον· ὅπερ ἀνωτέρω εἶπε· « τῷ δ' ἕπεται στρατιὰ θεῶν » καὶ τὰ ἑξῆς, νῦν χορὸν ἐκάλεσε. Καλῶς δὲ εὐδαίμονα ἐκάλεσε· τῷ γὰρ ὄντι ὁ θεώμενος ἐκεῖνα τὰ εἴδη εὐδαιμονῶν ἐστὶ καὶ μακάριος.

ια'. Μετὰ μὲν Διὸς ἡμεῖς] 250 B.

Ἐν τῷ Τιμαίῳ φησὶν ὁ Πλάτων ὅτι ποιήσας ὁ δημιουργὸς τὸν κόσμον

10 cf. *Rep.* VI 508 C 25 ἀνωτέρω 246 E 29 *Tim.* 41 D; 42 D

TIT 8 ὁ ἥλιος ἀναλογῶν τῇ πρώτῃ ἀρχῇ περὶ (leg. κατὰ) Πλάτωνα C

NC 2 τῷ θυμικῷ ὑποκλίνηται M 3 ἔστι A 7 in A numerus θ errore iteratus κάλλος, κ rubr. A 10 οὕτως M οὕτω καὶ A[a] ἐκείνη scripsi: ἐκεῖνος libri 13 ὅτι om. M 15 ἑαυτὸ M ἑαυτὸν A[a] E 17 πάντων] fort. πάντα ἐστὶν A 21 αὐτόκαλλος] αὐτοκάλλος A : αὐτὸ κάλλος M μίξιν libri αὐτοκαλόν libri 22 ὅτε, ὅ rubr. A 23 περιεπολοῦμεν] ἐπεριπολοῦμεν EM 26 καλῶς δὲ] καὶ A[a] 27 εὐδαιμονῶν] εὐδαιμόνων M 28 μετὰ, μ rubr. A

[157] ἐνέσπειρε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις, οὐχ ὅτι εἰ τύχοι χιλίας ἐποίησε (δῆλον μὲν γάρ)· ἀλλ' ὅμως κατὰ τὰ εἴδη ἀκούσομεν. Ποιήσας
p. 158 οὖν Ἡλιακάς, Σεληνιακάς, Δίας, | ἔσπειρε τὰς μὲν εἰς γῆν, τὰς δὲ ἀλλαχοῦ. Λέγει οὖν νῦν ἑπόμενοι μετὰ μὲν Διὸς ἡμεῖς ὡς τὸν οἰκεῖον θεὸν ἐπιγνοὺς ὁ Πλάτων. Τοῦτο γάρ ἐστιν εὐδαιμονία ἀνθρωπίνης ψυχῆς, τὸ συμπεριπολῆσαι τοῖς οἰκείοις θεοῖς· οὐδὲ γὰρ ὑπερβῆναι θεοὺς δυνατόν.

ιβ'. Καὶ ἐτελοῦντο] 250 B.

Τελετὴ ἐκλήθη, καθὼς ἤδη εἴπομεν, παρὰ τὸ τελέαν τὴν ψυχὴν ἀποτελεῖν. Ὁρᾷς οὖν ὅτι τελέα ἦν ἡ ψυχή· ἐνταῦθα δὲ μεμέρισται καὶ οὐ δύναται ἐνεργῆσαι ὅλη καθ' ἑαυτήν. Εἶπε δὲ ἦν θέμις εἰπεῖν· οὐ γὰρ ἁπλῶς ἡ θέα ἐστὶν ἡ μακαριωτάτη· ὁ γὰρ ὁρῶν ὡς ἄλλος ἄλλο ὁρᾷ, δεῖ δὲ καὶ ἕνωσιν γενέσθαι· ἡ ἐνίδρυσις οὖν εἴη ἂν ἡ μακαριωτάτη. Εἰδέναι δὲ δεῖ ὅτι ἄλλο ἐστὶ τελετή, ἄλλο μύησις, ἄλλο ἐποπτεία. Ἡ μὲν οὖν τελετὴ ἀναλογεῖ τῇ προπαρασκευῇ καθαρμοῖς καὶ τοῖς ὁμοίοις· ἡ δὲ μύησις, ἥτις παρὰ τὸ μύειν ἐλέχθη τοὺς ὀφθαλμούς, θειοτέρα ἐστί· τὸ γὰρ μύειν τοὺς ὀφθαλμούς, τοῦτο ἔστι τὸ μηκέτι αἰσθήσει λαβεῖν ἐκεῖνα τὰ θεῖα μυστήρια, ἀλλὰ αὐτῇ ψυχῇ καθαρᾷ· τὸ δὲ τῆς ἐποπτείας τὸ ἐνιδρυθῆναι αὐτοῖς καὶ ἐπόπτην αὐτῶν γενέσθαι. — Τὸ δὲ ὀργιάζομεν ὅτι τὸ τὰ ὄργια μετιέναι καὶ τὰ μυστήρια ὀργιάζειν λέγεται.

ιγ'. Ὁλόκληροι μὲν αὐτοὶ ὄντες] 250 C.

Τῷ ὄντι ὡς ἐπόπτης ἐκεῖνα τὰ θεῖα μυστήρια φθέγγεται ὁ Πλάτων. — Ὁλόκληροι ἀντὶ τοῦ τέλειοι. — Ὅσα δὲ ἐν ὑστέρῳ εἶπεν, ὅτι ἡ τοῦ σώματος κοινωνία αἰτία γίνεται τῆς πτώσεως τῆς ψυχῆς. — Διὰ δὲ τοῦ ἀτρεμῆ τὸ ἑδραῖον καὶ σταθερὸν τῶν νοητῶν ἐνδείκνυται. — Τὸ δὲ μυούμενοι καὶ ἐποπτεύοντες ὡς ἀπὸ τῶν τελετῶν τῶν ἐν Ἐλευσῖνι λέγει. — Ἐν αὐγῇ καθαρᾷ καθαροὶ ὄντες, ὅτι ἡ ἐνταῦθα αὐγὴ οὐκ ἔστι καθαρά· συμμέμικται γὰρ τῷ ἀέρι. — Καθαροὶ δὲ ὄντες εἶπεν ἐπειδὴ μὴ καθαρῷ καθαροῦ ἅπτεσθαι οὐκ ἔστι θεμιτόν. — Ἀσήμαντοι δὲ μὴ περιφέροντες τοῦτο τὸ σημεῖον. — Ὀστρέου τρόπον ἐπειδὴ ὡς τὰ ὄστρεα ἐνδεδεμένα εἰσίν, οὕτω καὶ ἡμεῖς ἐνταῦθα.

9 εἴπομεν 172, 13 29 *Phæd.* 67 B

NC 2 ἀλλ' ὅμως : fort. leg. ἀλλὰ μόνως 4 ἑπομένως A 6 οὐδὲ] οὐ A[a] 8 καί, κ rubr. A 10 δὲ] οὖν M 11 ἦν] ἡ Plat. cod. B; ᾗ cod. T; ἦν apogr. edd. 12 ἔστιν A 14 καὶ ἄλλο μύησις M 15 <καὶ τοῖς> καθαρμοῖς? 19 ὀργιάζομεν] ὠργιάζομεν Plat. cod. *Marc.* 189 21 ὁλόκληροι, ὁ rubr. A 22 τῷ ὄντι] τὸ ἄρτι M 25 καὶ τὸ σταθερὸν M 29 ἐφάπτεσθαι Plat. 30 φέροντες M

[158] ιδʹ. Ταῦτα μὲν οὖν μνήμῃ κεχαρίσθω] 250 C.

Σύνοψιν ποιεῖται καὶ ὑπόμνησιν τῶν ἄνω εἰρημένων, λέγων ὅτι ταῦτα μνήμῃ παραπεμπέσθωσαν· διὰ τοῦτο δὲ καὶ ἐβράδυνεν ἐν αὐτοῖς ἐθίζων
f°65 v° ἡμᾶς τοῖς τοιούτοις ἐμβραδύνειν. Ἡ γὰρ συνεχὴς μνήμη τῶν νοητῶν | ἔθος ἡμῖν ποιεῖ ἐν ἐκείνοις διατρίβειν· ὥσπερ εἰκότως ἐνδιέτριψεν ἐν ἐκείνοις, ἅτε δὴ ἐνθουσιῶν περὶ αὐτὰ (τουτέστι τὰ νοητὰ) ἐνδεικνύμενος τίς ἐστιν ἡ ἔργῳ ἀνάμνησις. Ταῦτα μὲν οὖν ἀναμνησθέντες περὶ τῶν νοητῶν πραγμάτων εἰρήκαμεν. — Κεχαρίσθω δὲ εἶπεν ἐπειδὴ αἱ Χάριτές εἰσιν αἱ πάντα ἐράσμια ποιοῦσαι. — Δύναται δὲ καί τις καὶ τὸ μακρότερα οὕτως ἐξηγήσασθαι, ὅτι τῇ μὲν λέξει καὶ ταῖς συλλαβαῖς ὀλίγα εἰσὶ τὰ λεχθέντα, δυνάμει δὲ μακρότατα. Οὕτω καὶ ἐν τῷ Συμποσίῳ ἐποίησε, λέγων τὸν τῆς Διοτίμας περὶ τοῦ Ἔρωτος λόγον διὰ λέξεων ὀλίγων, τῇ δὲ δυνάμει μέγιστον λόγον εἶπε.

ιεʹ. Περὶ δὲ κάλλους ὡς εἴπομεν] 250 C.

Βούλεται εἰπεῖν περὶ τοῦ ἐρωτικοῦ πῶς ἀνάγεται ἀπὸ τοῦ τῇδε κάλλους ἐπὶ τὸ νοητὸν κάλλος· ὃ λέγει οὖν τοῦτο ἔστιν, ὅτι τὸ νοητὸν κάλλος ἐν τῇ νοητῇ οὐσίᾳ μετ' ἐκείνων τῶν θεαμάτων ἐξέλαμψεν, ἀφ' οὗ καὶ τοῦτο τὸ αἰσθητὸν κάλλος ἐξέλαμψεν. Ὥσπερ γὰρ τὸ φῶς ἀπὸ τοῦ ἡλίου ἀρχόμενον εἰς πάντα τὸν αἰσθητὸν κόσμον ἐκλάμπει, οὕτως καὶ τὸ κάλλος ἀπὸ τῶν νοητῶν ἀρξάμενον διαβαίνει ἐπὶ τὸν αἰσθητὸν κόσμον. Ἐναργεστάτην δὲ τῶν αἰσθήσεων καλεῖ τὴν ὄψιν ὡς πρὸς τὰς ἄλλας αἰσθήσεις· τῶν γὰρ ἄλλων αἰσθήσεων αὕτη ἐστὶν ἡ ὀξυτάτη· διὸ καὶ πυρὶ αὐτὴν παραβάλλουσιν οἱ τὰς αἰσθήσεις τοῖς στοιχείοις παραβάλλοντες. Ἔσται δέ σοι δῆλον ἐντεῦθεν· ὅταν γὰρ ἅμα ψόφῳ ὁρατὸν παραγένηται, τουτέστιν ἅμα βροντῇ ἀστραπή, πρότερον ὁρῶμεν τὴν ἀστραπήν, εἶθ' οὕτως χρόνῳ ὕστερον ἀφι-
p. 159 κνεῖται ὁ ψόφος εἰς τὴν ἡμετέραν ἀκοήν. Διὰ τί δέ; | Δῆλον ὅτι ἐπειδὴ ἡ ὄψις ἀχρόνως ὁρᾷ, αἱ δὲ ἄλλαι αἰσθήσεις χρόνου δέονται. Ἀναλογεῖ δὲ καὶ νῷ ἡ ὄψις· ὥσπερ γὰρ ἐν ἀμερεῖ τὰ πάντα ὁρᾷ ὁ νοῦς, οὕτω καὶ ἡ ὄψις· τὸ γὰρ διάστημα τὸ ἐντεῦθεν μέχρις οὐρανοῦ εὐθέως ὁρᾷ.

ιςʹ. Δεῦρό τ' ἐλθόντες κατειλήφαμεν αὐτό] 250 D.

Ἀνάμνησιν γὰρ αὐτὸ ἐνταῦθα βούλεται ἐκείνου τοῦ κάλλους. Τὸ δὲ ἡ φρόνησις οὐχ ὁρᾶται, ἥτινι αἰσθήσει καὶ ὄψει οὐχ ὁρᾶται ἡ φρόνησις,

11 *Convio*. 203 sqq.

NC 1 ταῦτα, τ rubr. A μνήμη Plat. cod. B 9 τὸ om. M 12 ὀλίγων scripsi : ὀλίγον libri δὲ om. M 14 περί, π rubr. A ὡς] ὥσπερ M Plat. 16 ἐπὶ] πρὸς A[a] τοῦτό ἐστιν A 17 ἐξέλαμπεν M 21 πρὸς] παρὰ M 22 ὀξυτάτη Plat. : ὀξυτέρα libri (sed A[a]) 30 δεῦρο, δ rubr. A

[159] ἐπειδὴ ἀσωμάτων ἐστὶν ἡ φρόνησις καὶ ἐν ἀσωμάτῳ οὐσίᾳ τῆς ψυχῆς ὁρᾶται. Τί οὖν οἱ φιλόσοφοι οὐ περὶ ἐκεῖνα μᾶλλον ἐπτόηνται, λέγω δὴ φρόνησιν, δικαιοσύνην καὶ τὰ ὅμοια; Ἀλλὰ λέγομεν ὅτι νῦν οὐ περὶ τῶν φιλοσόφων τῶν ἤδη ἀναχθέντων ἀπὸ τῶν εἰδῶν ἐπὶ τὰ νοητὰ λέγει, ἀλλὰ περὶ τοῦ ἐρωτικοῦ τοῦ διὰ τοῦ κάλλους ἐπ' ἐκεῖνα· ἔστι δὲ τὸ ἐρωτικὸν πλάτος πολύ.

ιζ'. Νῦν δὲ κάλλος μόνον] 250 D.

Ἐπειδὴ ἀναλογεῖ τῷ φωτί (τὸ γὰρ ἀπὸ τοῦ ἡλίου φῶς συνδετικόν ἐστιν ὁρατικοῦ καὶ ὁρατοῦ· συζεύγνυται γὰρ ὅρασις ὁρατῷ· καὶ τούτων γίνεται τὸ φῶς δεσμός), τὸν αὐτὸν τρόπον καὶ τὸ κάλλος συνδετικόν ἐστι καὶ ἑνωτικὸν τῆς ψυχῆς πρὸς ἀναγωγὴν τῶν νοητῶν. Ἔσχεν οὖν τοιαύτην μοῖραν τὸ κάλλος, τὸ διεγείρειν ἡμᾶς καὶ κινεῖν τὴν ψυχὴν ἐπὶ τὰ νοητά.

ιη'. Ὁ μὲν οὖν μὴ νεοτελὴς] 250 E.

Τοῦ ἐπιστήμονός ἐστι καὶ τὰς πτώσεις καὶ τὰ ἐναντία τῶν πραγμάτων θεωρεῖν, ὡς καὶ ἰατροῦ τὰ ὑγιεινὰ καὶ νοσώδη. Βούλεται οὖν διὰ τῶν νῦν λεγομένων τὰς ἀποπτώσεις τοῦ ἔρωτος θεωρεῖν καὶ εἰπεῖν πῶς ὑποφέρεται εἰς ἀκολασίαν· ὕστερον γὰρ λέγει καὶ τὰ κατορθώματα, ὅτι φησὶν « ἡ ψυχὴ ἡ μὴ νεοτελής, ἡ μὴ πολυθεάμων, ἡ συντυχίᾳ καὶ λήθῃ χρησαμένη, ὁρῶσα τὸ κάλλος οὐ σέβεται, ἀλλὰ δίκην τετράποδος ζῴου βαίνειν εἰς αὐτὸ ἐπιχειρεῖ. » — Τῷ δὲ βαίνειν ἐχρήσατο ὅπερ μᾶλλον τοῖς ἀλόγοις ζῴοις ἁρμόζει. — Διεφθαρμένος δὲ ὁ μὴ ἔχων τὴν μνήμην. — Οὐκ ὀξέως ἐνθένδε δὲ, τουτέστιν ἀπὸ τῶν αἰσθητῶν καλῶν ἀναπέμπεται ἐπὶ τὸ νοητὸν καλόν. — Καλῶς δὲ ἐπωνυμίαν εἶπεν, ἐπειδὴ βούλεται πρώτως τὰ ὀνόματα κεῖσθαι τοῖς νοητοῖς, καὶ τοὺς σοφοὺς κατανοήσαντας τοῖς εἴδεσιν οὕτω τὰ ἐνταῦθα ἐξ ἐκείνων ἐπονομάσαι. Ὁ δὲ φιλόσοφος Ἀριστοτέλης τοῖς πράγμασι τοῖς αἰσθητοῖς πρώτως βούλεται κεῖσθαι τὰ ὀνόματα.
f° 66 r° — Θεώμενος οὖν, φησί, τὸ αἰσθητὸν κάλλος | οὐκ ἀναμιμνήσκεται ἀπ' αὐτοῦ ἐκείνου τοῦ κάλλους, ὥστε οὐ σέβεται προσορῶν· Ὥσπερ γὰρ τὰ ἀγάλματα τῶν θεῶν ὁ εὐσεβὴς καὶ σώφρων ἀνὴρ προσκυνεῖ, ὡς ὁμοιότητά τινα ἔχοντα πρὸς τὰ θεῖα, οὕτως καὶ ὁ ἐρωτικὸς τὸ ἐνταῦθα κάλλος ὁρῶν ὡς ὁμοιότητα ἔχον πρὸς τὸ θεῖον κάλλος, σέβεται ὡς ἄγαλμα. Τὸ δὲ ἡδονῇ παραδοὺς τετράποδος νόμῳ οἷον ἄν τις ὡς αἰχμάλωτος ὑπὸ

TIT 23 Πλάτωνος καὶ Ἀριστοτέλης (l. Ἀριστοτέλους) περὶ τῶν ὀνομάτων διαφοράν (l. διαφορά) C

NC 1 ἀσώματον? 4 ἤδη] εἴδη M (jam correxerat Ast) 5 ἐπέκεινα libri : intellege ἀναχθέντος 7 νῦν, ν rubr. A 12 τὸ δὲ διεγείρειν M (τὸ δὴ διεγείρειν Ast) 13 ὁ rubr. A 16 πῶς om. M 18 ἡ μὴ νεοτελὴς] ἡμινεοτελὴς M 22 δὲ om. M Plat. 23-24 τὰ ὀνόματα πρώτως M 25 ἐπονομάσαι scripsi : ἐπονομάσαντας libri 27 αἰσθητὸν] αἰσθητικὸν M 28 ὥστ' Plat. 32 νόμῳ] νόμον Plat. : om. DE

.59] τῆς ἡδονῆς βληθεὶς καὶ συρόμενος ὑπ' αὐτῆς, οὐ νόμῳ ἀνθρωπίνῳ κοινωνεῖν ἐπιχειρεῖ, ἀλλὰ τετράποδος δίκην βαίνειν ἐπιχειρεῖ καὶ παιδοσπορεῖν, τουτέστιν εἰς παῖδας σπείρειν καὶ ἀνόνητα ποιεῖν, ὥσπερ καὶ ὁ εἰς πέτρας σπείρων, καὶ ὕβρει δὲ προσομιλῶν οὐ δέδοικε τὸν τῆς Ἀδραστείας νόμον, οὐδὲ αἰσχύνεται.

ιθ'. Ὁ δὲ ἀρτιτελής] 251 A.

Ταῦτα εἰπὼν περὶ τῆς ἀποπτώσεως, λοιπὸν περὶ τοῦ ἀναγομένου βούλεται εἰπεῖν, τοῦ ἀπὸ τοῦ αἰσθητοῦ κάλλους ἀναγομένου ἐπ' ἐκεῖνο τὸ κάλλος· οὐ κάλλος δὲ μόνον εἶπεν, ἀλλὰ καὶ θεοειδὲς προσέθηκε, διὰ τοῦ θεοειδοῦς δεικνὺς τὴν ὁμοιότητα τῶν τῇδε πρὸς τὰ ἐκεῖ. Θεοειδὲς γὰρ φαίνεται τοῦτο τὸ αἰσθητὸν κάλλος τῷ θεωμένῳ καὶ δι' αὐτοῦ εἰς ἀνάμνησιν ἐρχομένῳ τοῦ νοητοῦ καὶ δι' αὐτοῦ ἀναγομένῳ. Εὖ δὲ μεμιμημένον, ὅτι ὅταν κατακρατήσῃ ὁ λόγος ὁ φυσικός, τότε ἄριστα ἔχει τὸ ζῷον. |

p. 160 κ'. Πρῶτον μὲν ἔφριξε] 251 A.

Τὰ συμβαίνοντα ἡμῖν περὶ τὴν ἀνθρωπίνην ἐνέργειαν ταῦτα λέγει περὶ ἐκείνης τῆς θέας. Δεῖ δὲ ταῦτα ζωτικῶς ἐκδέχεσθαι καὶ νοερῶς· ὥσπερ γὰρ ἐνταῦθα θάμβος ἡμᾶς καταλαμβάνει καὶ ἔκπληξις, οὕτω καὶ ἐπὶ θέας θεῶν, οὐ τοιοῦτον δὲ οἷον ἐπὶ θέας πολεμίων ἐπελθόντων, ἀλλὰ κατὰ τὸ κρεῖττον τούτου τοῦ φόβου, διὰ τὸ ὑπερπλῆρες τῶν θεῶν. Δεῖ τοίνυν τὴν ἀνθρωπίνην ψυχὴν ὑποκατακλίνεσθαι τοῖς θεοῖς τοῖς ὑπερέχουσι τὴν ἡμετέραν δύναμιν καὶ φρίττειν αὐτούς, οὐχ ὡς δεινοὺς καὶ φοβεροὺς καὶ ἀντιτύπους· ταῦτα γὰρ τῆς ὕλης καὶ τῶν γηγενῶν τὰ δείματα. Τὴν διέγερσιν οὖν τὴν ἐπ' ἐκεῖνα φρίκην ἐκάλεσε, τὴν διὰ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά. — Τῶν τότε δὲ δειμάτων, τῶν θεαμάτων ἐκείνων, τῶν θείων φόβων, οὐ τῶν φόβων τῶν ὡς πρὸς πολεμίους ὅπερ γὰρ ἐνταῦθά ἐστιν ἱδρώς, τοῦτο ἐκεῖ ὁ θεῖος φόβος. — Ὡς θεόν, ὡς ἄγαλμα αὐτὸν θεοῦ· καὶ ἔθυσεν ἄν, εἰ μὴ ἐφοβεῖτο, ὡς ἀγάλματι τοῖς παιδικοῖς. Δῆλον δὲ ὅτι οὐκ αὐτῷ λέγει, ἀλλὰ τῷ κάλλει, οὗπέρ ἐστιν ἴνδαλμα καὶ ὁμοίωμα καὶ εἰκών, τουτέστι τῷ νοητῷ· καὶ γὰρ καὶ ἐνταῦθα οἱ τοῖς ἀγάλμασι θύοντες οὐκ αὐτῇ ὕλῃ θύουσι καὶ ταῖς εἰκόσιν, ἀλλὰ τοῖς θεοῖς.

TIT 15 τίς ὁ πρὸς τοὺς θεούς ἐστιν [φόβος a

NC 1-2 κοινωνεῖν] βαίνειν linea inferiore notatum A^a^, in marg. συμπλέκεσθαι a 4 δέδοικεν Plat. 5 οὐδ' Plat. 6 ὁ rubr. A 14 πρῶτον, π rubr. A 17-18 potius θέα θεῶν in A legerim 20 ὑποκατακλίνεσθαι] ὑπὸ τὸ κατακλίνεσθαι M : ὑπό τι κατακλίνεσθαι ABT ὑπερέχουσι] litt. περέχουσι A^a^ 22 δείματα scripsi : δείγματα libri 24 δειμάτων] δειγμάτων M 25 πολεμίους] πολέμια M 26 ὡς ἀγάλματι καὶ θεῷ τοῖς παιδικοῖς Plat. (« καὶ θεῷ *addubito* » SCHANZ qui Hermiæ locum nosse non videtur) 29 καὶ post γὰρ om. M

[159] ἐπειδὴ ἀσωμάτων ἐστὶν ἡ φρόνησις καὶ ἐν ἀσωμάτῳ οὐσίᾳ τῆς ψυχῆς ὁρᾶται. Τί οὖν οἱ φιλόσοφοι οὐ περὶ ἐκεῖνα μᾶλλον ἐπτόηνται, λέγω δὴ φρόνησιν, δικαιοσύνην καὶ τὰ ὅμοια; Ἀλλὰ λέγομεν ὅτι νῦν οὐ περὶ τῶν φιλοσόφων τῶν ἤδη ἀναχθέντων ἀπὸ τῶν εἰδῶν ἐπὶ τὰ νοητὰ λέγει, ἀλλὰ περὶ τοῦ ἐρωτικοῦ τοῦ διὰ τοῦ κάλλους ἐπ' ἐκεῖνα· ἔστι δὲ τὸ ἐρωτικὸν πλάτος πολύ.

ιζʹ. Νῦν δὲ κάλλος μόνον] 250 D.

Ἐπειδὴ ἀναλογεῖ τῷ φωτί (τὸ γὰρ ἀπὸ τοῦ ἡλίου φῶς συνδετικόν ἐστιν ὁρατικοῦ καὶ ὁρατοῦ· συζεύγνυται γὰρ ὅρασις ὁρατῷ· καὶ τούτων γίνεται τὸ φῶς δεσμός), τὸν αὐτὸν τρόπον καὶ τὸ κάλλος συνδετικόν ἐστι καὶ ἑνωτικὸν τῆς ψυχῆς πρὸς ἀναγωγὴν τῶν νοητῶν. Ἔσχεν οὖν τοιαύτην μοῖραν τὸ κάλλος, τὸ διεγείρειν ἡμᾶς καὶ κινεῖν τὴν ψυχὴν ἐπὶ τὰ νοητά.

ιηʹ. Ὁ μὲν οὖν μὴ νεοτελής] 250 E.

Τοῦ ἐπιστήμονός ἐστι καὶ τὰς πτώσεις καὶ τὰ ἐναντία τῶν πραγμάτων θεωρεῖν, ὡς καὶ ἰατροῦ τὰ ὑγιεινὰ καὶ νοσώδη. Βούλεται οὖν διὰ τῶν νῦν λεγομένων τὰς ἀποπτώσεις τοῦ ἔρωτος θεωρεῖν καὶ εἰπεῖν πῶς ὑποφέρεται εἰς ἀκολασίαν· ὕστερον γὰρ λέγει καὶ τὰ κατορθώματα, ὅτι φησὶν « ἡ ψυχὴ ἡ μὴ νεοτελής, ἡ μὴ πολυθεάμων, ἡ συντυχίᾳ καὶ λήθῃ χρησαμένη, ὁρῶσα τὸ κάλλος οὐ σέβεται, ἀλλὰ δίκην τετράποδος ζῴου βαίνειν εἰς αὐτὸ ἐπιχειρεῖ. » — Τῷ δὲ βαίνειν ἐχρήσατο ὅπερ μᾶλλον τοῖς ἀλόγοις ζῴοις ἁρμόζει. — Διεφθαρμένος δὲ ὁ μὴ ἔχων τὴν μνήμην. — Οὐκ ὀξέως ἐνθένδε δὲ, τουτέστιν ἀπὸ τῶν αἰσθητῶν καλῶν ἀναπέμπεται ἐπὶ τὸ νοητὸν καλόν. — Καλῶς δὲ ἐπωνυμίαν εἶπεν, ἐπειδὴ βούλεται πρώτως τὰ ὀνόματα κεῖσθαι τοῖς νοητοῖς, καὶ τοὺς σοφοὺς κατανοήσαντας τοῖς εἴδεσιν οὕτω τὰ ἐνταῦθα ἐξ ἐκείνων ἐπονομάσαι. Ὁ δὲ φιλόσοφος Ἀριστοτέλης τοῖς πράγμασι τοῖς αἰσθητοῖς πρώτως βούλεται κεῖσθαι τὰ ὀνόματα.
f° 66 r° — Θεώμενος οὖν, φησὶ, τὸ αἰσθητὸν κάλλος | οὐκ ἀναμιμνήσκεται ἀπ' αὐτοῦ ἐκείνου τοῦ κάλλους, ὥστε οὐ σέβεται προσορῶν· Ὥσπερ γὰρ τὰ ἀγάλματα τῶν θεῶν ὁ εὐσεβὴς καὶ σώφρων ἀνὴρ προσκυνεῖ, ὡς ὁμοιότητά τινα ἔχοντα πρὸς τὰ θεῖα, οὕτως καὶ ὁ ἐρωτικὸς τὸ ἐνταῦθα κάλλος ὁρῶν ὡς ὁμοιότητα ἔχον πρὸς τὸ θεῖον κάλλος, σέβεται ὡς ἄγαλμα. Τὸ δὲ ἡδονῇ παραδοὺς τετράποδος νόμῳ οἷον ἄν τις ὡς αἰχμάλωτος ὑπὸ

TIT 23 Πλάτωνος καὶ Ἀριστοτέλης (l. Ἀριστοτέλους) περὶ τῶν ὀνομάτων διαφοράν (l. διαφορά) C

NC 1 ἀσώματον? 4 ἤδη] εἴδη M (jam correxerat Ast) 5 ἐπέκεινα libri : intellege ἀναχθέντος 7 νῦν, ν rubr. A 12 τὸ δὲ διεγείρειν M (τὸ δὴ διεγείρειν Ast) 13 ὁ rubr. A 16 πῶς om. M 18 ἡ μὴ νεοτελὴς] ἡμινεοτελὴς M 22 δὲ om. M Plat. 23-24 τὰ ὀνόματα πρώτως M 25 ἐπονομάσαι scripsi : ἐπονομάσαντας libri 27 αἰσθητὸν] αἰσθητικὸν M 28 ὥστ' Plat. 32 νόμῳ] νόμον Plat. : om. DE

[159] τῆς ἡδονῆς βληθεὶς καὶ συρόμενος ὑπ' αὐτῆς, οὐ νόμῳ ἀνθρωπίνῳ κοινωνεῖν ἐπιχειρεῖ, ἀλλὰ τετράποδος δίκην βαίνειν ἐπιχειρεῖ καὶ παιδοσπορεῖν, τουτέστιν εἰς παῖδας σπείρειν καὶ ἀνόνητα ποιεῖν, ὥσπερ καὶ ὁ εἰς πέτρας σπείρων, καὶ ὕβρει δὲ προσομιλῶν οὐ δέδοικε τὸν τῆς Ἀδραστείας νόμον, οὐδὲ αἰσχύνεται.

ιθ'. Ὁ δὲ ἀρτιτελής] 251 A.

Ταῦτα εἰπὼν περὶ τῆς ἀποπτώσεως, λοιπὸν περὶ τοῦ ἀναγομένου βούλεται εἰπεῖν, τοῦ ἀπὸ τοῦ αἰσθητοῦ κάλλους ἀναγομένου ἐπ' ἐκεῖνο τὸ κάλλος· οὐ κάλλος δὲ μόνον εἶπεν, ἀλλὰ καὶ θεοειδὲς προσέθηκε, διὰ τοῦ θεοειδοῦς δεικνὺς τὴν ὁμοιότητα τῶν τῇδε πρὸς τὰ ἐκεῖ. Θεοειδὲς γὰρ φαίνεται τοῦτο τὸ αἰσθητὸν κάλλος τῷ θεωμένῳ καὶ δι' αὐτοῦ εἰς ἀνάμνησιν ἐρχομένῳ τοῦ νοητοῦ καὶ δι' αὐτοῦ ἀναγομένῳ. Εὖ δὲ μεμιμημένον, ὅτι ὅταν κατακρατήσῃ ὁ λόγος ὁ φυσικός, τότε ἄριστα ἔχει τὸ ζῷον. |

p. 160 κ'. Πρῶτον μὲν ἔφριξε] 251 A.

Τὰ συμβαίνοντα ἡμῖν περὶ τὴν ἀνθρωπίνην ἐνέργειαν ταῦτα λέγει περὶ ἐκείνης τῆς θέας. Δεῖ δὲ ταῦτα ζωτικῶς ἐκδέχεσθαι καὶ νοερῶς· ὥσπερ γὰρ ἐνταῦθα θάμβος ἡμᾶς καταλαμβάνει καὶ ἔκπληξις, οὕτω καὶ ἐπὶ θέας θεῶν, οὐ τοιοῦτον δὲ οἷον ἐπὶ θέας πολεμίων ἐπελθόντων, ἀλλὰ κατὰ τὸ κρεῖττον τούτου τοῦ φόβου, διὰ τὸ ὑπερπλῆρες τῶν θεῶν. Δεῖ τοίνυν τὴν ἀνθρωπίνην ψυχὴν ὑποκατακλίνεσθαι τοῖς θεοῖς τοῖς ὑπερέχουσι τὴν ἡμετέραν δύναμιν καὶ φρίττειν αὐτούς, οὐχ ὡς δεινοὺς καὶ φοβεροὺς καὶ ἀντιτύπους· ταῦτα γὰρ τῆς ὕλης καὶ τῶν γηγενῶν τὰ δείματα. Τὴν διέγερσιν οὖν τὴν ἐπ' ἐκεῖνα φρίκην ἐκάλεσε, τὴν διὰ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά. — Τῶν τότε δὲ δειμάτων, τῶν θεαμάτων ἐκείνων, τῶν θείων φόβων, οὐ τῶν φόβων τῶν ὡς πρὸς πολεμίους· ὅπερ γὰρ ἐνταῦθά ἐστιν ἱδρώς, τοῦτο ἐκεῖ ὁ θεῖος φόβος. — Ὡς θεόν, ὡς ἄγαλμα αὐτὸν θεοῦ· καὶ ἔθυσεν ἄν, εἰ μὴ ἐφοβεῖτο, ὡς ἀγάλματι τοῖς παιδικοῖς. Δῆλον δὲ ὅτι οὐκ αὐτῷ λέγει, ἀλλὰ τῷ κάλλει, οὗπέρ ἐστιν ἴνδαλμα καὶ ὁμοίωμα καὶ εἰκών, τουτέστι τῷ νοητῷ· καὶ γὰρ καὶ ἐνταῦθα οἱ τοῖς ἀγάλμασι θύοντες οὐκ αὐτῇ ὕλῃ θύουσι καὶ ταῖς εἰκόσιν, ἀλλὰ τοῖς θεοῖς.

TIT 15 τίς ὁ πρὸς τοὺς θεούς ἐστιν [φόβος a

NC 1-2 κοινωνεῖν] βαίνειν linea inferiore notatum A^a^, in marg. συμπλέκεσθαι a 4 δέδοικεν Plat. 5 οὐδ' Plat. 6 ὁ rubr. A 14 πρῶτον, π rubr. A 17-18 potius θέα θεῶν in A legerim 20 ὑποκατακλίνεσθαι] ὑπὸ τὸ κατακλίνεσθαι M : ὑπό τι κατακλίνεσθαι Ast ὑπερέχουσι] litt. περέχουσι A^a^ 22 δείματα scripsi : δείγματα libri 24 δειμάτων] δειγμάτων M 25 πολεμίους] πολέμια M 26 ὡς ἀγάλματι καὶ θεῷ τοῖς παιδικοῖς Plat. (« καὶ θεῷ *addubito* » Schanz qui Hermiæ locum nosse non videtur) 29 καὶ post γὰρ om. M

[160] κα'. Ἰδόντα δ' αὐτόν] 251 A.

Βούλεται εἰπεῖν τὰ συμβαίνοντα περὶ τὴν θέαν καὶ τὴν ἀνάμνησιν τοῦ νοητοῦ κάλλους ἰδόντα τὸ κάλλος καὶ ἐκ τούτου ἀναπεμπαζόμενον ἐπὶ τὸ νοητὸν κάλλος· ἐκ γὰρ τῆς φρίκης μεταβολὴ λαμβάνει· διττὴ δὲ ἡ μεταβολή, ἡ μὲν ἀπὸ τοῦ νοητοῦ ἐπὶ τὴν γένεσιν μεταβολή, ἣν καὶ ἀπόπτωσιν εἶπε τῆς ψυχῆς, ἡ δὲ ἀπὸ τῆς γενέσεως ἐπὶ τὸ νοητόν, ἣν θέαν καλεῖ. Νῦν οὖν περὶ τῆς πτεροφυήσεως βούλεται εἰπεῖν πῶς ἄρχεται τὸ πτερὸν ἄρδεσθαι· πάντα δὲ ταῦτα μεταφορικῶς λέγει. Ἱδρώς, τουτέστι θεῖος ἱδρώς· ἐνταῦθα γὰρ οὖσα ἡ ψυχὴ τῷ ὄντι ἱδροῖ, ἕως οὗ καταδράξηται τοῦ νοητοῦ· τῆς οὖν γενέσεως σημεῖόν ἐστιν ὁ ἱδρώς· ἱδρὼς οὖν τοιοῦτος λαμβάνει ὡς ἀποθέσθαι τὴν γενεσιουργὸν ἐνέργειαν. Ἡ δὲ θερμότης οἶδας ὅτι ζωτική ἐστι· καὶ γὰρ καὶ τὰ ἐνταῦθα πάντα διὰ τῆς θερμότητος σῴζεται· ἔσται οὖν ἡ θερμότης ἡ ἀναγωγὸς δύναμις τῆς ψυχῆς τῆς διὰ πυρὸς ζώσης τῶν νοητῶν. Τὸ δὲ ἀήθης εἶπεν ἐπειδὴ πρὸ τούτου οὐκ εἶχε τοιαύτην θερμότητα, ἐν ὅσῳ ἦν περὶ τὴν γένεσιν ἀναστρεφομένη· μήπω γὰρ ἀναμνησθεῖσα τῶν νοητῶν, οὔπω εἶχε τοιαύτην θερμότητα ἐνεργόν. Ἐπειδὴ δὲ ἤρξατο ἀναμιμνήσκεσθαι, θερμαίνεται καὶ ἀνάγεται· καὶ γὰρ καὶ ἐνταῦθα ἡ θερμότης ἀναφέρει τὸ ὑγρὸν ἐπὶ τὸ ἄνω.

κβ'. Δεξάμενος γὰρ τοῦ κάλλους] 251 B.

Διὰ γὰρ τῶν ὀμμάτων ἡ ἀνάμνησις γίνεται. Τὴν δὲ ἀπορροὴν ἀντὶ
f° 66 r° τοῦ εἴδωλα τοῦ κάλλους. — Δεξάμενος, ἐπειδὴ | μερικῶς τῶν τῇδε ἀντιλαμβάνεται. — Ἐθερμάνθη δὲ ἀντὶ τοῦ ἀπεκινήθη, καθὸ ἡ ἀναγωγὸς αὐτῆς δύναμις ἄρχεται ἄρδεσθαι, ὥσπερ καὶ ἀνθεῖν. Τὸν αὐτὸν δὲ τρόπον ἂν εἴποι τις ἐπὶ τῶν καλύκων τῶν ῥόδων ὅτι μεμυκότα ἐστί, θερμανθέντα δὲ ἐξαπλοῦται· λέγει δὲ περὶ τῆς ἐξαπλώσεως καὶ ἀνόδου τῆς ψυχῆς. — Θερμανθέντα δὲ ἐτάκη· τότε γὰρ ἦν συμμεμυκότα ὑπὸ σκληρότητος, νῦν δὲ ἐτάκη καὶ διελύθη καὶ εὔλυτα γέγονε πάντα τὰ γενεσιουργὰ πρὸς ἀναγωγήν. Δύναται δὲ τὸ ἐτάκη ὡς ἐπὶ τοῦ κηροῦ λαμβάνεσθαι, ἀντὶ τοῦ διελύθη καὶ ἥπλωται· καὶ γὰρ ὁ κηρὸς τηκόμενος χέεται καὶ διαλύεται. Καὶ ἐνταῦθα δὲ σημεῖον ψυχῆς σπουδαίας ποιούμεθα, τὸ ἐξ ὀλίγων ἀφορμῶν καὶ μαθημάτων πολλὰ δύνασθαι τεκεῖν. Καὶ ἐνταῦθα οὖν ἐκ τῆς θέας καὶ τῆς προσβολῆς τοῦ κάλλους φησὶν ὅτι ἐθερμάνθη καὶ ἡπλώθη καὶ ἐπὶ τὰ ὅλα ἀνελθεῖν ἠδυνήθη τὰ περὶ τὴν ἔκφυσιν, ἃ πάλαι ὑπὸ σκληρό-

NC 1 ἰδόντα, ἰ rubr. A δὲ M 3 ἰδόντι et ἀναπεμπαζομένῳ? 7 οὖν] δὲ M 10 σημεῖον ἐστὶν A 12 ἐστί A γὰρ καὶ] κατὰ M 14 ζώσης] A ζωτικῆς M πρὸ] πρὸς M 17 καὶ post γὰρ om. M 18 ἀναφέρω A 19 δεξάμενος, δ rubr. A 25 ἐξαπλοῦνται EM 25-26 θερμανθέντα] θερμανθέν (τ suprascr.) A : θερμανθέντος Plat. : θερμανθὲν M 26 ὑπὸ σκληρότητος συμμεμυκότα Plat. 28 ὡς] καὶ M 33 τῆς σκληρότητος M

[160] τητος συμμεμυκότα ἦσαν, τουτέστιν αἱ δυνάμεις τῆς ψυχῆς, αἵτινες διὰ τὴν γένεσιν συμμεμυκυῖαι ἦσαν, ἤρξαντο εὐρύνεσθαι ὑπὸ θερμότητος καὶ τῆς ἀναγωγοῦ δυνάμεως. |

p. 161 κγ'. Ἐπιρρυείσης δὲ τῆς τροφῆς] 251 B.

Φυσικῶς ἔχει πᾶσα ψυχὴ ἀνθρωπίνη τὸ ἀνάγεσθαι· τοῦτο οὖν λέγει τὴν δύναμιν αὐτῆς τὴν τότε ἐν βάθει κεκρυμμένην καὶ ἐνέργειαν. — Ὤιδησε καὶ ηὔξησε καὶ εἰς ὄψιν ἤγαγεν ἡ ῥίζα καὶ ὁ τοῦ πτεροῦ καυλὸς καὶ ἡ ἀναγωγὸς δύναμις ἀνεκινήθη. — Ὑπὸ πᾶν τὸ τῆς ψυχῆς, ἀντὶ τοῦ πᾶσα· οὐ γὰρ τὸ μὲν αὐτῆς ἀνάγεται, τὸ δὲ οὔ, ἀλλὰ πᾶσα. — Πᾶσα γὰρ ἦν· ἀντὶ τοῦ· εἶχε τὰς ἀναγωγοὺς δυνάμεις. — Τὸ δὲ ζεῖ οὖν· ὥσπερ ἐνταῦθα τὸ ζέον τὸ ὑπερβολῇ θερμὸν ἀκούομεν, οὕτω καὶ ἐπὶ ψυχῆς ζέσιν λέγομεν τὴν ὑπερβολὴν τῆς ἐφέσεως τῆς ἀναγωγοῦ· ζεῖ οὖν τοῦτο λέγει, τουτέστι σφοδροτάτην ἔχει τὴν ἔφεσιν καὶ τὴν ὁρμὴν τὴν ἐπὶ τὰ ἄνω. — Ἀνακηκίει, τουτέστιν ἀναπηδᾷ καὶ ἐνθουσιᾷ καὶ ἐκβακχεύεται· ὁ ποιητής·

... πολὺς δ' ἀνεκήκιεν ἱδρώς.

κδ'. Καὶ ὅπερ τὸ τῶν ὀδοντοφυούντων] 251 C.

Ὥσπερ, φησί, περὶ τὴν ἀρχὴν τῆς ἐκφύσεως τῶν ὀδόντων γίνεται γαργαλισμός, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἀναμνησθεῖσα ἐφίεται τῶν ἄνω καὶ ἠρεμεῖν οὐκ ἀνέχεται καὶ ὀδυνᾶται ὡς ἔτι κατεχομένη ἐνταῦθα, ἐφιεμένη δὲ ἐκείνων. — Ὅρα δὲ πόσαις μεταφοραῖς ἐχρήσατο ὁ Πλάτων· νῦν ἀπὸ τῆς ὀδοντοφυίας, ἀνωτέρω ἀπὸ τῶν λεβήτων ὅτε ἔλεγε ζεῖ, καὶ ἀπὸ τῶν τετραπόδων καὶ τῶν ἄλλων εἶπεν.

κε'. Ὅταν μὲν οὖν] 251 C.

Περὶ τῆς ἀναγωγῆς τῆς ψυχῆς ἐστιν ὁ λόγος· καὶ ἐπειδὴ ἀναγομένη κατέχεται ἐνταῦθα πρὶν τέλεον ἀναχθῇ, βούλεται ὥσπερ σύμμιξιν ἡδονῆς καὶ λύπης εἰπεῖν, καί φησιν ὅτι ὅταν μὲν ὁρᾷ πρὸς τὸ κάλλος τοῦ παιδός, τρέφεται καὶ ἄρδεται καὶ ἥδεται τῇ μνήμῃ τῶν ἐκεῖ· ἡ γὰρ ἀνάμνησις τῶν εἰδῶν καὶ τῶν νοητῶν ἀπὸ τῶν ἐντεῦθεν γίνεται· διὸ ὁρῶν τὸ κάλλος καὶ τὰ μέρη τὰ ἐπιόντα ἀπὸ τοῦ καλοῦ οἷον εἴδωλά τινα, τρέφεται καὶ γέγηθε καὶ ἀνάγεται ἐπὶ τὸ νοητόν· ἀπόντος δὲ τοῦ καλοῦ μέμυκε καὶ οὐ-

15 Ψ 507 : cf. N 705

NC 1 συμμεμυκότα Plat. : μεμεμυκότα A[a] : μεμυκότα EM; cf. 182, 26 2 ὑπὸ] ἀπὸ M 4 ἐπιρρυείσης, ἐ rubr. A 6 καὶ ἐν βάθει M ᾤδησέ τε M Plat. 7 ηὔξησε] ἔζησε M ὁ τοῦ πτεροῦ καυλὸς Aβτ : τὸ τοῦ πτεροῦ κάλλος libri ἡ om. MDE 8 πᾶν τὸ] ταύτης A[a] 10 τὸ δὲ om. M ζεῖ Plat. t : ζῇ BT 16 καὶ rubr. A ὀδόντων φυούντων Plat. cod. T 21 τῶν om. A ante τετραπόδων 23 ὅταν, ὅ rubr. A 26 φησὶν A 29 ἐπιόντα scripsi e Platone : παριόντα libri (sed A ex παρόντα) τινὰ A

[160] κα'. Ἰδόντα δ' αὐτόν] 251 A.

• Βούλεται εἰπεῖν τὰ συμβαίνοντα περὶ τὴν θέαν καὶ τὴν ἀνάμνησιν τοῦ νοητοῦ κάλλους ἰδόντα τὸ κάλλος καὶ ἐκ τούτου ἀναπεμπαζόμενον ἐπὶ τὸ νοητὸν κάλλος· ἐκ γὰρ τῆς φρίκης μεταβολὴ λαμβάνει· διττὴ δὲ ἡ μεταβολή, ἡ μὲν ἀπὸ τοῦ νοητοῦ ἐπὶ τὴν γένεσιν μεταβολή, ἣν καὶ ἀπόπτωσιν εἶπε τῆς ψυχῆς, ἡ δὲ ἀπὸ τῆς γενέσεως ἐπὶ τὸ νοητόν, ἣν θέαν καλεῖ. Νῦν οὖν περὶ τῆς πτεροφυήσεως βούλεται εἰπεῖν πῶς ἄρχεται τὸ πτερὸν ἄρδεσθαι· πάντα δὲ ταῦτα μεταφορικῶς λέγει. Ἱδρώς, τουτέστι θεῖος ἱδρώς· ἐνταῦθα γὰρ οὖσα ἡ ψυχὴ τῷ ὄντι ἱδροῖ, ἕως οὗ καταδράξηται τοῦ νοητοῦ· τῆς οὖν γενέσεως σημεῖόν ἐστιν ὁ ἱδρώς· ἱδρὼς οὖν τοιοῦτος λαμβάνει ὡς ἀποθέσθαι τὴν γενεσιουργὸν ἐνέργειαν. Ἡ δὲ θερμότης οἶδας ὅτι ζωτική ἐστι· καὶ γὰρ καὶ τὰ ἐνταῦθα πάντα διὰ τῆς θερμότητος σῴζεται· ἔσται οὖν ἡ θερμότης ἡ ἀναγωγὸς δύναμις τῆς ψυχῆς τῆς διὰ πυρὸς ζώσης τῶν νοητῶν. Τὸ δὲ ἀήθης εἶπεν ἐπειδὴ πρὸ τούτου οὐκ εἶχε τοιαύτην θερμότητα, ἐν ὅσῳ ἦν περὶ τὴν γένεσιν ἀναστρεφομένη· μήπω γὰρ ἀναμνησθεῖσα τῶν νοητῶν, οὔπω εἶχε τοιαύτην θερμότητα ἐνεργόν. Ἐπειδὴ δὲ ἤρξατο ἀναμιμνήσκεσθαι, θερμαίνεται καὶ ἀνάγεται· καὶ γὰρ καὶ ἐνταῦθα ἡ θερμότης ἀναφέρει τὸ ὑγρὸν ἐπὶ τὸ ἄνω.

κβ'. Δεξάμενος γὰρ τοῦ κάλλους] 251 B.

Διὰ γὰρ τῶν ὀμμάτων ἡ ἀνάμνησις γίνεται. Τὴν δὲ ἀπορροὴν ἀντὶ
f° 66 r° τοῦ εἴδωλα τοῦ κάλλους. — Δεξάμενος, ἐπειδὴ | μερικῶς τῶν τῇδε ἀντιλαμβάνεται. — Ἐθερμάνθη δὲ ἀντὶ τοῦ ἀπεκινήθη, καθὸ ἡ ἀναγωγὸς αὐτῆς δύναμις ἄρχεται ἄρδεσθαι, ὥσπερ καὶ ἀνθεῖν. Τὸν αὐτὸν δὲ τρόπον ἂν εἴποι τις ἐπὶ τῶν καλύκων τῶν ῥόδων ὅτι μεμυκότα ἐστί, θερμανθέντα δὲ ἐξαπλοῦται· λέγει δὲ περὶ τῆς ἐξαπλώσεως καὶ ἀνόδου τῆς ψυχῆς. — Θερμανθέντα δὲ ἐτάκη· τότε γὰρ ἦν συμμεμυκότα ὑπὸ σκληρότητος, νῦν δὲ ἐτάκη καὶ διελύθη καὶ εὔλυτα γέγονε πάντα τὰ γενεσιουργὰ πρὸς ἀναγωγήν. Δύναται δὲ τὸ ἐτάκη ὡς ἐπὶ τοῦ κηροῦ λαμβάνεσθαι, ἀντὶ τοῦ διελύθη καὶ ἥπλωται· καὶ γὰρ ὁ κηρὸς τηκόμενος χέεται καὶ διαλύεται. Καὶ ἐνταῦθα δὲ σημεῖον ψυχῆς σπουδαίας ποιούμεθα, τὸ ἐξ ὀλίγων ἀφορμῶν καὶ μαθημάτων πολλὰ δύνασθαι τεκεῖν. Καὶ ἐνταῦθα οὖν ἐκ τῆς θέας καὶ τῆς προσβολῆς τοῦ κάλλους φησὶν ὅτι ἐθερμάνθη καὶ ἡπλώθη καὶ ἐπὶ τὰ ὅλα ἀνελθεῖν ἠδυνήθη τὰ περὶ τὴν ἔκφυσιν, ἃ πάλαι ὑπὸ σκληρό-

NC 1 ἰδόντα, ἰ rubr. A δὲ M 3 ἰδόντι et ἀναπεμπαζομένῳ? 7 οὖν] δὲ M 10 σημεῖον ἐστὶν A 12 ἐστί A γὰρ καὶ] κατὰ M 14 ζώσης] A ζωτικῆς M πρὸ] πρὸς M 17 καὶ post γὰρ om. M 18 ἀναφέρω A 19 δεξάμενος, δ rubr. A 25 ἐξαπλοῦνται EM 25-26 θερμανθέντα] θερμανθέν A : θερμανθέντος Plat. : θερμανθὲν M 26 ὑπὸ σκληρότητος συμμεμυκότα Plat. 28 ὡς] καὶ M 33 τῆς σκληρότητος M

[160] τητος συμμεμυκότα ἦσαν, τουτέστιν αἱ δυνάμεις τῆς ψυχῆς, αἵτινες διὰ τὴν γένεσιν συμμεμυκυῖαι ἦσαν, ἤρξαντο εὐρύνεσθαι ὑπὸ θερμότητος καὶ τῆς ἀναγωγοῦ δυνάμεως. |

p. 161 κγ΄. Ἐπιρρυείσης δὲ τῆς τροφῆς] 251 B.

Φυσικῶς ἔχει πᾶσα ψυχὴ ἀνθρωπίνη τὸ ἀνάγεσθαι· τοῦτο οὖν λέγει τὴν δύναμιν αὐτῆς τὴν τότε ἐν βάθει κεκρυμμένην καὶ ἐνέργειαν. — Ὤιδησε καὶ ηὔξησε καὶ εἰς ὄψιν ἤγαγεν ἡ ῥίζα καὶ ὁ τοῦ πτεροῦ καυλὸς καὶ ἡ ἀναγωγὸς δύναμις ἀνεκινήθη. — Ὑπὸ πᾶν τὸ τῆς ψυχῆς, ἀντὶ τοῦ πᾶσα· οὐ γὰρ τὸ μὲν αὐτῆς ἀνάγεται, τὸ δὲ οὔ, ἀλλὰ πᾶσα. — Πᾶσα γὰρ ἦν· ἀντὶ τοῦ· εἶχε τὰς ἀναγωγοὺς δυνάμεις. — Τὸ δὲ ζεῖ οὖν· ὥσπερ ἐνταῦθα τὸ ζέον τὸ ὑπερβολῇ θερμὸν ἀκούομεν, οὕτω καὶ ἐπὶ ψυχῆς ζέσιν λέγομεν τὴν ὑπερβολὴν τῆς ἐφέσεως τῆς ἀναγωγοῦ· ζεῖ οὖν τοῦτο λέγει, τουτέστι σφοδροτάτην ἔχει τὴν ἔφεσιν καὶ τὴν ὁρμὴν τὴν ἐπὶ τὰ ἄνω. — Ἀνακηκίει, τουτέστιν ἀναπηδᾷ καὶ ἐνθουσιᾷ καὶ ἐκβακχεύεται· ὁ ποιητής·

... πολὺς δ' ἀνεκήκιεν ἱδρώς.

κδ΄. Καὶ ὅπερ τὸ τῶν ὀδοντοφυούντων] 251 C.

Ὥσπερ, φησί, περὶ τὴν ἀρχὴν τῆς ἐκφύσεως τῶν ὀδόντων γίνεται γαργαλισμός, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἀναμνησθεῖσα ἐφίεται τῶν ἄνω καὶ ἠρεμεῖν οὐκ ἀνέχεται καὶ ὀδυνᾶται ὡς ἔτι κατεχομένη ἐνταῦθα, ἐφιεμένη δὲ ἐκείνων. — Ὅρα δὲ πόσαις μεταφοραῖς ἐχρήσατο ὁ Πλάτων· νῦν ἀπὸ τῆς ὀδοντοφυΐας, ἀνωτέρω ἀπὸ τῶν λεβήτων ὅτε ἔλεγε ζεῖ, καὶ ἀπὸ τῶν τετραπόδων καὶ τῶν ἄλλων εἶπεν.

κε΄. Ὅταν μὲν οὖν] 251 C.

Περὶ τῆς ἀναγωγῆς τῆς ψυχῆς ἐστιν ὁ λόγος· καὶ ἐπειδὴ ἀναγομένη κατέχεται ἐνταῦθα πρὶν τέλεον ἀναχθῇ, βούλεται ὥσπερ σύμμιξιν ἡδονῆς καὶ λύπης εἰπεῖν, καί φησιν ὅτι ὅταν μὲν ὁρᾷ πρὸς τὸ κάλλος τοῦ παιδός, τρέφεται καὶ ἄρδεται καὶ ἥδεται τῇ μνήμῃ τῶν ἐκεῖ· ἡ γὰρ ἀνάμνησις τῶν εἰδῶν καὶ τῶν νοητῶν ἀπὸ τῶν ἐντεῦθεν γίνεται· διὸ ὁρῶν τὸ κάλλος καὶ τὰ μέρη τὰ ἐπιόντα ἀπὸ τοῦ καλοῦ οἷον εἴδωλά τινα, τρέφεται καὶ γέγηθε καὶ ἀνάγεται ἐπὶ τὸ νοητόν· ἀπόντος δὲ τοῦ καλοῦ μέμυκε καὶ οὐ-

15 Ψ 507 : cf. N 705

NC 1 συμμεμυκότα Plat. : μεμεμυκότα A[a] : μεμυκότα EM; cf. 182, 26 2 ὑπὸ] ἀπὸ M 4 ἐπιρρυείσης, ἐ rubr. A 6 καὶ ἐν βάθει M ᾤδησέ τε M Plat. 7 ηὔξησε] ἔζησε M ὁ τοῦ πτεροῦ καυλὸς AST : τὸ τοῦ πτεροῦ κάλλος libri ἡ om. MDE 8 πᾶν τὸ] ταύτης A[a] 10 τὸ δὲ om. M ζεῖ Plat. t : ζῇ BT 16 καὶ rubr. A ὀδόντων φυούντων Plat. cod. T 21 τῶν om. A ante τετραπόδων 23 ὅταν, ὅ rubr. A 26 φησὶν A 29 ἐπιόντα scripsi e Platone : παριόντα libri (sed A ex παρόντα) τινὰ A

[160] κα'. Ἰδόντα δ' αὐτόν] 251 A.

• Βούλεται εἰπεῖν τὰ συμβαίνοντα περὶ τὴν θέαν καὶ τὴν ἀνάμνησιν τοῦ νοητοῦ κάλλους ἰδόντα τὸ κάλλος καὶ ἐκ τούτου ἀναπεμπαζόμενον ἐπὶ τὸ νοητὸν κάλλος· ἐκ γὰρ τῆς φρίκης μεταβολὴ λαμβάνει· διττὴ δὲ ἡ μεταβολή, ἡ μὲν ἀπὸ τοῦ νοητοῦ ἐπὶ τὴν γένεσιν μεταβολή, ἣν καὶ ἀπόπτωσιν εἶπε τῆς ψυχῆς, ἡ δὲ ἀπὸ τῆς γενέσεως ἐπὶ τὸ νοητόν, ἣν θέαν καλεῖ. Νῦν οὖν περὶ τῆς πτεροφυήσεως βούλεται εἰπεῖν πῶς ἄρχεται τὸ πτερὸν ἄρδεσθαι· πάντα δὲ ταῦτα μεταφορικῶς λέγει. Ἱδρώς, τουτέστι θεῖος ἱδρώς· ἐνταῦθα γὰρ οὖσα ἡ ψυχὴ τῷ ὄντι ἱδροῖ, ἕως οὗ καταδράξηται τοῦ νοητοῦ· τῆς οὖν γενέσεως σημεῖόν ἐστιν ὁ ἱδρώς· ἱδρὼς οὖν τοιοῦτος λαμβάνει ὡς ἀποθέσθαι τὴν γενεσιουργὸν ἐνέργειαν. Ἡ δὲ θερμότης οἶδας ὅτι ζωτική ἐστι· καὶ γὰρ καὶ τὰ ἐνταῦθα πάντα διὰ τῆς θερμότητος σῴζεται· ἔσται οὖν ἡ θερμότης ἡ ἀναγωγὸς δύναμις τῆς ψυχῆς τῆς διὰ πυρὸς ζώσης τῶν νοητῶν. Τὸ δὲ ἀήθης εἶπεν ἐπειδὴ πρὸ τούτου οὐκ εἶχε τοιαύτην θερμότητα, ἐν ὅσῳ ἦν περὶ τὴν γένεσιν ἀναστρεφομένη· μήπω γὰρ ἀναμνησθεῖσα τῶν νοητῶν, οὔπω εἶχε τοιαύτην θερμότητα ἐνεργόν. Ἐπειδὴ δὲ ἤρξατο ἀναμιμνήσκεσθαι, θερμαίνεται καὶ ἀνάγεται· καὶ γὰρ καὶ ἐνταῦθα ἡ θερμότης ἀναφέρει τὸ ὑγρὸν ἐπὶ τὸ ἄνω.

κβ'. Δεξάμενος γὰρ τοῦ κάλλους] 251 B.

Διὰ γὰρ τῶν ὀμμάτων ἡ ἀνάμνησις γίνεται. Τὴν δὲ ἀπορροὴν ἀντὶ
f° 66 r° τοῦ εἴδωλα τοῦ κάλλους. — Δεξάμενος, ἐπειδὴ | μερικῶς τῶν τῇδε ἀντιλαμβάνεται. — Ἐθερμάνθη δὲ ἀντὶ τοῦ ἀπεκινήθη, καθὸ ἡ ἀναγωγὸς αὐτῆς δύναμις ἄρχεται ἄρδεσθαι, ὥσπερ καὶ ἀνθεῖν. Τὸν αὐτὸν δὲ τρόπον ἂν εἴποι τις ἐπὶ τῶν καλύκων τῶν ῥόδων ὅτι μεμυκότα ἐστί, θερμανθέντα δὲ ἐξαπλοῦται· λέγει δὲ περὶ τῆς ἐξαπλώσεως καὶ ἀνόδου τῆς ψυχῆς. — Θερμανθέντα δὲ ἐτάκη· τότε γὰρ ἦν συμμεμυκότα ὑπὸ σκληρότητος, νῦν δὲ ἐτάκη καὶ διελύθη καὶ εὔλυτα γέγονε πάντα τὰ γενεσιουργὰ πρὸς ἀναγωγήν. Δύναται δὲ τὸ ἐτάκη ὡς ἐπὶ τοῦ κηροῦ λαμβάνεσθαι, ἀντὶ τοῦ διελύθη καὶ ἥπλωται· καὶ γὰρ ὁ κηρὸς τηκόμενος χέεται καὶ διαλύεται. Καὶ ἐνταῦθα δὲ σημεῖον ψυχῆς σπουδαίας ποιούμεθα, τὸ ἐξ ὀλίγων ἀφορμῶν καὶ μαθημάτων πολλὰ δύνασθαι τεκεῖν. Καὶ ἐνταῦθα οὖν ἐκ τῆς θέας καὶ τῆς προσβολῆς τοῦ κάλλους φησὶν ὅτι ἐθερμάνθη καὶ ἡπλώθη καὶ ἐπὶ τὰ ὅλα ἀνελθεῖν ἠδυνήθη τὰ περὶ τὴν ἔκφυσιν, ἃ πάλαι ὑπὸ σκληρό-

NC 1 ἰδόντα, ἰ rubr. A δὲ M 3 ἰδόντι et ἀναπεμπαζομένῳ? 7 οὖν] δὲ M 10 σημεῖον ἐστὶν A 12 ἐστί A γὰρ καὶ] κατὰ M 14 ζώσης] A ζωτικῆς M πρὸ] πρὸς M 17 καὶ post γὰρ om. M 18 ἀναφέρω A 19 δεξάμενος, δ rubr. A 25 ἐξαπλοῦνται EM 25-26 θερμανθέντα] θερμανθέν (τ supra) A : θερμανθέντος Plat. : θερμανθὲν M 26 ὑπὸ σκληρότητος συμμεμυκότα Plat. 28 ὡς] καὶ M 33 τῆς σκληρότητος M

[160] τητος συμμεμυκότα ἦσαν, τουτέστιν αἱ δυνάμεις τῆς ψυχῆς, αἵτινες διὰ τὴν γένεσιν συμμεμυκυῖαι ἦσαν, ἤρξαντο εὐρύνεσθαι ὑπὸ θερμότητος καὶ τῆς ἀναγωγοῦ δυνάμεως. |

p. 161 κγʹ. Ἐπιρρυείσης δὲ τῆς τροφῆς] 251 B.

Φυσικῶς ἔχει πᾶσα ψυχὴ ἀνθρωπίνη τὸ ἀνάγεσθαι· τοῦτο οὖν λέγει τὴν δύναμιν αὐτῆς τὴν τότε ἐν βάθει κεκρυμμένην καὶ ἐνέργειαν. — Ὤιδησε καὶ ηὔξησε καὶ εἰς ὄψιν ἤγαγεν ἡ ῥίζα καὶ ὁ τοῦ πτεροῦ καυλὸς καὶ ἡ ἀναγωγὸς δύναμις ἀνεκινήθη. — Ὑπὸ πᾶν τὸ τῆς ψυχῆς, ἀντὶ τοῦ πᾶσα· οὐ γὰρ τὸ μὲν αὐτῆς ἀνάγεται, τὸ δὲ οὔ, ἀλλὰ πᾶσα. — Πᾶσα γὰρ ἦν· ἀντὶ τοῦ· εἶχε τὰς ἀναγωγοὺς δυνάμεις. — Τὸ δὲ ζεῖ οὖν· ὥσπερ ἐνταῦθα τὸ ζέον τὸ ὑπερβολῇ θερμὸν ἀκούομεν, οὕτω καὶ ἐπὶ ψυχῆς ζέσιν λέγομεν τὴν ὑπερβολὴν τῆς ἐφέσεως τῆς ἀναγωγοῦ· ζεῖ οὖν τοῦτο λέγει, τουτέστι σφοδροτάτην ἔχει τὴν ἔφεσιν καὶ τὴν ὁρμὴν τὴν ἐπὶ τὰ ἄνω. — Ἀνακηκίει, τουτέστιν ἀναπηδᾷ καὶ ἐνθουσιᾷ καὶ ἐκβακχεύεται· ὁ ποιητής·

... πολὺς δ' ἀνεκήκιεν ἱδρώς.

κδʹ. Καὶ ὅπερ τὸ τῶν ὀδοντοφυούντων] 251 C.

Ὥσπερ, φησί, περὶ τὴν ἀρχὴν τῆς ἐκφύσεως τῶν ὀδόντων γίνεται γαργαλισμός, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἀναμνησθεῖσα ἐφίεται τῶν ἄνω καὶ ἠρεμεῖν οὐκ ἀνέχεται καὶ ὀδυνᾶται ὡς ἔτι κατεχομένη ἐνταῦθα, ἐφιεμένη δὲ ἐκείνων. — Ὅρα δὲ πόσαις μεταφοραῖς ἐχρήσατο ὁ Πλάτων· νῦν ἀπὸ τῆς ὀδοντοφυΐας, ἀνωτέρω ἀπὸ τῶν λεβήτων ὅτε ἔλεγε ζεῖ, καὶ ἀπὸ τῶν τετραπόδων καὶ τῶν ἄλλων εἶπεν.

κεʹ. Ὅταν μὲν οὖν] 251 C.

Περὶ τῆς ἀναγωγῆς τῆς ψυχῆς ἐστιν ὁ λόγος· καὶ ἐπειδὴ ἀναγομένη κατέχεται ἐνταῦθα πρὶν τέλεον ἀναχθῆ, βούλεται ὥσπερ σύμμιξιν ἡδονῆς καὶ λύπης εἰπεῖν, καί φησιν ὅτι ὅταν μὲν ὁρᾷ πρὸς τὸ κάλλος τοῦ παιδός, τρέφεται καὶ ἄρδεται καὶ ἥδεται τῇ μνήμῃ τῶν ἐκεῖ· ἡ γὰρ ἀνάμνησις τῶν εἰδῶν καὶ τῶν νοητῶν ἀπὸ τῶν ἐντεῦθεν γίνεται· διὸ ὁρῶν τὸ κάλλος καὶ τὰ μέρη τὰ ἐπιόντα ἀπὸ τοῦ καλοῦ οἷον εἴδωλά τινα, τρέφεται καὶ γέγηθε καὶ ἀνάγεται ἐπὶ τὸ νοητόν· ἀπόντος δὲ τοῦ καλοῦ μέμυκε καὶ οὐ-

15 Ψ 507 : cf. N 705

NC 1 συμμεμυκότα Plat. : μεμεμυκότα A[a] : μεμυκότα EM; cf. 182, 26 2 ὑπὸ] ἀπὸ M 4 ἐπιρρυείσης, ἐ rubr. A 6 καὶ ἐν βάθει M ᾤδησέ τε M Plat. 7 ηὔξησε] ἔζησε M ὁ τοῦ πτεροῦ καυλὸς AST : τὸ τοῦ πτεροῦ κάλλος libri ἡ om. MDE 8 πᾶν τὸ] ταύτης A[a] 10 τὸ δὲ om. M ζεῖ Plat. t : ζῇ BT 16 καὶ rubr. A ὀδόντων φυούντων Plat. cod. T 21 τῶν om. A ante τετραπόδων 23 ὅταν, ὅ rubr. A 26 φησὶν A 29 ἐπιόντα scripsi e Platone : παριόντα libri (sed A ex παρόντα) τινὰ A

[161] κέτι ἄρδεται τὸ πτερόν, ἀλλὰ αὐαίνεται. Τοῦτο δὲ εἶπε τὸ αὐαίνεται ἀπὸ μεταφορᾶς τῶν δένδρων. Σύμφωνα δέ ἐστι τὰ λεγόμενα τοῖς λεχθεῖσιν f° 67 r° ἐν τῷ Συμποσίῳ περὶ τῆς γενέσεως τοῦ Ἔρωτος, | ἔνθα ἔλεγεν ἐκ Πενίας καὶ Πόρου γεγεννῆσθαι τὸν Ἔρωτα· ἐπειδὴ γὰρ οὐκ ἔστι τῶν εὐπόρων θεῶν τῶν ἀεὶ ἡνωμένων τοῖς πρώτοις αἰτίοις, οὔτε μὴν τῆς ὕλης καὶ τῆς ἐνδείας ἀλλὰ τῶν μέσων, τὴν μεσότητα βουλόμενος αὐτοῦ ἐκφῆναι, ἐκ Πενίας καὶ Πόρου αὐτὸν εἶπε· καὶ ἐνταῦθα οὖν μικτήν τινα αὐτοῦ τὴν ἐνέργειαν παραδίδωσι τὴν ἐξ ἡδονῆς καὶ λύπης. Μέρη δὲ ἐπιόντα εἶπεν ἀντὶ τοῦ εἴδωλα, διὰ τὸ μεριστὸν τῶν ἐνταῦθα πραγμάτων καὶ ἔνυλον· ἐνταῦθα δὲ τὸ κάλλος μεριστόν ἐστι, καὶ οὐχ ὁλοῦ τοῦ εἴδους ἐνταῦθα λαμβάνομεν, ἀλλὰ ὧν δύναται ἡ φύσις μετασχεῖν· ἐκεῖ δὲ τὸ κάλλος ἡνωμένον ἐστὶ καὶ ἀδιάφθορον. — Ἵμερος δὲ καλεῖται, ὅτι ἐν τῷ Κρατύλῳ φησὶν ὡς ἵμερος ἐρρέθη παρὰ τὸ ἱέμενος ῥεῖν· ἐκεῖ γάρ φησι τὴν τῶν ὀνομάτων ὀρθότητα κεῖσθαι ἐπὰν συμφωνῇ τῷ πράγματι· ἐνταῦθα δὲ ἵμερος εἴρηται παρὰ τὴν ἀπορροὴν τὴν ἀπὸ τοῦ κάλλους, ἀπὸ τοῦ εἰσρεῖν, ὅταν τὰ μέρη τοῦ κάλλους τὰ ἐπιόντα εἰσδεξάμενος διὰ τῶν ὀμμάτων ἄρδηται καὶ θερμαίνηται καὶ αὔξηται καὶ τρέφηται ἡ ψυχή. — Ὅρα δὲ καὶ πόσαις μεταφοραῖς κέχρηται· καὶ νῦν γὰρ τῇ ἀπὸ τῆς ἀρδείας τῶν φυτῶν κέχρηται. Θέρμην δὲ λέγει τὴν ζωτικήν, ὡς καὶ τὰ λόγιά φασι·

θέρμη ψυχοῦσα τὰ πάντα.

Τὸ δὲ λωφᾷ τε καὶ γέγηθεν ὁρῶσα τὸ κάλλος παρόν (εἰ μὴ ὡς πρὸς p. 162 τὸ φαινόμενον κάλλος ἐξηγήσαιτό τις) εἴποι ἂν ὅτι, ὅταν τὸ | ἀπὸ τοῦ νοητοῦ κάλλους διαδύνῃ εἰς τὴν ψυχήν, ἀπὸ τοῦ εἰσρεῖν κληθείη ἂν ἵμερος, καὶ ἐν ὅσῳ ἐσμὲν πρὸς τοῖς νοητοῖς καὶ τῇ θεωρίᾳ ἐκείνῃ, χαίρομεν καὶ γέγηθεν ἡ ψυχή.

κς'. Ὅταν δὲ χωρὶς γένηται] 251 D.

Μεταφορικῶς πάντα λέγει καὶ ὡς ἀπὸ τῆς ἀρδείας τὸν αὐχμὸν λαμβάνει, ὅταν μὴ ἄρδηται τὸ φυτὸν ὅτι αὐαίνεται. Ὅταν οὖν ἡ ψυχὴ μηκέτι ἄρδηται τούτῳ τῷ κάλλει, ἀλλὰ γένηται ἐν τῇ γενέσει καὶ ἀποστῇ τῶν νοητῶν, ἐμποδίζεται.

3 *Conviv.* 203 B   12 *Crat.* 419 E   8 cf. Procl. *in Tim.* 124 D et 158 A

NC 1 αὐαίνεται non habet Plato, sed συναυαινόμενα   4 γεγενῆσθαι M et A ante emend. (alterum ν suprascriptum)   5 οὔτε] οὐδὲ?   6 τὴν] καὶ A^a 7 ἐκ om. A^a 10 δὲ] γὰρ A^a 10-11 λαμβανόμεθα?   11 μετασχεῖν] μεταλαβεῖν A^a ἐκεῖ δὲ] εἰκεῖ γὰρ A^a 13 ἐρέθη A^a ἰέμενος A   γὰρ φησὶ A   τὴν om. M   14 συμφωνῆται M   16 εἰσρεῖν a : εἰρεῖν A : ῥεῖν EM   ἀπιόντα A^a 18 τῇ om. M   22 λωφᾷ τε τῆς ὀδύνης Plat.   24 ἂν] ὁ A^a 25 καὶ ante ἐν non jam legitur in A   27 ὅταν, ὅ rubr. A   28 λέγει non jam legitur in A   30 κάλλει] καλῷ A^a

[162] κζ'. Ἧι τὸ πτερὸν ὁρμᾷ] 251 D.

Καθὸ ἄρξεται φύειν τὸ πτερόν. — Αὐαίνεται, τουτέστιν ἡ ἀναγωγὸς αὐτῆς δύναμις ἐμποδίζεται καὶ κατέχεται τῇ γενέσει. — Τὰ τῶν διεξόδων στόματα· τῷ ὄντι γὰρ πολλαῖς μεταφοραῖς κέχρηται· καὶ τοῦτο γὰρ τὸ ῥητὸν ὥσπερ πηγῇ ἀπεικάζων εἶπεν.

κη'. Ἡ δ' ἐντὸς μετὰ τοῦ ἱμέρου] 251 D.

Πάλιν ἐνταῦθα τὰ σφύζοντα εἶπεν ἀπὸ μεταφορᾶς τῶν φλεγμαινόντων· ὥσπερ γὰρ ἐπὶ τῶν φλεγμαινόντων ἐπείγεται ἐξελθεῖν ἔξω τὸ ὑγρὸν, κατέχεται δὲ τῇ παχύτητι τοῦ περιέχοντος σώματος, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἐνταῦθα ἐπιθυμεῖ μὲν τῶν ἐκεῖ καὶ ἔχει ἔρωτα, κατεχομένη δὲ ὑπὸ τῆς γενέσεως ἔτι εἰκότως ὀδυνᾶται· ὅθεν γλυκύπικρόν τινες εἰρήκασι τὸν ἔρωτα ἀπὸ τῶν ἐνταῦθα συμβαινόντων ἡμῖν τεκμαιρόμενοι. — Τὸ δὲ ἐγχρίει ἀντὶ τοῦ κεντεῖ καὶ ἐμπίπτει· ὡς ἐπὶ τῶν φαλαγγίων καὶ τῶν μυώπων καὶ τῶν μελισσῶν οὕτως εἶπε τὸ ἐγχρίει· πάντα γὰρ μεταφορικῶς λέγει.

κθ'. Τῇ καθ' αὑτὴν διεξόδῳ ὥστε πᾶσα κεντουμένη κύκλῳ] 251 D.

Τὴν πᾶσαν κίνησιν αὐτῆς βούλεται ἐμφῆναι. Ἐπειδὴ γὰρ πᾶσα ἦν πτερωτὴ πᾶσα οὖν κεντουμένη καὶ βουλομένη μηδὲ μέρος τι αὐτῆς ἐνταῦθα εἶναι, εἰκότως οἰστρᾷ, ἀντὶ τοῦ ἀδημονεῖ ἐκείνων ἐφιεμένη καὶ μνημονεύουσα. — Οἰστρᾷ· ὅπερ ἀνωτέρω εἶπεν ἀνακηκίει καὶ ἐνθουσιᾷ, νῦν οἰστρᾷ εἶπεν. — Ὀδυνᾶται· ταῦτα σημεῖά ἐστι τῆς λύπης· εἶπον γὰρ ἤδη ὅτι τὴν μῖξιν βούλεται παραστῆσαι· διὸ μεμνημένη διὰ τοῦ κάλλους τῶν νοητῶν, γέγηθεν· ἐπειδὰν δὲ χωρὶς αὐτοῦ γένηται, ὀδυνᾶται καὶ ἀδημονεῖ.

λ'. Ἐκ δὲ ἀμφοτέρων] 251 D.

Ἔκ τε τῆς μνήμης τοῦ καλοῦ καὶ ἐκ τῆς ἀποτεύξεως ἐκείνου, ἐπειδὴ οὐδέπω κατεδράξατο αὐτοῦ, οὐδὲ πάρεστιν αὐτῇ ἐκεῖνο τὸ ἐφετὸν, ἀδημονεῖ καὶ λυπεῖται, ὅπερ συμβαίνει ἐπὶ πάντων· οἷον ἐάν τις ἐρᾷ διδασκάλου φιλοσόφου ἐν ὅσῳ ἔχει αὐτὸν πράττοντα αὐτῷ καὶ ἀποκληροῦντα αὐτοῦ

11 τινές Sapph. fr. 37; Meleag. Posid. alii 13 ἐγχρίει — 14 μελισσῶν jam ed. Ruhnk. ad *Tim.* p. 104 ex P 18 cf. 251 B 21 ἀνωτέρω 251 B

NC 1 ᾗ rubr. A 2 αὐαίνεται cf. 184, 1 τουτέστιν] τε A[a] 6 ἡ rubr. A 16 τῇ, τ rubr. A διεξόδῳ non hic Plato 19 μὴ δὲ A 22 σημεῖα ἐστὶ A 23 εἶπον] εἶπε M μῖξιν libri διὸ μεμνημένη] διαμεμνημένης M : διαμεμνημένη D 26 ἐκ, ἐ rubr. A δὲ] δὴ M 30 αὐτῷ M αὐτοῦ ?

[162] τὴν ἐπιθυμίαν, χαίρει· ἐπὰν δὲ ἀπῇ, λυπεῖται. — Τὸ ἀδημονεῖ οὖν μέσον λύπης ἐστὶ καὶ ἡδονῆς, οἷον τῇ μὲν μνήμῃ χαίρει, τῷ δὲ μὴ παρεῖναι τὸ μνημονευτὸν λυπεῖται. — Τὸ δὲ λυττᾷ· πάλιν μεταφορικαῖς λέξεσι χρῆται καὶ ὑπερβολαῖς, « λυττᾷ, οἰστρᾷ, μαίνεται » λέγων καὶ ὅσα τοιαῦτα.

λα'. Οὔτε νυκτὸς δύναται] 251 E.

Ταῦτα μὲν καὶ ὡς ἐπὶ τῶν ἐραστῶν δύνασαι ἐκλαμβάνειν, καθάπερ καὶ ἐν
f°67v° τῷ Συμποσίῳ εἴρηται· | ἄμεινον δὲ οὕτως, ὅτι ὁ κατασχεθεὶς ἐκείνῃ τῇ θέᾳ τοῦ καλοῦ καὶ ἐκείνων ὀρεγόμενος, καὶ παίδων καὶ χρημάτων καὶ πάντων τῶν ἀνθρωπίνων καταφρονῶν, ἔχεται ἐκείνου τοῦ κάλλους ἐπάγρυπνος ὢν καὶ ἀκοίμητος· οὐ γὰρ καθεύδουσιν ἡμῖν τἀγαθὰ παρέχουσιν οἱ θεοί, ἀλλὰ δεῖ διεγηγερμένον εἶναι.

λβ'. Θεῖ δὲ ποθοῦσα] 251 E.

Τρέχει δὲ ὅπου ἂν οἴηται εἶναι τὸν ἐρώμενον κατὰ τὸ φαινόμενον, σπουδάζει δὲ ἀναχθῆναι. — Τὸ δὲ ἰδοῦσα καὶ ἐποχετευσαμένη ἀντὶ τοῦ· ἐπελθόντος δὲ τοῦ ἐποχετεύοντος ἄρδεται ὡς ἐπὶ τῶν φυτῶν, ὅταν κατίδῃ τὸ ἐφετόν· ἐν ὅσῳ γὰρ ἄπεστι τὸ καλὸν ποθούμενοι καὶ περιτρεχόμενοι ζητοῦμεν αὐτό· παρὸν δὲ περιπλεκόμεθα καὶ λαμβάνομεν. |

p. 163 λγ'. Ἔλυσε μὲν τὰ τότε συμπεφραγμένα] 251 E

Ὅρα πόσαις μεταφοραῖς ἐχρήσατο· ὡς ἀπὸ δεσμοῦ τὸ ἔλυσε εἶπε, τουτέστιν ἀπὸ τῆς γενέσεως ἐλεύθερος καὶ εὔλυτος ἐγένετο, ἤγουν πρὸς τὸ φαινόμενον τῆς λύπης ἐπαύσατο. — Ἀναπνοὴν δὲ ὡς ἀπὸ τῶν πνιγμονῶν εἶπε καὶ δεομένων· ἀναπνεύσασα οὖν καὶ τὸ ἐφετὸν εὑροῦσα κέντρων καὶ ὠδίνων ἔληξεν. Ἡδονὴν δὲ γλυκυτάτην τὴν εὐφροσύνην λέγει καὶ θέαν τοῦ νοητοῦ, ὡς πρὸς τὸ νοούμενον· τὸ δὲ φαινόμενον τὴν τοῦ παιδός.

8 ἐν τῷ Συμποσίῳ, locum non inveni

TIT 1 τὸ ἀδημονεῖ (cf. NC) μέσον ἐστὶν ἡδονῆς καὶ λύπης C

NC 1 ἀδημονεῖν CDM 4 καὶ ante ὑπερβολαῖς om. DM non μαίνεται, sed ἐμμανής apud Plat. 6 οὔτε, οὔ rubr. A 7 δύνασαι] δύναται M 11 τὰ ἀγαθὰ A[a] 12 διεγηγερμένους A[a] 13 θεῖ, θ rubr. A 14 κατὰ τὸ φαινόμενον] καλὸν ἐμφαινόμενον A[a] 15 ἰδοῦσα δὲ? 16 εποχετευσαμενος (sic) A[a] ἄρδεται evan. in A 17 ποθούμενον et περιτρεχόμενον libri : legendum fort. ποθοῦμεν καὶ περιτρέχομεν ζητοῦντες 19 ἔλυσε, ἔ rubr. A 20 ἔλυσε scripsi : ἐλύθη libri 22 λύπης] λύττης A[a] 22-23 τῆς πνιγμονῆς M 23 δεομένων] « *excidisse mihi videtur verbum vi respirandi præditum* » Ast : fort. pro δεομένων legendum ἀσθμάτων 23-24 κέντρων τε Plat. ὠδίνων] ὀδυνῶν EM 25 τὴν] τὸ M

[163] λδ'. Ὅθεν δὴ ἐκοῦσα εἶναι οὐκ ἀπολείπεται] 252 A.

Τουτέστιν ἐν ὅσῳ μὴ κατέχεται τῇ γενέσει, ἐκεῖ ἐστιν ὅλη, ἐπειδὴ ἐνταῦθα συνεζευγμένον ἔχουσα τὸ σῶμα ἀνάγκην ἔχει ἐπιστρέφεσθαι πρὸς αὐτὸ καὶ τρέφειν καὶ ἐπιμελείας ἀξιοῦν· σιτία γοῦν προσφέρουσα καὶ ποτὰ ἀφίσταται ἐκείνου ἀνάγκῃ καὶ οὐχ ἑκοῦσα. Δύνασαι δὲ λαβεῖν καὶ ὡς ἐπὶ πολιτικοῦ φιλοσόφου, ὅτι τῆς μὲν θέας ἐκείνων ἔχεται τῶν νοητῶν, διὰ δὲ τὴν ἀνάγκην τῆς πόλεως στρέφεται ἐπὶ τὰ τῇδε καὶ τὸ διοικεῖν τὰ ἀνθρώπινα πράγματα.

λε'. Οὐδέ τινα τοῦ καλοῦ] 252 A.

Τοῦ καλοῦ ἐκείνου οὔ λέγει καὶ τῆς θέας οὐδένα προτιμᾷ, ἀλλὰ πάσης σχέσεως ἀπόλυτος καὶ εὔλυτος γίνεται, καὶ οὐκέτι κατέχεται μερικοῖς δεσμοῖς καὶ σχέσει τινί, ἀλλὰ καὶ τῆς οὐσίας καὶ τῶν ἐκτὸς ἀμελεῖ, καὶ οὐδὲν τιμιώτερον τοῦ καλοῦ αὐτῷ φαίνεται.

λϛ'. Νομίμων δὲ καὶ εὐσχημόνων] 252 A.

Τουτέστι τῶν ἐνταῦθα νομίμων τῆς πόλεως, ἢ τοῦ τοιῶσδε ἀναβαλέσθαι τὸν τρίβωνα καὶ πάντων τῶν τοιούτων καὶ πάσης τῆς ἐκτὸς φαινομένης εὐσχημοσύνης καταφρονεῖ. — Τὸ δὲ ὅπου ἂν ἐᾷ τις διὰ τὸ τὸ καλὸν μόνον ἐπιδιώκειν, παρ' οὐδὲν τὰ ἄλλα πάντα τιθέμενον. — Ἰατρὸν, φησίν, εὗρε τοιαύτης ὀδύνης, δι' αὐτοῦ τὴν ἐπὶ τὸ νοητὸν θέαν ποιούμενος.

λζ'. Τοῦτο δὲ τὸ πάθος ὦ παῖ καλέ] 252 B.

Τὸ τοῦ Ἔρωτος ὄνομα ἐτυμολογῆσαι βούλεται· τουτέστι τοῦτο τὸ πάθος τὸ ἐγγινόμενον ἀπὸ τοῦ καλοῦ ἐν ἡμῖν (τὴν ἔφεσιν δὲ λέγει τοῦ καλοῦ) οἱ μὲν ἄνθρωποι Ἔρωτα καλοῦσιν ἀπὸ τοῦ εἴσω ῥεῖν, οἱ δὲ θεοὶ Πτέρωτα διὰ τὸ πτεροῦν τὴν ψυχήν. Διάφορα δέ ἐστι τὰ ὀνόματα τῶν θεῶν, ἐπειδὴ καὶ αἱ οὐσίαι αὐτῶν ὡς πρὸς τοὺς ἀνθρώπους διάφοροί εἰσι. Τοῦτο δὲ καὶ Ὅμηρος ἐποίησεν εἰπών·

χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν,

καὶ πάλιν·

ὃν Βριάρεων καλέουσι θεοί.

23 cf. *Crat.* 420 A   27 Ξ 291   29 A 403

NC 1 ὅθεν, ὅ rubr. A   2 ὅλη Aᴃᴛ   5 δύναται M   δὲ] δὴ M   καὶ λαβεῖν M   ὡς om. M   9 οὐδέ, οὐ rubr. A   13 αὐτῷ Aᴃᴛ : αὐτοῦ M : in A compendium non satis perspicuum   14 νομίμων, ν rubr. A   15 ἢ] ὡς?   15-16 ἀναβάλλεσθαι M   17 ἂν] ἐὰν Plat. cod. B   τὸ semel M   19 δι' αὐτοῦ post νοητὸν M   20 τοῦτο, τ rubr. A   23 ἔσω M

p. 163 Γράφουσι δὲ καὶ τὸν Ἔρωτα παῖδα ἐπτερωμένον· παῖδα μὲν διὰ τὸ ἀκμαῖον καὶ ἄνηβον καὶ μὴ ἀπεσκληκὸς, πτερωτὸν δὲ διὰ τὸ ἀνάγειν τὴν ψυχὴν ἐπὶ τὸ νοητόν. — Διὰ δὲ νεότητα γελάσειας, ἐπειδὴ ἄμετρον δοκεῖ εἶναι. — Ὁμηριδῶν δὲ ἐκ τῶν ἀποθέτων· Ὁμηρίδας λέγει τοὺς τὰ Ὁμήρου ᾄδοντας. Ἀποθέτων δὲ εἶπεν ἢ διὰ τὸ μὴ φέρεσθαι ἐν τοῖς ποιήμασιν αὐτοῦ, μᾶλλον δὲ βουλόμενος ἐνδείξασθαι τὸ ἀποκεκρυμμένον καὶ θεῖον τοῦ λόγου καὶ ἀπόρρητον. — Τὸ δὲ πάνυ ὑβριστικὸν ἡρμήνευσε διὰ τοῦ εἰπεῖν οὐ σφόδρα τι ἔμμετρον· ἄμετρον γάρ ἐστι τὸ ἔπος. Τί οὖν; λέγομεν ὅτι ἐνδείκνυται διὰ τούτου ὅτι παντὸς μέτρου ὑπερέχουσιν οἱ θεοί. — Τὸ δὲ οὐ σφόδρα τι εἶπεν ἐπειδὴ παρ' ἡμῖν μὲν ἴσως δοκεῖ ἄμετρον, ἔμμετρον δέ ἐστιν· ἄλλο γὰρ μέτρον θεῖόν ἐστι, καὶ ἄλλῳ μέτρῳ χρῶνται οἱ θεοὶ, ὡς καὶ ὀνόμασιν. |

f° 68 r° λη'. Τούτοις δή] 252 C.

Τουτέστι τοῖς ἀποθέτοις Ὁμήρου ἔξεστι πείθεσθαι, εἰ βούλοιτό τις·
p. 164 τοῦτο δὲ εἶπεν ἐπειδὴ δοκεῖ αὐτὸς αὐτὰ πλάσαι· | μᾶλλον δὲ διὰ τοῦτο εἶπεν ὃ καὶ ἀνωτέρω εἶπεν ὅτι ἕπεται ὁ ἀεὶ ἐθέλων καὶ δυνάμενος· φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται. Ἔξεστιν οὖν τοῖς βουλομένοις πείθεσθαι τοῖς λεχθεῖσι. Διὰ πτερόφυτον δὲ ἀνάγκην εἶπεν, ἐπειδὴ τὸ προελθὸν δεῖ ὑποστρέψαι εἰς τὰς οἰκείας ἀρχάς· αὕτη γὰρ σωτηρία τοῦ προελθόντος ἐστίν.

λθ'. Τῶν μὲν οὖν Διὸς ὀπαδῶν] 252 C.

Τὸ τέλος τῆς ἐρωτικῆς πραγματείας διὰ τούτων παραδίδωσιν. Ἔφησε γὰρ ἐν τῷ Τιμαίῳ ὅτι κατ' οἰκειότητα τὰς ψυχὰς εἰς θεοὺς διένειμεν ὁ δημιουργὸς, λέγων ὅτι τὰς μὲν ἔσπειρεν εἰς γῆν, τὰς δὲ εἰς ἥλιον· εἶπε δὲ ἐνταῦθα καὶ περὶ τῶν ἐννέα βίων, εἶπε καὶ περὶ τῶν δώδεκα θεῶν, συμβολικῶς τὸ πᾶν πλῆθος περιλαμβάνων· βούλεται λοιπὸν μετὰ ταῦτα τὸ τέλος τῆς ἐρωτικῆς εἰπεῖν ὅτι διαφόρως κατέχονται ὑπὸ τοῦ Ἔρωτος αἱ ψυχαὶ καὶ πρὸς τὴν ἰδιότητα τοῦ οἰκείου θεοῦ ζητοῦσι τὸν ἐρώμενον· οἷον ὁ κατασχεθεὶς Ἀπόλλωνι μαντικὸν τὸν ἐρώμενον εἶναι, ὁ τῷ Διὶ ἡγεμονικὸν, καὶ ἐπὶ τῶν ἄλλων κατὰ τὴν ὁμοιότητα τοῦ θεοῦ. Ὃ λέγει οὖν τοῦτο ἔστιν ὅτι κατὰ τὴν ἰδιότητα τοῦ οἰκείου θεοῦ καὶ τὸν ἐρώμενον καὶ

16 ἀνωτέρω 247 A 23 *Tim.* 42 D

NC 3 γελάσει Plat. fort. legendum <ἂν> γελάσειας 7 ὑβριστικὸν πάνυ Plat. cod. B 8 τὶ A 12 καὶ add. A in versu : om. M 13 τούτοις, τ rubr. A 16 ἕπεται δὲ Plat. ἐθέλων τε Plat. 18 πτερόφυτον] πτερόφοιτον Plat. cod. T : πτεροφύτορα Stob. δὲ ἀνάγκην] δὲ (linea infer. notat.)
οντος
ἀνάγκην δὲ A[a] 20 προελθειν A[a] ἐστὶ A[a] 21 τῶν, τ rubr. A ὀπαδῶν M Plat. 22 τούτων] τοῦτο M 24 ἥλιοον A[a] 28 ἰδιότητα] οἰκειότητα A[1] 31 τοῦτό ἐστιν A, sic et 189, 3

[164] τὰ ἐπιτηδεύματα καὶ τὰ ἤθη καὶ πάντα ἐκλέγονται, καὶ τέλος αὐτοῖς τὸ τὸν οἰκεῖον ἐπιγνῶναι θεὸν καὶ κατὰ τὴν οἰκειότητα αὐτοῦ τὰς ἐκλογὰς ποιεῖσθαι. Ὃ λέγει οὖν τοῦτο ἔστιν· ἡ Δίιος ψυχὴ τὸν ἐρώμενον ζητεῖ Δίιον εἶναι, καὶ ἐμβριθέστερον καὶ κατεσταλμένον καὶ οὐ σφόδρα κεκινημένον φέρει τὸν ἔρωτα· πάντα γὰρ τὰ Δίια σταθερὰ, μόνιμα, ἀεὶ ὡσαύτως ἔχοντα. Ὅθεν καὶ τὰ ἤθη καὶ τὰ ἐπιτηδεύματα τοῦ ἐρωμένου τοιαῦτα ζητεῖ· ἐξομοιοῦν γὰρ αὐτὸν αὐτῷ βούλεται. — Ἄχθος δὲ τὴν κατοκωχὴν καὶ τὴν ἐμφόρησιν τοῦ ἔρωτος λέγει.

μʹ. Ὅσοι δὲ Ἄρεός τε] 252 C.

Δύο ἀρχὰς ὥσπερ ἀνωτέρω λαβὼν καὶ τὴν τοῦ Διὸς νῦν ἀπεικάζων τῇ τῆς Ἑστίας τῆς πάντα ἑδραζούσης, τὴν τοῦ Ἄρεος ἀντιτίθησιν αὐτῇ εἰς μονάδα αὐτὸν ἀνάγων τὴν διαιρετικήν· ὁ γὰρ δεσπότης Ἄρης τῆς διαιρέσεως φίλος ἐστί· πάντα γὰρ τὰ τοῦ Ἄρεος διεγερτικὰ καὶ κεκινημένα καὶ ὀξύρροπα· διὸ τὴν κινητικὴν οὐσίαν εἰς αὐτὸν ἀνάγει. Εἰδέναι δὲ δεῖ τοῦτο καθόλου, ὅτι τὰ διδόμενα παρὰ τῶν θεῶν ἕκαστος κατὰ τὴν ἰδίαν οἰκειότητα μεταλαμβάνει· οἷον ἡ δέσποινα Ἀφροδίτη φιλίαν καὶ ἕνωσιν χαρίζεται, ἀλλ' ἐπειδὴ αὕτη ἡ ἔλλαμψις ἡ διδομένη παρὰ τῆς θεοῦ συναναμίγνυται καὶ τῇ ὕλῃ, πολλάκις τὸ μεταλαμβάνον τρέπει τὴν τοιάνδε δόσιν, καὶ γίνεται ἡ φιλία μοιχεία παρὰ τοῦ κακῶς μεταλαμβάνοντος· ἄλλως γὰρ μεταδίδοται παρὰ τῶν θεῶν [καὶ] ἄλλως μετέχεται παρὰ τῶν μετεχόντων. Οὕτως καὶ τῆς Ἡλιακῆς θέρμης μιᾶς οὔσης, διαφόρων ὑλῶν παρακειμένων, τὸ μὲν τήκεται ὡς ὁ κηρὸς, τὸ δὲ ξηραίνεται ὡς ὁ πηλός· ἕκαστον γὰρ κατὰ τὴν οἰκείαν οὐσίαν μεταλαμβάνει τοῦ διδομένου, καίπερ τοῦ ἡλιακοῦ φωτὸς μονοειδοῦς ὄντος· διὸ καὶ τῆς φιλίας, οἷον τῆς Ἀφροδίτης, ἄλλως Ἰδομενεὺς μετέλαβεν, ἄλλως Πάρις καὶ Φαῖδρος, ἄλλως ἤρα Σωκράτης καὶ ἄλλως Λυσίας· ὅθεν, φησὶν, οἱ κάτοχοι τοῦ Διὸς σταθεροί εἰσιν, οἱ δὲ τοῦ Ἄρεος φονικοὶ καὶ ζηλότυποί εἰσι. Καὶ αὕτη μὲν ὥσπερ ἡ φαινομένη ἐξήγησις, ἡ ἀπόπτωσις τοῦ ἐρωτικοῦ· θεωρητικώτερον δὲ εἴποι τις ἂν τὸν φονικὸν τοῦτον λέγειν τὸν φιλόσοφον, τῷ ἀπορρῆξαι τῆς ὕλης διὰ τὸ ὀξύρροπον, καὶ ἀποσκευάσασθαι τῆς ὕλης, καὶ μηκέτι φυσικῶς, ἀλλὰ νοερῶς ἐνεργεῖν, καὶ εἰ οἷόν τε καὶ πρὸ καιροῦ τὴν ἀναγωγὴν ποιήσασθαι αὐτοῖς· φόνος γὰρ ἂν λεχθείη ἐπὶ τῶν θεῶν ἡ ἀπόστασις ἡ ἀπὸ τῶν δευτέρων, |
f°68v° ὥσπερ καὶ ἐνταῦθα ὁ φόνος στέρησιν ταύτης τῆς ζωῆς σημαίνει. — Τὸ δὲ καί τι οἰηθῶσιν ἀδικεῖσθαι τὸ μὲν φαινόμενον τῆς ἐξηγήσεως καὶ ἡ

NC 3 Δίιος] διὸς MD 5 φέρεν ed. Ast., typothetæ errore, ut videtur 6-7 ἐξομοιουσθαι (sic) A[2] 7 κατοχωχὴν A, sed ex ο effecit α a 9 ὅσοι, ὅ rubr. A Ἄρεως Plat. 11 τὴν] τὸν M 12 γὰρ] δὲ MD 13 διεγερτικὰ om. MDE 14 τοῦτο] τὸ M 17 τῆς] τοῦ M 20 καὶ seclusi (cf. tamen 25-26) 21 οὕτως δὲ τῆς M 22 prius ὁ supra vers. addidit A[1] 23 τὴν om. M μεταλαμβάνον A[1] 25 ἤρα] καὶ A[2] 27 φοινικοὶ MD 29 φοινικὸν MD 31 εἰ om. MD

p. 163 Γράφουσι δὲ καὶ τὸν Ἔρωτα παῖδα ἐπτερωμένον· παῖδα μὲν διὰ τὸ ἀκμαῖον καὶ ἄνηβον καὶ μὴ ἀπεσκληκός, πτερωτὸν δὲ διὰ τὸ ἀνάγειν τὴν ψυχὴν ἐπὶ τὸ νοητόν. — Διὰ δὲ νεότητα γελάσειας, ἐπειδὴ ἄμετρον δοκεῖ εἶναι. — Ὁμηριδῶν δὲ ἐκ τῶν ἀποθέτων· Ὁμηρίδας λέγει τοὺς τὰ Ὁμήρου ᾄδοντας. Ἀποθέτων δὲ εἶπεν ἢ διὰ τὸ μὴ φέρεσθαι ἐν τοῖς ποιήμασιν αὐτοῦ, μᾶλλον δὲ βουλόμενος ἐνδείξασθαι τὸ ἀποκεκρυμμένον καὶ θεῖον τοῦ λόγου καὶ ἀπόρρητον. — Τὸ δὲ πάνυ ὑβριστικὸν ἡρμήνευσε διὰ τοῦ εἰπεῖν οὐ σφόδρα τι ἔμμετρον· ἄμετρον γάρ ἐστι τὸ ἔπος. Τί οὖν; λέγομεν ὅτι ἐνδείκνυται διὰ τούτου ὅτι παντὸς μέτρου ὑπερέχουσιν οἱ θεοί. — Τὸ δὲ οὐ σφόδρα τι εἶπεν ἐπειδὴ παρ' ἡμῖν μὲν ἴσως δοκεῖ ἄμετρον, ἔμμετρον δέ ἐστιν· ἄλλο γὰρ μέτρον θεῖόν ἐστι, καὶ ἄλλῳ μέτρῳ χρῶνται οἱ θεοί, ὡς καὶ ὀνόμασιν. |

f° 68 r° λη'. Τούτοις δή] 252 C.

Τουτέστι τοῖς ἀποθέτοις Ὁμήρου ἔξεστι πείθεσθαι, εἰ βούλοιτό τις· p. 164 τοῦτο δὲ εἶπεν ἐπειδὴ δοκεῖ αὐτὸς αὐτὰ πλάσαι· | μᾶλλον δὲ διὰ τοῦτο εἶπεν ὃ καὶ ἀνωτέρω εἶπεν ὅτι ἕπεται ὁ ἀεὶ ἐθέλων καὶ δυνάμενος· φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται. Ἔξεστιν οὖν τοῖς βουλομένοις πείθεσθαι τοῖς λεχθεῖσι. Διὰ πτερόφυτον δὲ ἀνάγκην εἶπεν, ἐπειδὴ τὸ προελθὸν δεῖ ὑποστρέψαι εἰς τὰς οἰκείας ἀρχάς· αὕτη γὰρ σωτηρία τοῦ προελθόντος ἐστίν.

λθ'. Τῶν μὲν οὖν Διὸς ὀπαδῶν] 252 C.

Τὸ τέλος τῆς ἐρωτικῆς πραγματείας διὰ τούτων παραδίδωσιν. Ἔφησε γὰρ ἐν τῷ Τιμαίῳ ὅτι κατ' οἰκειότητα τὰς ψυχὰς εἰς θεοὺς διένειμεν ὁ δημιουργός, λέγων ὅτι τὰς μὲν ἔσπειρεν εἰς γῆν, τὰς δὲ εἰς ἥλιον· εἶπε δὲ ἐνταῦθα καὶ περὶ τῶν ἐννέα βίων, εἶπε καὶ περὶ τῶν δώδεκα θεῶν, συμβολικῶς τὸ πᾶν πλῆθος περιλαμβάνων· βούλεται λοιπὸν μετὰ ταῦτα τὸ τέλος τῆς ἐρωτικῆς εἰπεῖν ὅτι διαφόρως κατέχονται ὑπὸ τοῦ Ἔρωτος αἱ ψυχαὶ καὶ πρὸς τὴν ἰδιότητα τοῦ οἰκείου θεοῦ ζητοῦσι τὸν ἐρώμενον· οἷον ὁ κατασχεθεὶς Ἀπόλλωνι μαντικὸν τὸν ἐρώμενον εἶναι, ὁ τῷ Διὶ ἡγεμονικόν, καὶ ἐπὶ τῶν ἄλλων κατὰ τὴν ὁμοιότητα τοῦ θεοῦ. Ὃ λέγει οὖν τοῦτο ἔστιν ὅτι κατὰ τὴν ἰδιότητα τοῦ οἰκείου θεοῦ καὶ τὸν ἐρώμενον καὶ

16 ἀνωτέρω 247 A   23 *Tim.* 42 D

NC 3 γελάσει Plat. fort. legendum <ἂν> γελάσειας   7 ὑβριστικὸν πάνυ Plat. cod. B   8 τὶ A   12 καὶ add. A in versu : om. M   13 τούτοις, τ rubr. A   16 ἕπεται δὲ Plat.   ἐθέλων τε Plat.   18 πτερόφυτον] πτερόφοιτον Plat. cod. T : πτεροφύτορα Stob.   δὲ ἀνάγκην] δὲ (linea infer. notat.)
οντος
ἀνάγκην δὲ A^a 20 προελθειν A^a ἐστὶ A^a 21 τῶν, τ rubr. A   ὀπαδῶν M Plat.   22 τούτων] τοῦτο M   24 ἥλιοον A^a 28 ἰδιότητα] οἰκειότητα A'   31 τοῦτό ἐστιν A, sic et 189, 3

164] τὰ ἐπιτηδεύματα καὶ τὰ ἤθη καὶ πάντα ἐκλέγονται, καὶ τέλος αὐτοῖς τὸ τὸν οἰκεῖον ἐπιγνῶναι θεὸν καὶ κατὰ τὴν οἰκειότητα αὐτοῦ τὰς ἐκλογὰς ποιεῖσθαι. Ὃ λέγει οὖν τοῦτο ἔστιν· ἡ Δίιος ψυχὴ τὸν ἐρώμενον ζητεῖ Δίιον εἶναι, καὶ ἐμβριθέστερον καὶ κατεσταλμένον καὶ οὐ σφόδρα κεκινημένον φέρει τὸν ἔρωτα· πάντα γὰρ τὰ Δίια σταθερὰ, μόνιμα, ἀεὶ ὡσαύτως ἔχοντα. Ὅθεν καὶ τὰ ἤθη καὶ τὰ ἐπιτηδεύματα τοῦ ἐρωμένου τοιαῦτα ζητεῖ· ἐξομοιοῦν γὰρ αὐτὸν αὐτῷ βούλεται. — Ἄχθος δὲ τὴν κατοκωχὴν καὶ τὴν ἐμφόρησιν τοῦ ἔρωτος λέγει.

μ'. Ὅσοι δὲ Ἄρεός τε] 252 C.

Δύο ἀρχὰς ὥσπερ ἀνωτέρω λαβὼν καὶ τὴν τοῦ Διὸς νῦν ἀπεικάζων τῇ τῆς Ἑστίας τῆς πάντα ἑδραζούσης, τὴν τοῦ Ἄρεος ἀντιτίθησιν αὐτῇ εἰς μονάδα αὐτὸν ἀνάγων τὴν διαιρετικήν· ὁ γὰρ δεσπότης Ἄρης τῆς διαιρέσεως φίλος ἐστί· πάντα γὰρ τὰ τοῦ Ἄρεος διεγερτικὰ καὶ κεκινημένα καὶ ὀξύρροπα· διὸ τὴν κινητικὴν οὐσίαν εἰς αὐτὸν ἀνάγει. Εἰδέναι δὲ δεῖ τοῦτο καθόλου, ὅτι τὰ διδόμενα παρὰ τῶν θεῶν ἕκαστος κατὰ τὴν ἰδίαν οἰκειότητα μεταλαμβάνει· οἷον ἡ δέσποινα Ἀφροδίτη φιλίαν καὶ ἕνωσιν χαρίζεται, ἀλλ' ἐπειδὴ αὕτη ἡ ἔλλαμψις ἡ διδομένη παρὰ τῆς θεοῦ συναναμίγνυται καὶ τῇ ὕλῃ, πολλάκις τὸ μεταλαμβάνον τρέπει τὴν τοιάνδε δόσιν, καὶ γίνεται ἡ φιλία μοιχεία παρὰ τοῦ κακῶς μεταλαμβάνοντος· ἄλλως γὰρ μεταδίδοται παρὰ τῶν θεῶν [καὶ] ἄλλως μετέχεται παρὰ τῶν μετεχόντων. Οὕτως καὶ τῆς Ἡλιακῆς θέρμης μιᾶς οὔσης, διαφόρων ὑλῶν παρακειμένων, τὸ μὲν τήκεται ὡς ὁ κηρὸς, τὸ δὲ ξηραίνεται ὡς ὁ πηλός· ἕκαστον γὰρ κατὰ τὴν οἰκείαν οὐσίαν μεταλαμβάνει τοῦ διδομένου, καίπερ τοῦ ἡλιακοῦ φωτὸς μονοειδοῦς ὄντος· διὸ καὶ τῆς φιλίας, οἷον τῆς Ἀφροδίτης, ἄλλως Ἰδομενεὺς μετέλαβεν, ἄλλως Πάρις καὶ Φαῖδρος, ἄλλως ἦρα Σωκράτης καὶ ἄλλως Λυσίας· ὅθεν, φησίν, οἱ κάτοχοι τοῦ Διὸς σταθεροί εἰσιν, οἱ δὲ τοῦ Ἄρεος φονικοὶ καὶ ζηλότυποί εἰσι. Καὶ αὕτη μὲν ὥσπερ ἡ φαινομένη ἐξήγησις, ἡ ἀπόπτωσις τοῦ ἐρωτικοῦ· θεωρητικώτερον δὲ εἴποι τις ἂν τὸν φονικὸν τοῦτον λέγειν τὸν φιλόσοφον, τῷ ἀπορρῆξαι τῆς ὕλης διὰ τὸ ὀξύρροπον, καὶ ἀποσκευάσασθαι τῆς ὕλης, καὶ μηκέτι φυσικῶς, ἀλλὰ νοερῶς ἐνεργεῖν, καὶ εἰ οἷόν τε καὶ πρὸ καιροῦ τὴν ἀναγωγὴν ποιήσασθαι αὐτοῖς· φόνος γὰρ ἂν λεχθείη ἐπὶ τῶν θεῶν ἡ ἀπόστασις ἡ ἀπὸ τῶν δευτέρων, |
'68v° ὥσπερ καὶ ἐνταῦθα ὁ φόνος στέρησιν ταύτης τῆς ζωῆς σημαίνει. — Τὸ δὲ καί τι οἰηθῶσιν ἀδικεῖσθαι τὸ μὲν φαινόμενον τῆς ἐξηγήσεως καὶ ἡ

NC 3 Δίιος] διὸς MD   5 φέρεν ed. Ast., typothetæ errore, ut videtur   6-7 ἐξομοιουσθαι (sic) A²   7 κατοχωχὴν A, sed ex ο effecit α a   9 ὅσοι, ὅ rubr. A   Ἄρεως Plat.   11 τὴν] τὸν M   12 γὰρ] δὲ MD   13 διεγερτικὰ om. MDE   14 τοῦτο] τὸ M   17 τῆς] τοῦ M   20 καὶ seclusi (cf. tamen 25-26)   21 οὕτως δὲ τῆς M   22 prius ὁ supra vers. addidit A¹   23 τὴν om. M   μεταλαμβάνον A¹   25 ἦρα] καὶ A²   27 φοινικοὶ MD   29 φοινικὸν MD   31 εἰ om. MD

p. 165 ἀπόπτωσις τοῦ ἔρωτος δήλη ὅτι ἕτοιμοί εἰσι καὶ | ἑαυτοὺς καὶ τὰ παιδικά, ἐὰν ἀδικῶνται ὑπὸ τῶν παιδικῶν, ἀποσφάττειν· ἡ δὲ θεωρία τὸ οἰηθῶσιν ἀδικεῖσθαι τοῦτο λέγει τὸ ἔτι κατέχεσθαι τὴν ψυχὴν ἐν τῇ ὕλῃ· ἐκ δὲ τοῦ καθιερεῦσαι δῆλον ὅτι θεωρητικώτερόν τις αὐτὰ ὀφείλει ἐξηγήσασθαι· τὸ γὰρ καθιερεῦσαι ἐπὶ θείας τινὸς ἁγιστείας λέγεται.

μα'. Καὶ οὕτω καθ' ἕκαστον θεόν] 252 D.

Δύο ὥσπερ <ἀνωτέρω> εἰπὼν ἀρχάς, τὴν τοῦ Διὸς καὶ τὴν τοῦ Ἄρεος, τὴν μὲν σταθεράν, τὴν δὲ κινητικήν, καθ' ὁμοιότητα καὶ ἐπὶ τῶν ἄλλων θεῶν λαμβάνει. Αὕτη γάρ ἐστιν εὐδαιμονία ψυχῆς, τὸ δύνασθαι μιμεῖσθαι τὸν οἰκεῖον θεόν, ὅση δύναμις ἑκάστῳ, ἕως ἂν ζῇ τὸν ἐνταῦθα βίον μὴ διεφθαρμένος. — Τὸ δὲ ἀδιάφθορος εἶπεν, ἵνα μὴ ἀπόπτωσιν ἔχῃ τοῦ τοιοῦδε ἔρωτος. — Πρώτην δὲ γένεσιν, ὡς ἤδη εἶπε περὶ τῶν ἐννέα βίων, τὴν ἀπὸ τοῦ νοητοῦ.

μβ'. Τόν τε οὖν ἔρωτα] 252 D.

Ἐπειδὴ ὥσπερ ἐνταῦθα τὸ ἄγαλμα τιμῶμεν οὐ διὰ τὸ ὑποκείμενον, ἀλλὰ διὰ τὸν θεόν, τὸν αὐτὸν τρόπον καὶ ἐνταῦθα οἷον ἄγαλμα ἑαυτῷ τὸν ἐρώμενον ποιεῖ· βλέπων γὰρ εἰς αὐτὸν καὶ ἀναμιμνησκόμενος τοῦ κάλλους, τουτέστι τῇ διανοίᾳ βλέπων, καὶ ἀναπέμπων τοῦτο τὸ κάλλος εἰς τὰ νοητὰ εἴδη, καὶ γεννῶν γεννήματα θεῖα, καὶ παιδεύων τὰ παιδικά, γόνιμος γίνεται καὶ γεννᾷ ἀρετὰς καὶ πάντα ὅσα ἐν τοῖς ἑξῆς λέγει, βουλόμενος ἀνάξαι εἰς τὸν οἰκεῖον θεὸν τὰ παιδικά.

μγ'. Οἱ μὲν οὖν δὴ Διός] 252 E.

Ἐκ τοῦ Διὸς τὸν φιλόσοφον καὶ ἡγεμονικὸν τὴν φύσιν βούλεται εἶναι, διὰ τοῦ ἡγεμονικοῦ τὸ ὑπερέχον δηλῶν τοῦ δεσπότου Διός. Ἔοικεν οὖν ἡγεμονικὸν τὸν ἀρχικὸν λέγειν τὸν κατὰ τὸ ἐξῃρημένον, βασιλικὸν δὲ τὸν κατὰ τὸ συντεταγμένον· ὁ γὰρ βασιλικὸς τὰ μέτρα δέχεται παρὰ τοῦ φιλοσόφου. — Δῖον δέ, τουτέστι δῖιον.

μδ'. Ἐὰν οὖν μὴ πρότερον] 252 E.

Τουτέστιν ἐὰν μήπω μνήμην ἔχοντες τῶν ἐκεῖ, μηδὲ εἰδότες πόθεν χα-

7 ἀνωτέρω cf. 189, 10 12 ἤδη 248 D cf. Herm. ad loc.

TIT 15 τὸ ἄγαλμα τιμᾶται διὰ τὸν θεόν C

NC 1 δήλη] δηλοῖ? 4 καθιερεῦσαι] ἱερεῦσαι ME : καθιερεύειν A[a] 5 ἁγιστείας] ἁγνίας A[a] 6 καί, κ rubr. A 7 ἀνωτέρω addidi 10 ζῇ] ᾖ Plat. 13 τὴν scripsi : τῶν libri 14 τόν, τ rubr. A 17 εἰς αὐτὸν] πρὸς αὐτὸ M 19 γεννῶν] γηίνων ME (γενῶν A[1]) 22 οἱ, ο rubr. A 23 ἐκ τοῦ Διὸς om. M 26 ἀντεταγμένον M (jam correxerat Ast) 27 Δῖον] δι' ὃν Plat. cod. B διιὸν cod. T 28 ἐάν, ἐ rubr. A 29 μὴ δὲ A

65] ρακτηρίσουσι τὰ τοῦ οἰκείου, ἐπιχειρήσωσι τῷ τοιούτῳ ἐπιτηδεύματι (λέγει δὲ τῷ ἐρωτικῷ). — Τότ' ἐπιχειρήσαντες, τουτέστιν ἀρξάμενοι τοῦ ἀναπτεροῦσθαι. — Ἰχνεύοντες δὲ παρ' ἑαυτῶν, τουτέστιν εἰς ἑαυτοὺς ἐπιστρεφόμενοι ὥστε ἐν ἑαυτοῖς ἰδεῖν τὰ εἴδη ἐκεῖνα. — Τὸ δὲ ἰχνεύοντες εἶπεν, ἵνα εἴποι ὅτι ὥσπερ ἀπὸ εἰδώλων λαμβάνοντες τὴν γνῶσιν. Ὃ λέγει οὖν τοῦτο ἔστιν· ὅταν δὲ εἰς ἑαυτοὺς ἐπιστρέψωσι καὶ δι' ἑαυτῶν θηράσωσι τὰ τοῦ οἰκείου θεοῦ, τότ' εὔποροι γίνονται. — Μανθάνουσί τε καὶ αὐτοὶ μετέρχονται, ὡς μὴ εἰδότες, ἔμφασιν δὲ ἔχοντες τῆς τοιαύτης ἀναγωγῆς· καὶ μετέρχονται τοιαῦτα ἐπιτηδεύματα ἃ ἀνήκει τῷ οἰκείῳ θεῷ, οἷον ὁ μουσικὸς φθόγγους, ῥυθμοὺς καὶ τὰ ὅμοια, ὁ φιλόσοφος γεωμετρίαν, ἀστρονομίαν καὶ τὰ ὅμοια, ἕως οὗ ἰχνεύοντες εὕρωσι τοῦ οἰκείου θεοῦ αὐτὴν τὴν φύσιν. — Καὶ ἐφαπτόμενοι αὐτοῦ· ἐφαπτόμενοι εἶπεν ἐπειδὴ οὔπω ἥνθησεν, ἀλλὰ πρῶτον ἐξ ἀμυδρῶν ἰχνῶν γίνεται ἡ ἐπιστροφὴ ἡ εἰς ἑαυτούς, εἶτα ἐπαφῇ, εἶτα ἑνώσει. Ὅταν οὖν ἐπιστρέψαντες ἐφάψωνται αὐτοῦ, τότε διὰ τῆς μνήμης ἑνοῦνται αὐτῷ τῷ οἰκείῳ θεῷ. |

69 r° με'. Καὶ τούτων δὴ τὸν ἐρώμενον αἰτιώμενοι] 253 A.

Ὅτι αὐτοῖς ἐγένετο ἀρχὴ τῆς ἀναμνήσεως, ὡς ἄγαλμα αὐτὸν περιέπουσι. — Τὸ δὲ κἂν ἐκ Διὸς ἀρύτωσι, τουτέστιν ἅπερ ἂν ἐκ τῆς ἐπιστροφῆς τῆς πρὸς τὸν οἰκεῖον θεὸν ἀρύτωσι, νοήματα ταῦτα εἰς τὸν ἐρώμενον μετοχετεύουσι, παιδεύοντες αὐτόν. — Τὸ δὲ ὡς αἱ Βάκχαι, ἐπειδὴ αὗται ἐνθουσιῶσαι ὑπὸ τοῦ δεσπότου Διονύσου τοῦ ἐφόρου τῆς τελεστικῆς, κάτοχοι αὐτοῦ γίνονται <καὶ> εὔποροι [γίνονται] καὶ ἅπερ ἐξευρίσκουσιν ἄλλοις μετοχετεύουσιν. |

166 μς'. Ὅσοι δ' αὖ μεθ' Ἥρας] 253 B.

Τουτέστιν ὅσοι τῷ ἔρωτι τῷ τῆς δεσποίνης Ἥρας κατέχονται καὶ ὀπαδοί εἰσιν αὐτῆς, οὗτοι τὸν ἐρώμενον βασιλικὸν ζητοῦσιν, ἐπειδὴ καὶ βασιλείας ἔφορος καὶ σύνθακος τῷ Διὶ ἡ θεός. — Βασιλικὸν δὲ λέγει τὸν συντεταγμένον.

μζ'. Οἳ δὲ Ἀπόλλωνός τε καὶ ἑκάστου] 253 B.

Τῶν μετὰ τὸν Δία τὸν ἡγεμόνα δύο ἄλλων ἐμνημόνευσεν, Ἥρας καὶ

NC 1 ἐπιχειρήσουσι M τῷ τοιούτῳ om. M 2 τότε M Plat. 4 ὥστε scripsi : ὥσπερ libri 6 τοῦτο ἐστὶν A 11 εὑρῶσι M 17 καί, κ rubr. A τούτων] τοῦτον Plat. codd. BT (τούτων apogr.) 18 αὐτοῖς] αὐτῆς M 19 κἂν] κἀν Plat. codd. BT χἂν Madvig (quod legisse et Hermias videtur e sequentibus) ἀρύτωσιν Plat. 21 ὡς] ὥσπερ Plat. 23 καὶ addidi, præeunte Astio γίνονται ego seclusi præeunte Astio, qui etiam sequens καὶ volebat expellere : γίνοντες M 25 ὅσοι, ὅ rubr. A Ἥρας] ἡμέρας Plat. codd. BT (ἥρας apogr.) 26 τῷ ante τῆς om. M ὀπαδοί M 27 ζητοῦσι Plat. 30 οἵ, ο rubr. A

[166] Ἀπόλλωνος, τῆς μὲν πάντα ἐπιστρεφούσης διὰ τῆς βασιλείας, τοῦ δὲ πάντα εἰς συμφωνίαν καὶ ἕνωσιν ἀνάγοντος. — Τὸ δὲ καὶ τὰ παιδικὰ πείθοντες· τέλος γὰρ τῆς ἐρωτικῆς τὸν ἀντέρωτα γεννῆσαι· ἅμα οὖν οἱ δύο συνάγονται. — Οὐ φθόνῳ· τρόπον τινὰ τοῦτο εἶπεν ἐναντιούμενος τῷ Λυσίου λόγῳ, ἐπειδὴ ἔλεγεν ὁ Λυσίας ὅτι φθονοῦσι τοῖς παιδικοῖς· οἱ τοιοῦτοι οὖν ἐρασταί, φησίν, οὐ φθονοῦσιν, ἀλλὰ μιμοῦνται τὸ θεῖον σοφὸν ὂν καὶ καλὸν καὶ ἀγαθόν, οὐ δυσμενοῦντες ὡς οἱ νόθοι ἐρασταί, ἀλλ' εἰς ὁμοιότητα αὐτοῖς φέροντες· ὃ γὰρ βούλονται ἑαυτοῖς, τοῦτο καὶ τοῖς ἐρωμένοις· μία γάρ ἐστιν ἡ ζωὴ αὐτῶν. Τοιοῦτοι δὲ ἦσαν καὶ οἱ Πυθαγόρειοι· ὅθεν καὶ φέρεται Πυθαγορείου τινὸς τοῦτο τὸ ῥῆμα τό· « Τί ἐστι φίλος; — Ἄλλος ἐγώ. »

μη'. Προθυμία μὲν οὖν] 253 C.

Ἡ μὲν οὖν προθυμία τῶν ἐρώντων τοιαύτη τίς ἐστιν οἵαν διήλθομεν, καὶ ὁ σκοπὸς καὶ τὸ τέλος τῶν ἐρώντων οὗτός ἐστι, τὸ κατ' οἰκειότητα τοῦ θεοῦ ἐκλέγεσθαι καὶ διὰ ταύτης τῆς ὁδοῦ συνάγειν τὰ παιδικά. — Πῶς δὲ ὅλως ἁλίσκεται καὶ τιτρώσκεται ὁ ἐραστὴς ὑπὸ τοῦ ἐρωμένου, πειρατέον εἰπεῖν. Καὶ ἄρχεται λέγειν τὴν ἀπὸ τῶν τῇδε ἐπὶ τὰ ἐκεῖ θέαν· ποτὲ γὰρ τῇ πρὸς ἡμᾶς ἀρχῇ κέχρηται, ποτὲ δὲ τῇ φυσικῇ, τουτέστιν ἀπὸ τῶν ἄνωθεν κάτω. — Τὸ δὲ ἐὰν διαπράξωνται ὃ προθυμοῦνται, τουτέστι τὸ τέλος τὸ εὔδαιμον, ὅπερ ἐστὶ τὸ οἰκειωθῆναι τῷ οἰκείῳ θεῷ καὶ ἐπιγνῶναι τὴν ἰδίαν ἀρχήν.

μθ'. Ἁλίσκεται δὲ δή] 253 C.

Τὸ μὲν τέλος τῆς ἐρωτικῆς τέχνης τὸ ἄριστον τῷ αἱρεθέντι, ἐπειδὴ οὐ πᾶς κεκινημένος ἐστὶν εἰς τὸ συναφθῆναι τῷ οἰκείῳ θεῷ. Διὰ ποίας δὲ ὁδοῦ ἀνάγεταί τις ἐφ' ἑαυτὸν καὶ τὴν ἐρωτικὴν ὁδὸν ποία ποτέ ἐστι βούλεται παραστῆσαι. Εἰπὼν οὖν περὶ τοῦ ἔρωτος τοῦ κατὰ κατόρθωσιν καὶ κατὰ ἀπόπτωσιν γινομένου, καὶ ὡς τὰ ἄκρα εἰπών, βούλεται νῦν καὶ περὶ τῶν μέσων εἰπεῖν, λέγω δὴ περὶ τοῦ ἐγκρατοῦς καὶ ἀκρατοῦς. Ἐπειδὴ οὖν περὶ ψυχῆς διαλέγεται τῆς σώματι προσομιλησάσης, εἰκότως καὶ ἄλλους ἵππους αὐτῇ δίδωσιν· ὅσῳ γὰρ κάτεισιν ἡ ψυχὴ εἰς τὴν γένεσιν καὶ πλησιάζει τῷ
f°69v° ἐνταῦθα κλύδωνι, | καὶ χιτῶνας πλείονας λαμβάνει· διὸ καὶ περὶ ἑτέρων

5 ἔλεγεν cf. 234 6 σοφὸν κτλ. cf. 246 E

TIT 11 πυθαγόρειος λόγος· τί (cod. τίς) ἐστι φίλος; ἄλλος ἐγώ C

NC 4 συνάγονται] συνάγουσιν A[a] 8 αὐτοῖς etiam Plat. : αὑτοῖς HEINDORF καὶ fere evan. in fine versus A 12 προθυμία, π rubr. A 14 οὗτος ἐστὶ A 19 ἐὰν διαπράξωνται] ἐάν τ' ἐνδιαπράξωνται Plat. codd. BT : ἐάν γε διαπράξωνται apogr. 20 εὐδαῖμον AM 21 ἰδίαν] οἰκείαν M 22 ἁλίσκεται, ἁ rubr. A 27 νῦν] μὲν M 28 καὶ ἀκρατοῦς om. M 31 χιτώνας A[a]

166] ἵππων διαλέγεται λαβόντων σχέσιν πρὸς σῶμα, μορφὰς καὶ τύπους καὶ μερισμοὺς καὶ σωματοειδεῖς φιλοτιμίας αὐτοῖς παρέχων, ἐπειδὴ ἤδη ἡ ψυχὴ σχέσιν ἀναλαβοῦσα πρὸς τοῦτο τὸ σῶμα καὶ τῶν ζωτικῶν παθημάτων τοῦ σώματος μεταλαμβάνει. Ἡ γὰρ ἐν τῷ νοητῷ οὖσα ψυχὴ καὶ διαζῶσα ἑτέρους ἵππους ἔχει, τὸν τοῦ ταυτοῦ καὶ θατέρου (δῆλον δέ· καὶ γὰρ καὶ αὐτοῖς τοῖς θεοῖς ἵππους δίδωσιν ἡ θεολογία)· νῦν οὖν ἄλλους ἵππους λαμβάνει, τὸν τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας. — Τὸ δὲ τοῦ μύθου, καίτοι πρὸ τούτου μῦθον αὐτὰ οὐκ εἶπεν, ἀλλὰ νῦν· διὰ τί δὲ τοῦτο ἐποίησεν; Ἐπειδὴ λοιπὸν ἐν τούτῳ τῷ σώματι ὡς ἐν πλάσματί ἐστιν ἡ ψυχή· ὅλον γὰρ τὸ περὶ ἡμᾶς φαινόμενον σῶμα καὶ περιαγόμενον καὶ ὁ πᾶς διάκοσμος ὁ φαινόμενος μύθῳ ἔοικεν. Εἰκότως οὖν περὶ τῆς σχέσεως τῆς πρὸς τὸ σῶμα τῆς ψυχῆς βουλόμενος εἰπεῖν μῦθον ἐκάλεσεν. Ἐν δὲ τοῖς πρὸ τούτου οὐκ εἶπεν, ἐπειδὴ ἔτι ἄνω ἦν ἡ ψυχὴ μετὰ τῶν θεῶν ἄλλους ἵππους ἔχουσα· διὸ ἔλεγεν ἐκεῖ « ἔοικέ τῳ δὴ ξυμφύτῳ δυνάμει », ἐνταῦθα δέ φησι « τριχῇ διείλομεν », τὸν πλείονα ἀπομερισμὸν τῆς ψυχῆς διὰ τούτων τῶν λέξεων ἐμφαίνων. Καὶ τὸ εἰπεῖν ψυχὴν ἑκάστην τῆς ἀποτετεμαχισμένης ἐστὶ ψυχῆς καὶ οὐκέτι ὁλοκλήρου οὔσης ἀλλὰ διῃρημένης. —
167 Τὸ δὲ ἱππομόρφω | μὲν δύω τινέ· ἱππομόρφω εἶπεν, ἐπειδὴ μορφὴν αὐτοῖς ἐπιτίθησι· καὶ γὰρ μορφοῦται ἡ ψυχὴ ἐνταῦθα καὶ ἐνσωματοῦται. Ἵππους οὖν λαμβάνει θυμὸν καὶ ἐπιθυμίαν· ἡνιοχικὸν δὲ τὸ λογικὸν τῆς ψυχῆς. — Ἡνιοχικὸν δὲ εἶπε καὶ οὐχὶ ἡνίοχον ὡς ἀνωτέρω, τουτέστι μιμούμενον τὸν ἡνίοχον· καὶ πάλιν ἱππομόρφω εἶπε, καὶ οὐχὶ ἵππους· δῆλον δὲ διὰ τί, ἐπειδὴ αἱ μετὰ σώματος ἐνέργειαι τῆς ψυχῆς οὐκ εἰσὶ τοιαῦται οἷαι οὔσης αὐτῆς ἐν τοῖς νοητοῖς. — Τὸ δὲ καὶ νῦν ἔτι ἡμῖν ταῦτα μενέτω, ὅτι ἔχει δύο ἵππους καὶ ἡνίοχον. — Τῶν δὲ δὴ ἵππων ὃ μὲν, φαμὲν, ἀγαθός· καὶ τοῦτο ἀνωτέρω ἔλεγεν ὅτι ὃ μέν ἐστιν ἀγαθὸς, ὃ δὲ χείρων, διὰ τῆς δυάδος τὸ δυοειδὲς τῆς ψυχῆς ἐνδεικνύμενος· ἀποστᾶσα γὰρ τῆς ἑνώσεως τῶν θεῶν ἀναγκαίως ἡ ψυχὴ εἰς γένεσιν καὶ ἑτερότητα ἐμφέρεται.

14 ἐκεῖ 246 A 21 ἀνωτέρω 246 A 26 ἀνωτέρω 246 B

TIT 20 ἵπποι ὁ θυμὸς καὶ ἡ ἐπιθυμία C 21 ἡνιοχικὸν (cod. ἡνιοχιτικόν) τὸ ἡγεμονικόν C

NC 1 τὸ σῶμα ME μορφὰς — 3 σῶμα om. ME sed τοῦτο ante καὶ 5 τοῦ om. M 7 δὲ om. M 8 δὲ fere evan. in A ἐποίσεν (sic) A[a] 14 ἔοικέ τῳ] ἐοικέτω Ast cf. 122, 15; 126, 28 15 φησὶ A διείλομεν] διειλόμην Plat. codd. corr. Heindorf ἀπομερισμὸν] ἀποδιορισμὸν M 16 post εἰπεῖν, τήνδε addidit A[a] : εἰπεῖν ἠδέ E (fort. ὧδε?) 16-17 ἀποτετεμαχισμένης] ἀποτεμαχισμένης A ἀπετεμαχισμένης M 17 ἔστι A διῃρημένης] διωρισμένης M 18 δύω] δύο M Plat. 23 διὰ τί] διότι M τοῦ σώματος M 25 δὴ E Plat. : δῦ (sic) A[a] : δὴ τῶν M 26 φαμὲν om. M

[167] ν'. Ἀρετὴ δέ τίς τοῦ ἀγαθοῦ] 253 D.

Διὰ τί οὐκ εἶπεν ὅτι ὅλοι ἦσαν ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν οἱ τῶν θεῶν, ὥς φησιν αὐτὸς ἀνωτέρω, τὸ δὲ τῶν ἄλλων μέμικται;

να'. Ὁ μὲν τοίνυν αὐτοῖν] 253 D.

Ὁ θεῖος Πλάτων τὰ μόρια τῆς ψυχῆς διανέμει τῷ σώματι, καὶ τὸν μὲν νοῦν καὶ τὸν λογισμὸν ἀναλογοῦντα τῷ ἡγεμονικῷ καὶ ἀρχικῷ τῆς πόλεως ἐν τῷ ἐγκεφάλῳ ἱδρύει, ἐπειδὴ καὶ σφαιρικὸς ὁ ἐγκέφαλος, καὶ ὁ ἄνθρωπος δὲ μικρὸς κόσμος ἐστίν· ἀνάλογον οὖν τῷ οὐρανῷ ἐποίησε τὸν ἐγκέφαλον. Ἔπειτα ἐπειδὴ ὁ θυμὸς εὐγενέστερός ἐστι τῆς ἐπιθυμίας καὶ ἀναλογεῖ τοῖς προπολεμοῦσι καὶ ἀναστέλλουσι πᾶν τὸ πλημμελῶς καὶ ἀτάκτως κινούμενον ἐν τῇ πόλει, ὃ λέγει ἐπικουρικὸν καὶ στρατιωτικόν, καὶ τιμῆς ὀρέγεται καὶ ἐπιπλήττει τῷ ἀλόγῳ, διὰ τοῦτο διάφραγμα βαλὼν τὸν τράχηλον ἐν τῇ καρδίᾳ ἔπηξεν, ἵνα ἐν τοῖς προθύροις ᾖ τοῦ λόγου. Τὸ δὲ ἐπιθυμητικὸν ὡς ἄλογον καὶ ἐοικὸς τῷ θητικῷ τῆς πόλεως καὶ τῷ πλήθει ᾤκισεν ἐν τῷ ἥπατι, ἵνα ἐκεῖ τρέφηται ὡς ὄνος ἐν φάτνῃ, ἔτι κατωτέρω τοῦ θυμοῦ [καὶ κατωτέρω] διάφραγμα μέσον ἐμβαλών. Εὐγενέστερος οὖν ὁ θυμὸς ὡς συνεγγίζων τῷ λόγῳ· διὸ καὶ στάσιν βελτίονα ἔχει· ἐν γὰρ βελτίονι χώρᾳ τέτακται. Λέγει οὖν πρῶτον περὶ τοῦ θυμοῦ, ὅτι καλλίων ἐστὶ, καὶ λαμβάνει τὰ μορφώματα ποτὲ μὲν ἀπὸ σώματος, ποτὲ δὲ ἀπὸ ἠθῶν καὶ ψυχῆς. — Τὸ δὲ καλλίονι στάσει· στάσιν αὐτῷ τὴν βελτίονα ἔδωκε καὶ τέως κατὰ τὴν στάσιν αὐτὸν ἐχαρακτήρισεν. — Ὀρθὸν δὲ εἶπεν αὐτὸν διὰ τὸ καταδέχεσθαι τὰ μέτρα τοῦ λόγου. — Διηρθρωμένος δὲ, τουτέστι κεκριμένος καὶ οὐ συμπεφυρμένος. — Ὑψαύχην· τουτέστιν ἀεὶ ἀνατεταμένος καὶ ὑπερανέχων καὶ ὑπερφρονῶν τῶν χειρόνων. — Ἐπίγρυπος ἀντὶ τοῦ βασιλικός· τὸ γὰρ γρυπὸν ἀεὶ τῷ βασιλικῷ καὶ εὐγενεῖ προσάπτει, καὶ τὸ γρυπὸν τοῦ σιμοῦ εὐμορφότερόν ἐστι. — Λευκὸς ἰδεῖν· ἀντὶ τοῦ φανότατος καὶ τῷ κάλλει διαλάμπων. — Μελανόμματος· τουτέστι τὰ βαθέα διερευνώμενος καὶ τὰ ἀφανῆ καὶ νοητὰ βουλόμενος κατοπτεύειν· μέλαν γὰρ τὸ ἀφανὲς λέγει.

νβ'. Τιμῆς ἐραστὴς] 253 D.

Εἰπὼν τὰ πλεονεκτήματα τὰ ἀπὸ τοῦ σώματος, λέγει λοιπὸν καὶ τὰ ἀπὸ

3 ἀνωτέρω 246 A 5 cf. *Remp.* IV 434 al. *Tim.* 73 C 8 μικρὸς κόσμος cf. 90, 11 25 ἀεί cf. *Remp.* V 474 D

TIT 13 τὸ θυμικὸν ἐν τῇ καρδίᾳ C 15 τὸ ἐπιθυμητικὸν ἐν τῷ ἥπατι (cod. ὕπατι) C

NC 1 ἀρετὴ, ἀ rubr. A 2 ὅλοι] μόνοι? 3 τὸ] τῷ M 4 ὃ rubr. A αὐτοῖν] αὐτῶν Plat. cod. B 6 καὶ ἀρχικῷ om. M 12 ἀλόγῳ] ἀναλόγῳ M 13 ᾖ] ἡ M (jam correxerat Ast) 14 ᾤκισεν M : ᾤκησεν A quod fort. retinendum 16 καὶ κατωτέρω om. M 27 μελανὸν A (sic, sed compendiose scriptum) 30 τιμῆς, τ rubr. A

70 r° τῆς ψυχῆς. Τιμὴ δέ ἐστι τὸ μέγιστον τῶν ἀγαθῶν | ὡς καὶ αὐτὸς ἐν τοῖς Νόμοις φησί· τῶν δὲ κακῶν οὐδὲν τίμιον· διὸ καὶ τοὺς θεοὺς τιμῶμεν· ἀγαθὸν οὖν ἡ τιμή· διὸ βούλεται τιμᾶσθαι ἡ ψυχή. Τιμῆς γοῦν ἐραστής, τουτέστι τῶν ἀγαθῶν καὶ τῶν εἰδῶν ὀρεγόμενος. — Τὸ δὲ μετὰ σωφροσύνης· τουτέστι ταῦτα ἔχει τὰ τῆς ψυχῆς πλεονεκτήματα καὶ τὰ ἑαυτοῦ πράττει, μὴ βουλόμενος ἀναπίμπλασθαι τοῦ ἐναντίου. — Τὸ δὲ ἄπληκτος, τουτέστιν οὐ δεόμενος κέντρων ὥσπερ τὸ δέον ἀκούων. Οὐδὲ περὶ τὰ ἔνυλα στρέφεται, ἀλλὰ κελεύσματι μόνῳ καὶ λόγῳ ἡνιοχεῖται· ὡς ἐγγὺς ὢν τοῦ λόγου εὐθὺς ἀφ' ἑαυτοῦ πάντα καταδέχεται ποιεῖν καὶ κατὰ τὰ μέτρα τοῦ λόγου ἡνιοχεῖ τὰ μέτρα τῆς ζωῆς. |

168 νγ'. Ὁ δ' αὖ σκολιός] 253 E.

Εἰπὼν περὶ τοῦ εὐγενεστέρου τῶν ἵππων, λοιπὸν τὰ ἐναντία ὧν εἶπε περὶ τοῦ ἑτέρου λέγει, καὶ μιμεῖται τὸ συμπεφυρμένον καὶ συγκεχυμένον αὐτοῦ. Οὐκέτι γὰρ πρῶτα λέγει τὰ τοῦ σώματος, εἶθ' οὕτως τὰ τῆς ψυχῆς, ἀλλὰ συγχέει τὴν τάξιν. Σκόπησον οὖν κατὰ τὴν ἀντίθεσιν· ἐκεῖνος ὀρθός, οὗτος σκολιός, ὡς τῆς ἐπιθυμίας ὤν· ἡ γὰρ ἐπιθυμία θηρίῳ ἔοικε. — Πολύς· τὸ πολὺ τῇ γενέσει καὶ τοῖς κάτω πράγμασιν οἰκεῖόν ἐστιν· οὐ κατέχεται οὖν ἑνὶ εἴδει, ἀλλὰ πολυειδής ἐστι καὶ τῷ πλήθει φίλος. — Εἰκῇ συμπεφορημένος· ἄπειρος καὶ ἀόριστος καὶ φερόμενος ὅπου ἂν τύχῃ. — Καρτεραύχην· ἐκεῖνος διὰ τοῦ ὕψους τὸ ἀνατεταμένον εἶχεν, οὗτος δὲ τὸ ἀντίτυπον τὸ μετὰ τῆς γενέσεως. — Βραχυτράχηλος· ἀντὶ τοῦ ταπεινὸς καὶ κατ' ἐπιθυμίαν ζῶν καὶ τιμῆς μὴ ὀρεγόμενος. — Σιμοπρόσωπος· εὐτελής, χαμαιπετὴς καὶ οὐχὶ βασιλικός. — Μελάγχρως· σκοτεινός, οὐχὶ διειδὴς καὶ λαμπρὸς ὡς ὁ ἄλλος. — Γλαυκόμματος· τουτέστι τὸ ἐπιπόλαιον †γίνεται τοῦ φανοῦ καὶ ἄχρι φαντασίας ἔχων τὰς νοήσεις. — Ὕφαιμος· τουτέστι τῇ γενέσει οἰκειότατος. — Ὕβρεως καὶ ἀλαζονείας ἑταῖρος, ὅ ἐστιν ἐναντίον ὧν εἶχεν ἐκεῖνος· ἐκεῖνος γὰρ σωφροσύνης καὶ αἰδοῦς. — Περὶ ὦτα λάσιος, κωφός· τὰ ὦτα ἔχων δασέα καὶ πεφιμωμένα· διὸ καὶ ἀνήκοος καὶ κωφός ἐστι, καὶ πολλάκις ἀκούων τι καὶ μὴ ὑπακούων, ἀλλὰ τῇ ἐπιθυμίᾳ εἴκων, μαστίγων

2 *Leg.* V 727 A

TIT 1 τιμή ἐστι τὸ μέγιστον τῶν ἀγαθῶν

NC 1 δὲ om. M 3 ἀγαθὸν — 4 τουτέστι τῶν om. M 3 γοῦν] οὖν? 4 ὀρεγόμενος] ὀρεγόμενοι M 7 οὐδὲ] οὐ M 8 κελεύσματι ex κελεύσματα A² 11 ὁ rubr. A 14 λέγει] ἄγει A² 15 συγχέει] συγχεῖ M : συγχέει (sic) E 18 οὖν] δὲ M 19 ἄπειρος καὶ ἀόριστος] ἄγριστος καὶ ἄπειρος E : ἄγριος καὶ ἄπειρος M : cf. 200, 27 20 τύχῃ] τύχοι M κρατεραύχην Plat. 22 ἐπιθυμίας M 23 μελάγχρως] μελάχρως M 25 γίνεται corruptum : fort. leg. τὸ ἐπιπόλαιον <ὢν> γενετὴς τοῦ φανοῦ 28 σωφροσύνης] immo ἀληθινῆς δόξης secundum Plat. λάσιος, κωφός] λασιόκωφος Plat. cod. B 30 ὑπακούων scripsi : ἐπακούων libri τῆς ἐπιθυμίας εἰκὼν M (jam correxerat Ast)

[168] δέεται μεγάλων· δεικνὺς ὅτι αἱ παραινέσεις οὐδὲ μικρόν τι δύνανται ἀνύσαι εἰς τοὺς τοιούτους ἀνθρώπους· διὰ τούτου ἐνδεικνύμενος ὅτι πολλῆς προσοχῆς χρεία ἐστὶ τῇ ψυχῇ, ὥστε συνεθίσαι αὐτὴν τῷ ἀμείνονι ἵππῳ, ἐπειδὴ οὗτος ὁ ἵππος κελεύσματι καὶ λόγῳ ἡνιοχεῖται, ὁ δὲ τῆς ἐπιθυμίας μόγις μετὰ μάστιγος καὶ κέντρων· διὸ οὐδὲ ἀνέχονται οἱ τούτῳ τῷ ἵππῳ κατασχεθέντες παραινέσεων.

νδʹ. Ὅταν δὲ οὖν ὁ ἡνίοχος] 253 E.

Βουληθεὶς εἰπεῖν πῶς ἁλίσκεται ὁ αἱρεθεὶς, εἶπε πρῶτον περὶ τῶν ἵππων τῆς ψυχῆς τῆς ἤδη προσομιλησάσης τῷ σώματι, τουτέστι θυμοῦ καὶ ἐπιθυμίας. Βουλόμενος εἰπεῖν τοίνυν περὶ ἐγκρατοῦς [καὶ ἀκρατοῦς], τουτέστι περὶ ἀναγωγοῦ, λέγει περὶ τοῦ ἀληθινοῦ ἔρωτος καὶ ἐν ἀποπτώσει καὶ ἐν συμμίξει θεωρουμένου. Δύο γὰρ ὄντων μερῶν τῆς ψυχῆς, λόγου καὶ ἀλογίας, τέσσαρά τινα μεταξὺ ἀναφαίνεται, ὧν αἱ μὲν ἀρεταὶ, αἱ δὲ κακίαι εἰσίν. Ὅταν μὲν γὰρ ὁ λογισμὸς καταχρατῇ τοῦ ἀλόγου, ὡς μὴ ἀντιτείνειν τὸ ἄλογον ἀλλὰ ἠνδραποδίσθαι, τότε σωφροσύνη γίνεται τὸ ὅλον τοῦτο· ὅταν δὲ τὸ ἀνάπαλιν ᾖ καὶ ὁ λόγος δουλεύῃ τῇ ἀλογίᾳ ἀνδραποδισθεὶς ὑπ' αὐτῆς, ἀκολασία· ὅταν δὲ τῶν δύο τούτων γένηται μάχη, κρατοῦντος μὲν τοῦ λόγου γίνεται ἐγκράτεια, τοῦ δὲ ἀλόγου ἀκράτεια. Περὶ τῶν οὖν παντοδαπῶν συμμίξεων τοῦ ἔρωτος ἐνταῦθα βούλεται διαλαβεῖν καὶ περὶ τοῦ ἀμείνονος καὶ ἐγκρατοῦς ἔρωτος καὶ ἀναγωγοῦ ἵππου, ὅτι ἕλκεται μὲν ἅτε δὴ σώματι προσομιλοῦσα ἡ ψυχὴ ὑπὸ τοῦ ἀκολάστου τῶν ἵππων, αὐτὴ δὲ ἀνθέλκει τὸν χείρονα τῶν ἵππων ἅμα τῷ ἀμείνονι τῶν ἵππων εἰς τὰ νοητὰ εἴδη. — Τὸ δὲ ἐρωτικὸν ὄμμα, τουτέστι τὴν τοῦ ἐρωμένου ψυχήν· τότε δὲ κυρίως γίνεταί τις ἐρωτικὸς, ὅταν εἰς ἑαυτὸν ἐπιστρέψῃ· τοῦτο δὲ ἔσται διὰ τῶν ὀμμάτων, ὅταν, καθὼς εἶπεν ἐν τῷ Ἀλκιβιάδῃ, βουλόμενος ἑαυτὸν ἰδεῖν τις εἰς ἑτέραν ψυχὴν ἀπίδῃ· καὶ γὰρ ἐπὶ τῶν αἰσθητῶν ἑαυτοὺς βουλόμενοι ἰδεῖν, οὐδὲν ἄλλο τούτου παράδειγμα εὑρίσκομεν ἢ ὀφθαλμὸν ἐπειδὴ εἰς ταυτὸν συντρέχει τὸ ὁρῶν καὶ τὸ ὁρατικόν· ἐν γὰρ τοῖς κατόπτροις ἄλλο ἐστὶ τὸ ὁρῶν καὶ ἄλλο ἐστὶ τὸ ὁρατικόν. — Τὸ δὲ πᾶσαν,
p. 169 τουτέστι δι' ὅλης | τῆς ψυχῆς, καλῶς εἶπε· τὸν γὰρ ἔρωτα ὅπερ ἐστὶ πάθος οὐκ ἔστι διὰ πάσης τῆς ψυχῆς ἰδεῖν, ἀλλὰ μέρους αὐτῆς κατὰ κακίαν ἐνερ-

25 *Alcib.* I 132 E

TIT 10 περὶ ἐγκρατοῦς καὶ ἀκρατοῦς C 12 λόγος καὶ ἀλογία τὰ ψυχῆς μέρη C 15 σωφροσύνη C 17 ἀκολασία C 18 ἐγκράτεια· ἀκράτεια C

NC 1 δέεται] δεῖται M 2 τούτου ex τοῦτο A πολλῆς etiamnunc cernitur in A : πολλὺς vel πολὺς a 2-3 προσοχῆς prius omissum in A, deinde a prima manu in margine adscriptum, nunc pæne evanuit 7 ὅταν, ὃ rubr. A δὲ] δὴ A 8 ὁ αἱρεθεὶς igitur legebat Hermias 10 καὶ ἀκρατοῦς seclusi 12 ὄντων τῶν μερῶν M 22 fort. τῶν ἵππων post ἀμείνονι delendum 24 δὲ post τοῦτο] ὃ ex το A 27 ἢ scripsi : ὡς libri 28 ταὐτὸν] αὐτὸν M 30 τῆς add. supra vers. A[1]

f°70v° γούσης. — Τὸ δὲ διαθερμήνας, | τουτέστι πᾶσαν ψυχὴν διὰ τῆς μνήμης ἀναγαγών· θέρμην γὰρ καλεῖ τὴν ἀναγωγὸν δύναμιν. — Τὴν δὲ ἀνάμνησιν αἴσθησιν ἐκάλεσεν ἐπειδὴ καὶ ἡ αἴσθησις ἔχει τὸ γνωστικόν, καὶ δύναμίς ἐστιν ἡ αἴσθησις γνωστική.

νε'. Γαργαλισμοῦ τε] 253 E.

Τουτέστιν ὅταν ἄρξηται κινεῖσθαι καὶ ἐρᾶν τοῦ αὐτοκάλου καὶ τῶν νοητῶν εἰδῶν· οὐ γὰρ δεῖ εἰς πάθος κατάγειν τὸν ἡνίοχον. — Τὸ δὲ ὁ μὲν εὐπειθής· εἴπομεν ἤδη ὅτι περὶ ἀμείνονος καταστάσεως καὶ ἔρωτος βούλεται διαλεχθῆναι. Εὐπειθῆ δὲ λέγει τὸν θυμόν· οὗτος γὰρ ἕπεται ἐπὶ τὴν ἄνω θέαν πρόθυμος, ὁ δὲ ἕτερος μᾶλλον βούλεται καθέλκειν κάτω καὶ γενεσιουργεῖν. — Τὸ δὲ μὴ ἐπιπηδᾶν τῷ ἐρωμένῳ, τουτέστι μὴ προσομιλῆσαι τῇ γενέσει, κατὰ δὲ τὸ φαινόμενον μὴ εἰς λόγους ἐλθεῖν τῷ ἐρωμένῳ.

νϛ'. Ὁ δὲ οὔτε κέντρων] 254 A.

Ὁ δὲ ἕτερος ὁ ῥέπων ἐπὶ τὴν γένεσιν ἀναγκάζει προσομιλεῖν τοῖς παιδικοῖς καὶ προσάπτεσθαι, ἅτε δὴ ἀνήκοος ὢν τοῦ λόγου. Τὸ γὰρ μνεῖαν <ποιεῖσθαι> τῆς τῶν ἀφροδισίων <χάριτος>, τοῦτο ἔστι τῆς γενεσιουργοῦ ἐπιθυμίας εἰς ἀνάμνησιν ἄγει.

νζ'. Τὼ δὲ κατ' ἀρχὰς μέν] 254 A.

Τουτέστιν ὁ ἡνίοχος καὶ ὁ ἵππος ὁ ἐν τῇ ἀμείνονι στάσει. — Τὸ δὲ ὅταν μηδὲν ᾖ πέρας κακοῦ· τουτέστιν ὅταν μηκέτι δύνωνται ἀντειπεῖν, ἀλλὰ οἷον βιάσηται ὁ τῆς ἐπιθυμίας ἵππος, ἔρχονται μὲν πλησίον τοῦ ἐρωμένου, καὶ ἐκ τούτου ἀνάμνησις γίνεται αὐτοῖς τοῦ νοητοῦ κάλλους, καὶ πάλιν ἀφίστανται τῆς πρὸς τὸν ἐρώμενον συνουσίας.

νη'. Ἡ μνήμη πρὸς τὴν τοῦ κάλλους] 254 B.

Ἔτι γὰρ τὴν μνήμην ἔχων τῶν ἐκεῖ ἀφίσταται πάσης τῆς γενέσεως. — Ἀστράπτουσαν δὲ ἀντὶ τοῦ ἴνδαλμα φέρουσαν τοῦ νοητοῦ κάλλους. —

8 εἴπομεν 196, 11

TIT 9 εὐπειθῆ λέγει τὸν θυμόν C

NC 2 ἀναγωγὸν A : ἀναγωγὴν M 3 αἴσθησιν : legebat igitur et Hermias αἰσθήσει 5 γαργαλισμοῦ, γαρ rubr. A 6 αὐτοκαλοῦ libri : cf. 177, 21 7 δεῖ εἰς] πᾶν a (sed pristina scriptura etiamnunc perspicua) τὸν ἡνίοχον evan. in A 8 fort. εἴπομεν ὅτι ἤδη 10 fort. προθύμως μᾶλον a 14 ὅ rubr. A 16 μνείαν A 17 ποιεῖσθαι et χάριτος om. A : add. M (vel Ast) e Platone 19 τὼ rubr. A : τὸ M : τῷ Plat. cod. B καταρχὰς A 21 ἀντειπεῖν] ἀντιπεῖν M : ἀντιτυπεῖν Ast 21-22 ἀλλὰ διαβιάσηται A[a] 25 ἡ rubr. A κάλλους] καθόλου EM 27 ἀστράπτουσαν — κάλλους hoc scholium post συνουσίας (24) videtur reportandum

[169] Τὸ δὲ εἶδεν αὐτὴν μετὰ σωφροσύνης· δῆλον καὶ ἐντεῦθεν ὅτι περὶ τοῦ ἀμείνονος ἔρωτος διαλέγεται, πῶς ἄνεισι καὶ πῶς κάτεισι, καὶ ἄνω καὶ κάτω μεταφέρεται, καὶ κατακρατεῖ τῆς ἐπιθυμίας· λέγει δὲ ὕστερον καὶ πῶς κατακρατεῖται. Διδάσκει οὖν ὅτι οἱ ἐνταῦθα ἐγκρατευόμενοι καὶ ἐπὶ πολὺ τοῦτο μελετῶντες περιγινόμεθα καὶ εἰς τὴν θέαν ἐρχόμεθα τοῦ αὐτοκάλου. — Τὸ δὲ ἐν ἁγνῷ βάθρῳ τὸ νοητὸν λέγει, ἐπειδὴ ὁ τόπος ὁ νοητὸς καθαρὸς καὶ ἀκίβδηλος καὶ ἁγνός ἐστι· τὰ γὰρ ἐνταῦθα καλὰ οὐκ εἰσὶν ἐν ἀκραιφνεῖ καλῷ.

νθ'. Ἔδεισέ τε] 254 B.

Τὸ δέος, καθὼς ἀνωτέρω εἴπομεν, δεῖ λαβεῖν τοιοῦτον δέος καθὸ ὑποστελλόμεθα τοὺς θεούς, οὐχ οἷον πρὸς τοὺς πολεμίους. — Τὸ δὲ ἀνέπεσεν ὑπτία, τουτέστιν εἵλκυσεν ἑαυτὴν ἀπὸ τῶν αἰσθητῶν πάντων εἰς τοὐπίσω. — Ἑλκύσαι δὲ λέγει τὸ ἀναδραμεῖν ἀπὸ τῆς ὕλης καὶ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ εἴδη. — Τὸν δὲ ὑβριστήν· τὸν τῆς ἐπιθυμίας λέγει.

ξ'. Ἀπελθόντε δὲ ἀπωτέρω] 254 C.

Οὐκέτι πρὸς τὴν τοῦ ἐρωμένου πλησιάσαντες κοινωνίαν, ἀλλὰ πρὸς τὸ νοητόν. — Ὁ μὲν ἱδρῶτι πᾶσαν ἔβρεξε τὴν ψυχήν· ἱδρὼς γὰρ μέγας καὶ ἀγὼν οὗτος τῇ ψυχῇ, ὃν ἀθλεῖ ἀναγομένη ἐπὶ τὸ νοητόν. — Τὸ δὲ μόγις ἐξαναπνεύσας· ὁ ἵππος τοῦ ἐπιθυμητικοῦ δηλονότι ἤρξατο κατηγορεῖν τὸν ἡνίοχον ὅτι ἔδει προσελθεῖν τοῖς αἰσθητοῖς καὶ μὴ φεύγειν αὐτά. — Τὸ δὲ δειλίᾳ καὶ ἀνανδρίᾳ λιπόντε τὴν τάξιν διὰ τὸ μὴ προσομιλῆσαι τοῖς αἰσθητοῖς.

ξα'. Καὶ πάλιν οὐκ ἐθέλοντας] 254 D.

p. 170 Τῷ ὄντι τὸν ἀγῶνα τῆς ψυχῆς καὶ τὴν ἐφ' ἑκάτερα ῥοπὴν διὰ τῶν ῥητῶν |
f° 71 r° τούτων ἐμφαίνει, ὅτι ποτὲ μὲν ἀνάγεται, ποτὲ δὲ κατάγεται, καὶ ὅσῳ καμάτῳ περιγίνεται τῆς περὶ τὰ αἰσθητὰ κοινωνίας. — Τὸ δὲ πολλὰ κακίζων εἶπεν ὅτι, φησίν, ἀπέλιπε τὴν πρὸς τὸν ἐρώμενον κοινωνίαν.

ξβ'. Ἐλθόντος δὲ τοῦ συντεθέντος] 254 D.

Ἐπειδὴ δὲ ὑπερέθεντο εἰσαῦθις προσομιλῆσαι, ἀναμιμνήσκει, φησί, τῶν συνθηκῶν. Ταῦτα δὲ πάντα <τὰ> λεγόμενα τὰς κινήσεις τοῦ

10 ἀνωτέρω 181, 15

TIT 14 ὑβριστὴν ἵππον τὴν ἐπιθυμίαν λέγει C'

NC 3 κρατεῖ M 5 αὐτοκαλοῦ libri: cf. 197. 6 9 ἔδεισε, ἔ rubr. A 15 ἀπελθόντε. ἀ rubr. A 16 κλησιάσαντε M 21 δειλίᾳ τε Plat. λιπόντα Plat. cod. B 23 καί. κ rubr. A 24 ἑκάτερον M 28 ἐλθόντος. ἐ rubr. A 29 δὲ] δὴ M τὸ εἰσαῦθις M 30 συνθικῶν a τὰ addidi

[170] ἐπιθυμητικοῦ τὰς εἰς ἡμᾶς γινομένας ἐμφαίνει, τουτέστι τὰς καταγωγοὺς δυνάμεις.

ξγ΄. Ὁ δὲ ἡνίοχος] 254 D.

Οὔπω λέγει πῶς κατήχθη ἡ ψυχὴ καὶ ὑπηνέχθη εἰς τὴν γένεσιν, ἀλλὰ τὸν κατορθωτικὸν ἔρωτα διὰ πάντων τούτων ἐξηγεῖται. — Ταυτὸν πάθος λέγει τὸ ἀνθελκύσαι. — Ἀπὸ ὕσπληγγος· ἀπὸ μύωπος κρουσθείς· τινὲς δὲ ὕσπληγγα μάστιγα καλοῦσι. — Ἀναπεσὼν δὲ, τουτέστιν εἰς τοὐπίσω πεσὼν καὶ ἑλκύσας. — Ὀδύναις ἔδωκε· τουτέστιν οὐκ εἴασε προβῆναι ἐπὶ τὴν γένεσιν καὶ τὸ αἰσθητόν. Ταῦτα δὲ πάντα τοῦ ἐγκρατοῦς ἐστι καὶ ἐφιεμένου τοῦ νοητοῦ, τὸ πάσας τὰς δυνάμεις ἑαυτοῦ εἰς ἑαυτὸν ἑλκύσαι καὶ ἀποστῆναι τῶν αἰσθητῶν.

ξδ΄. Ὅταν δὲ ταὐτὸν πολλάκις] 254 E.

Ὅταν οὖν τοιοῦτον πάθος πολλάκις πάθη καὶ ταπεινωθῇ, ἕπεται λοιπὸν καὶ οὐκ ἀντιτείνει τῷ ἡνιόχῳ ἡ ἄλογος πᾶσα ζωή, καὶ οὕτω γίνεται ἡ ἀναγωγή. — Τὸ δὲ φόβῳ διόλλυται, ὁ χείρων τῶν ἵππων· ἐπεὶ γὰρ πολυδύναμός ἐστιν ἡ ψυχὴ καὶ πολυμερής, βούλεται καὶ τὰ ἄλλα μόρια αὐτῆς ἐνεργεῖν· ἀνθέλκει οὖν τὰς κοίλας ἐνεργείας καὶ μετάγει ἐπὶ τὰς ἀμείνους καὶ ἐπὶ τὸ ἄνω, τοῦ χείρονος τῶν ἵππων ἐπὶ τὴν γένεσιν τρεπομένου.

ξε΄. Ἅτε οὖν πᾶσαν θεραπείαν] 255 A.

Πρόκειται μὲν αὐτῷ εἰπεῖν πῶς ἐκ τῶν αἰσθητῶν καὶ τῆς γενεσιουργοῦ φύσεως ἀνάγεται ὁ ἀναγόμενος καὶ ἀφίσταται τῆς γενέσεως καὶ γίνεται ἐν θέᾳ τοῦ νοητοῦ. Εἰπὼν οὖν τὸ πῶς ἁλίσκεται ὁ ἐρῶν, βούλεται νῦν εἰπεῖν καὶ ὁ ἐρώμενος πῶς ἁλίσκεται καὶ ἐντίκτεται ὁ ἀντέρως. Ἐντεῦθεν οὖν περὶ τοῦ ἀντέρωτος λέγει. — Θεραπευόμενος, τουτέστιν ὁ ἐρώμενος. — Θεραπείαν δὲ λέγει οὐ ταύτην τὴν γενεσιουργὸν οὐδὲ τὴν καταγωγὸν καὶ σωματικήν· ἀλλὰ οὕτω θεραπευόμενος ὡς ἄγαλμα θεῶν, καὶ ὡς ὁ Ἀλκιβιάδης παρὰ Σωκράτους, οὕτω γοῦν θεραπευόμενος ὑπὸ τοῦ ἐραστοῦ ὁ ἐρώμενος καὶ πεῖραν δεδωκὼς τοῦ ἐραστοῦ, τότε δὴ καὶ ὁ ἐρώμενος ὡς γνησίῳ ἐραστῇ ἑαυτὸν ἐπιδίδωσιν. — Ὁ δὲ πᾶς νοῦς τῶν ἑξῆς ῥητῶν τοιοῦτός ἐστιν. Ἐπειδὴ τὰ θεῖα ὑπερβλύζει τοῖς ἀγαθοῖς καὶ πληθύει, ἀνάγκη καὶ τὸν ἔρωτα ὃν οἱ θεοὶ ἐνέσπειραν τοῖς ἀνθρώποις ὑπερβλύζειν τῇ ἀγαθότητι. Οὐκοῦν καὶ ὁ κατεχόμενος τούτῳ τῷ ἔρωτι μεστός ἐστι τῶν ἀγαθῶν· διό φησιν ὅτι ὁ ἐραστής, ἐκ τοῦ ὄμματος τοῦ

NC 3 ὁ rubr. A   6 λέγει scripsi : λέγων libri   ὑσπλῆγος et ὑσπλῆγα (7) A¹ : ὕσπληγος et ὕσπληγα M Plat. : ὑσπλῆγος et ὕσπληγγα E   8 ἔδωκεν Plat.   9 πάντα καὶ τοῦ M   10 τὸ] καὶ Aᵃ   12 ὅταν, ὅ rubr. A   13 πάθοι A³   19 ἅτε, ἅ rubr. A   27 ὁ om. M   παρὰ ex correct. A¹ : περὶ M   γοῦν] οὖν?   32 οὔκουν M

[169] Τὸ δὲ εἶδεν αὐτὴν μετὰ σωφροσύνης· δῆλον καὶ ἐντεῦθεν ὅτι περὶ τοῦ ἀμείνονος ἔρωτος διαλέγεται, πῶς ἄνεισι καὶ πῶς κάτεισι, καὶ ἄνω καὶ κάτω μεταφέρεται, καὶ κατακρατεῖ τῆς ἐπιθυμίας· λέγει δὲ ὕστερον καὶ πῶς κατακρατεῖται. Διδάσκει οὖν ὅτι οἱ ἐνταῦθα ἐγκρατευόμενοι καὶ ἐπὶ πολὺ τοῦτο μελετῶντες περιγινόμεθα καὶ εἰς τὴν θέαν ἐρχόμεθα τοῦ αὐτοκάλου. — Τὸ δὲ ἐν ἁγνῷ βάθρῳ τὸ νοητὸν λέγει, ἐπειδὴ ὁ τόπος ὁ νοητὸς καθαρὸς καὶ ἀκίβδηλος καὶ ἁγνός ἐστι· τὰ γὰρ ἐνταῦθα καλὰ οὐκ εἰσὶν ἐν ἀκραιφνεῖ καλῷ.

νθ'. Ἔδεισέ τε] 254 B.

Τὸ δέος, καθὼς ἀνωτέρω εἴπομεν, δεῖ λαβεῖν τοιοῦτον δέος καθὸ ὑποστελλόμεθα τοὺς θεούς, οὐχ οἷον πρὸς τοὺς πολεμίους. — Τὸ δὲ ἀνέπεσεν ὑπτία, τουτέστιν εἵλκυσεν ἑαυτὴν ἀπὸ τῶν αἰσθητῶν πάντων εἰς τοὐπίσω. — Ἑλκύσαι δὲ λέγει τὸ ἀναδραμεῖν ἀπὸ τῆς ὕλης καὶ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ εἴδη. — Τὸν δὲ ὑβριστήν· τὸν τῆς ἐπιθυμίας λέγει.

ξ'. Ἀπελθόντε δὲ ἀπωτέρω] 254 C.

Οὐκέτι πρὸς τὴν τοῦ ἐρωμένου πλησιάσαντες κοινωνίαν, ἀλλὰ πρὸς τὸ νοητόν. — Ὁ μὲν ἱδρῶτι πᾶσαν ἔβρεξε τὴν ψυχήν· ἱδρὼς γὰρ μέγας καὶ ἀγὼν οὗτος τῇ ψυχῇ, ὃν ἀθλεῖ ἀναγομένη ἐπὶ τὸ νοητόν. — Τὸ δὲ μόγις ἐξαναπνεύσας· ὁ ἵππος τοῦ ἐπιθυμητικοῦ δηλονότι ἤρξατο κατηγορεῖν τὸν ἡνίοχον ὅτι ἔδει προσελθεῖν τοῖς αἰσθητοῖς καὶ μὴ φεύγειν αὐτά. — Τὸ δὲ δειλίᾳ καὶ ἀνανδρίᾳ λιπόντε τὴν τάξιν διὰ τὸ μὴ προσομιλῆσαι τοῖς αἰσθητοῖς.

ξα'. Καὶ πάλιν οὐκ ἐθέλοντας] 254 D.

p. 170 f° 71 r° Τῷ ὄντι τὸν ἀγῶνα τῆς ψυχῆς καὶ τὴν ἐφ' ἑκάτερα ῥοπὴν διὰ τῶν ῥητῶν | τούτων ἐμφαίνει, ὅτι ποτὲ μὲν ἀνάγεται, ποτὲ δὲ κατάγεται, καὶ ὅσῳ καμάτῳ περιγίνεται τῆς περὶ τὰ αἰσθητὰ κοινωνίας. — Τὸ δὲ πολλὰ κακίζων εἶπεν ὅτι, φησίν, ἀπέλιπε τὴν πρὸς τὸν ἐρώμενον κοινωνίαν.

ξβ'. Ἐλθόντος δὲ τοῦ συντεθέντος] 254 D.

Ἐπειδὴ δὲ ὑπερέθεντο εἰσαῦθις προσομιλῆσαι, ἀναμιμνήσκει, φησί, τῶν συνθηκῶν. Ταῦτα δὲ πάντα <τὰ> λεγόμενα τὰς κινήσεις τοῦ

10 ἀνωτέρω 181, 15

TIT 14 ὑβριστὴν ἵππον τὴν ἐπιθυμίαν λέγει C[1]

NC 3 κρατεῖ M 5 αὐτοκαλοῦ libri; cf. 197, 6 9 ἔδεισε, ἔ rubr. A 15 ἀπελθόντε, ἀ rubr. A 16 πλησιάσαντε M 21 δειλίᾳ τε Plat. λιπόντα Plat. cod. B 23 καί, κ rubr. A 24 ἑκάτερον M 28 ἐλθόντος, ἐ rubr. A 29 δὲ] δὴ M τὸ εἰσαῦθις M 30 συνθικῶν a τὰ addidi

[170] ἐπιθυμητικοῦ τὰς εἰς ἡμᾶς γινομένας ἐμφαίνει, τουτέστι τὰς καταγωγοὺς δυνάμεις.

ξγ'. Ὁ δὲ ἡνίοχος] 254 D.

Οὔπω λέγει πῶς κατήχθη ἡ ψυχὴ καὶ ὑπηνέχθη εἰς τὴν γένεσιν, ἀλλὰ τὸν κατορθωτικὸν ἔρωτα διὰ πάντων τούτων ἐξηγεῖται. — Ταυτὸν πάθος λέγει τὸ ἀνθελκύσαι. — Ἀπὸ ὕσπληγγος· ἀπὸ μύωπος κρουσθείς· τινὲς δὲ ὕσπληγγα μάστιγα καλοῦσι. — Ἀναπεσὼν δὲ, τουτέστιν εἰς τοὐπίσω πεσὼν καὶ ἑλκύσας. — Ὀδύναις ἔδωκε· τουτέστιν οὐκ εἴασε προβῆναι ἐπὶ τὴν γένεσιν καὶ τὸ αἰσθητόν. Ταῦτα δὲ πάντα τοῦ ἐγκρατοῦς ἐστι καὶ ἐφιεμένου τοῦ νοητοῦ, τὸ πάσας τὰς δυνάμεις ἑαυτοῦ εἰς ἑαυτὸν ἑλκύσαι καὶ ἀποστῆναι τῶν αἰσθητῶν.

ξδ'. Ὅταν δὲ ταὐτὸν πολλάκις] 254 E.

Ὅταν οὖν τοιοῦτον πάθος πολλάκις πάθῃ καὶ ταπεινωθῇ, ἕπεται λοιπὸν καὶ οὐκ ἀντιτείνει τῷ ἡνιόχῳ ἡ ἄλογος πᾶσα ζωή, καὶ οὕτω γίνεται ἡ αναγωγή. — Τὸ δὲ φόβῳ διόλλυται, ὁ χείρων τῶν ἵππων· ἐπεὶ γὰρ πολυδύναμός ἐστιν ἡ ψυχὴ καὶ πολυμερής, βούλεται καὶ τὰ ἄλλα μόρια αὐτῆς ἐνεργεῖν· ἀνθέλκει οὖν τὰς κοίλας ἐνεργείας καὶ μετάγει ἐπὶ τὰς ἀμείνους καὶ ἐπὶ τὸ ἄνω, τοῦ χείρονος τῶν ἵππων ἐπὶ τὴν γένεσιν τρεπομένου.

ξε'. Ἅτε οὖν πᾶσαν θεραπείαν] 255 A.

Πρόκειται μὲν αὐτῷ εἰπεῖν πῶς ἐκ τῶν αἰσθητῶν καὶ τῆς γενεσιουργοῦ φύσεως ἀνάγεται ὁ ἀναγόμενος καὶ ἀφίσταται τῆς γενέσεως καὶ γίνεται ἐν θέᾳ τοῦ νοητοῦ. Εἰπὼν οὖν τὸ πῶς ἁλίσκεται ὁ ἐρῶν, βούλεται νῦν εἰπεῖν καὶ ὁ ἐρώμενος πῶς ἁλίσκεται καὶ ἐντίκτεται ὁ ἀντέρως. Ἐντεῦθεν οὖν περὶ τοῦ ἀντέρωτος λέγει. — Θεραπευόμενος, τουτέστιν ὁ ἐρώμενος. — Θεραπείαν δὲ λέγει οὐ ταύτην τὴν γενεσιουργὸν οὐδὲ τὴν καταγωγὸν καὶ σωματικήν· ἀλλὰ οὕτω θεραπευόμενος ὡς ἄγαλμα θεῶν, καὶ ὡς ὁ Ἀλκιβιάδης παρὰ Σωκράτους, οὕτω γοῦν θεραπευόμενος ὑπὸ τοῦ ἐραστοῦ ὁ ἐρώμενος καὶ πεῖραν δεδωκὼς τοῦ ἐραστοῦ, τότε δὴ καὶ ὁ ἐρώμενος ὡς γνησίῳ ἐραστῇ ἑαυτὸν ἐπιδίδωσιν. — Ὁ δὲ πᾶς νοῦς τῶν ἑξῆς ῥητῶν τοιοῦτός ἐστιν. Ἐπειδὴ τὰ θεῖα ὑπερβλύζει τοῖς ἀγαθοῖς καὶ πληθύει, ἀνάγκη καὶ τὸν ἔρωτα ὃν οἱ θεοὶ ἐνέσπειραν τοῖς ἀνθρώποις ὑπερβλύζειν τῇ ἀγαθότητι. Οὐκοῦν καὶ ὁ κατεχόμενος τούτῳ τῷ ἔρωτι μεστός ἐστι τῶν ἀγαθῶν· διό φησιν ὅτι ὁ ἐραστής, ἐκ τοῦ ὄμματος τοῦ

NC 3 ὁ rubr. A 6 λέγει scripsi : λέγων libri ὑσπλῆγος et ὑσπλῆγα (7) A¹ : ὕσπληγος et ὕσπληγα M Plat. : ὑσπλῆγος et ὕσπληγγα E 8 ἔδωκεν Plat. 9 πάντα καὶ τοῦ M 10 τὸ] καὶ Aª 12 ὅταν, ὅ rubr. A 13 πάθοι Aª 19 ἅτε, ἅ rubr. A 27 ὁ om. M παρὰ ex correct. A¹ : περὶ M γοῦν] οὖν? 32 οὔκουν M

[170] ἐρωμένου ἀναμνησθεὶς τῶν νοητῶν καὶ εἰς ἑαυτὸν γενόμενος καὶ θεωρήσας τὸ ἀληθὲς κάλλος, ὑπερεχχέει τι ἐξ ὧν ἔσχεν ἀγαθῶν εἰς τὸν ἐρώμενον, ὅπερ δεξάμενος ὁ ἐρώμενος ἀπὸ τοῦ ἐραστοῦ, ὥσπερ ἀπὸ λείων καὶ λαμπρῶν ἀναπαλλομένου καὶ ἀντηχοῦντος τοῦ ψόφου, ἢ ὥσπερ ἀπὸ ὀμμάτων διὰ τὴν συμπάθειαν τοῦ ἑτέρου ὄμματος ἀναπιμπλαμένου, ἀνατείνει
f°71 v° εἰς | ἑαυτὸν καὶ γίνεται ὁ ἐρώμενος ἐραστής.

ξϛʹ. Οὐχ ὑποσχηματιζομένου] 255 A.

Τοῦτο γὰρ ποιοῦσιν οἱ νόθοι ἐρασταὶ προσποιούμενοι καὶ ὑποσχηματιζόμενοι φιλεῖν. — Καὶ αὐτὸς ὢν φύσει φίλος· εἰς ταυτὸν ἄγει τὴν φιλίαν καὶ τὸν ἔρωτα· ἐπειδὴ διὰ φιλίας καὶ ὁμονοίας καὶ συμπνοίας ἡ ἀναγωγὴ γίνεται ἡ πρὸς τοὺς θεούς.

ξζʹ. Ἐὰν ἄρα καὶ ἐν τῷ πρόσθεν] 255 A.

Τουτέστιν ἐὰν ᾖ διαβεβλημένος τῆς συνουσίας τοῦ ἐραστοῦ ὅτι οὐ σωματικῆς χάριτος ἕνεκα ἐπλησίασεν αὐτῷ ἀλλὰ ὠφελείας ψυχῆς, τότε παραδίδωσιν ἑαυτὸν καταφρονήσας τῶν τὰς διαβολὰς λεγόντων.

p. 171 ξηʹ. Προϊόντος δὲ τοῦ χρό|νου] 255 A.

Ταῦτα ἄντικρύς ἐστιν ἃ εἶπεν ἐν τῷ Ἀλκιβιάδῃ· ὅταν δὲ προϊόντος τοῦ χρόνου οἱ μὲν τοῦ σώματος ἐρῶντες ἀποφοιτῶσιν, αὐτὸς δὲ παραμένῃ, δῆλον γίνεται τῷ ἐραστῇ ὅτι οὐ σωματικῆς χάριτος ἕνεκα παραμένει, ἀλλὰ τῷ ἀπολῦσαι τὸν νέον· διὸ καὶ ὁ νέος καιρὸν λοιπὸν ἔχων τοῦ κατήκοος γίνεσθαι λόγων καὶ διακρίνειν τὸν γνήσιον ἐραστήν, εἰς ὁμιλίαν ἔρχεται τῷ ἐραστῇ καὶ παραδίδωσιν ἑαυτὸν τῷ ἐραστῇ.

ξθʹ. Οὐ γὰρ δήποτε εἵμαρται κακόν] 255 B.

Οὐ γὰρ πέφυκε τὰ ἀνόμοια συμμίγνυσθαι, οὔτε κακὸς ἐραστὴς ἀγαθῷ ἐρωμένῳ οὔτε κακὸς ἐρώμενος ἀγαθῷ ἐραστῇ· τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ φίλον· διὸ οὐδὲ ὁ κακὸς τῷ καλῷ φίλος οὐδὲ ὁ δειλὸς τῷ θρασεῖ· οὔτε μὴν τῷ ἀνδρείῳ, ἐπειδὴ ἡ κακία ἀόριστός ἐστι καὶ ἄπειρος, τὰ δὲ καλὰ ἐν μέτρῳ ἐστὶ καὶ πέρατι. — Εἱμαρμένην δὲ λέγει τὴν περὶ τὴν σωματοειδῆ ζωὴν καὶ τάξιν· ὁ Ἰάμβλιχος δὲ τὴν φύσιν τοῦ παντὸς εἱμαρμένην καλεῖ.

17 *Alcib.* I 131 D 29 cf. 9, 10

TIT 29 ἡ φύσις τοῦ παντὸς εἱμαρμένη κατὰ Ἰάμβλιχον C

NC 2 ὑπερεχχεῖ M 3 ὅπερ scripsi : ἅπερ libri 7 οὐχ, οὐ rubr. A ὑποσχημένου Plat. cod. B (ὑπὸ σχηματιζομένου edd.) 10 καὶ τὸν ἔρωτα om. M 11 τοὺς om. M 12 ἐὰν, ἐ rubr. A 13 ἐὰν] ἐν τῷ A[a] ᾖ scripsi : καὶ libri οὐ] οὐχὶ M 14 σωματικῶς A[1] τῆς ψυχῆς a 16 προϊόντος, πρ rubr. A δὲ ἤδη Plat. 18 ἔρωτες A[1] 20 τῷ] τοῦ M 22 καὶ om. M 23 οὐ rubr. A 25 γὰρ scripsi : δὲ libri 26 ὁ ante κακὸς om. M καλὸς et κακῷ A[1]

[171] Ἡ δὲ εἱμαρμένη ἀπὸ τοῦ θεσμοῦ τῆς Ἀδραστείας οὖσα οὐδέποτε κακὸν ἀγαθῷ συζευγνύει. Προσδεξαμένου δὲ τὸν ἐραστὴν καὶ εἰς λόγους ἐλθόντων... ἐγγύθεν, οὐκέτι πόρρωθεν ὡς πάλαι, ἀλλὰ διὰ τὸ δύνασθαι κατακούειν λόγων πλησίον ὢν τοῦ ἐραστοῦ. Ἤγουν τὸ ἐγγὺς τοῦτο σημαίνει ὅτι ἐγγύθεν πάρεστι τὰ ἀγαθὰ τοῖς βουλομένοις μετασχεῖν.

ο'. Ἐκπλήττει τὸν ἐρώμενον] 255 B.

Ὅτι οὐ σωματικῆς χάριτος ἕνεκα παρέμενε τῷ ἐρωμένῳ, ἀλλὰ φιλῶν καὶ ὠφελείας ἕνεκα. — Ἔνθεον δὲ φίλον εἶπε πρὸς ὃν οὐδὲ πατέρες οὐδὲ συγγενεῖς συγκρινόμενοι τὸ τυχόν εἰσιν.

οα'. Ὅταν δὲ χρονίζῃ] 255 B.

Τὸ τοῦ ἀντέρωτος λοιπὸν λέγει· ὅταν δέ, φησί, χρονίσῃ ὁ ἐρώμενος τοῦτο δρῶν, τουτέστι συνὼν τῷ ἐραστῇ καὶ ἀπολαύων αὐτοῦ, τότε γεννᾷ τὸν ἀντέρωτα. — Τὸ δὲ ἅπτεσθαι· ὁ γὰρ γνήσιος ἐραστὴς καὶ ἁπτόμενος σωφρόνως ἅπτεται, ὡς ἔχομεν τὸν Σωκράτη καὶ γυμναζόμενον καὶ συγκαθεύδοντα Ἀλκιβιάδῃ. — Τὸ δὲ τότε ἤδη ἡ τοῦ ῥεύματος ἐκείνου πηγή, τουτέστι τοῦ ἔρωτος, ὃν ἔλεγεν ἵμερον ἐκ τοῦ Γανυμήδους τὸν Δία ἠρᾶσθαι· τότε οὖν ὁ ἵμερος ἀπὸ τοῦ παιδὸς ἐν αὐτῷ τεχθεὶς ἀπομεστούμενος καὶ ἐρχόμενος ἐπὶ τὸν ἐρώμενον, ὡς ἀπὸ λείων καὶ λαμπρῶν ἀναπάλλεται, καὶ ὥσπερ ἐπὶ τῶν ἀκτίνων ἀντανακλᾶται καὶ τίκτει τὸν ἀντέρωτα· ἡ πηγὴ οὖν ἡ ἀπὸ τοῦ ἐρωμένου [καὶ ἡ] καλλονὴ πολλὴ [ἡ] φερομένη.

οβ'. Καὶ οἷον πνεῦμα] 255 C.

Λοιπὸν παραβολαῖς κέχρηται· ὥσπερ, φησί, τὸ πνεῦμα ἀπό τινων λείων ἀνακάμπτει ἐπὶ τὸ πεμφθὲν ἀπὸ τῆς ἠχοῦς, ἢ ὥσπερ ἀπὸ τῆς ὀφθαλμίας ἄλλος ἀναπίμπλαται ὀφθαλμίας καὶ οὐκ οἶδεν ὅθεν τοῦτο τὸ πάθος ἐστί, γίνεται δὲ τὸ πάθος τοῦτο διὰ τὴν συμπάθειαν καὶ τὴν ἕνωσιν, τὸν αὐτὸν τρόπον καὶ ὁ ἐρώμενος ἀντερῶν τοῦ ἐραστοῦ φιλεῖ μέν, ἀγνοεῖ δὲ ὃ πάσχει. — Ἄρδει· τὸ ἀρδόμενον εἰς ὕψος τρέχει· τοῦτο οὖν λέγει τὸ
f° 72 r° ἀνάγεσθαι ἀπὸ τῶν γηγενῶν. — Τὸ δὲ ὅτου δέ, ἀπορεῖ· | τὸ τοῦ ἔρωτος ἡνωμένον καὶ ὑπερφυὲς ἐσήμανε διὰ τοῦ ἀπορεῖν, ὅτι ἐρῶμεν μὲν τῆς θέας ἐκείνης καὶ ζητοῦμεν τὴν ἑαυτῶν ὁλότητα, ἅτε ἀποτετεμαχισμένοι ὄντες, ἀγνοοῦμεν δὲ ὅτι ἐρῶμεν, καὶ ἀποπίπτομεν εἰς τὴν ὕλην καὶ τὰ αἰσθητά.

NC 2 προσδεξαμένου κτλ. desunt nonnulla 6 ἐκπλήττει, ἐ rubr. A 8 ὃν] ἓν M πατέρες (πρες) τρεῖς M 10 ὅταν, ὅ rubr. A 11 φησὶ om. M 14 Σωκράτην M καὶ γυμναζόμενον] συγγυμναζόμενον ? 15 τότ' Plat. 16 γαννυμήδους A 17 τοῦ om. M 18 ἐπὶ] πρὸς M 19 ἀναπάλλεται] ἀναπίμπλαται M (« *num* ἀναπάλλεται *ut supra?* » Ast) 20 ἡ ante ἀπὸ om. M καὶ ἡ, deinde ἡ seclusi 22 καὶ, κ rubr. A 25 οἶδεν] εἶδεν M τοῦτο supra vers. A[1]

[171] ογ'. Ἀλλ' οἷον ἀπ' ἄλλου ὀφθαλμίας] 255 D.

Οὐδὲ γὰρ ὁ οὕτω ὀφθαλμιῶν ἔχει εἰπεῖν τὴν πρόφασιν ἢ τὴν αἰτίαν· οὐδὲ γὰρ οἶδε τὸ πάθος διὰ τί συμβαίνει· συμβαίνει δὲ διὰ τὴν συμπάθειαν· ἤγουν διὰ τοῦ ἀέρος συνάπτεταί πως ἡ ὀφθαλμία. — Ὥσπερ δὲ ἐν κατόπτρῳ· τὸ οἰκεῖον παράδειγμα τῆς ἐρωτικῆς ἐπιστήμης ὀφθαλμός ἐστιν, ἐπειδὴ καὶ ἐκ τοῦ ὁρᾶν γίνεται τὸ ἐρᾶν, καὶ αἱ ἐλλάμψεις τῆς ψυχῆς
p. 172 διὰ τῶν ὀμμάτων ἐμφαίνονται. Ὥσπερ οὖν διὰ | τοῦ ὄμματος τοῦ ἐρωμένου ὁ ἐραστὴς ἀνάγεται ἐκεῖ ἐνοπτριζόμενος, οὕτω καὶ ὁ ἐρώμενος διὰ τοῦ ὄμματος τοῦ ἐρῶντος. Κάτοπτρον οὖν μᾶλλον ἄν τις εἴποι τὸ τοῦ ὀφθαλμοῦ· καὶ ἐπὶ τῶν ἄλλων δὲ κατόπτρων δύναται ἡ ἐξήγησις τοῦ ῥητοῦ ἁρμόσαι.

οδ'. Καὶ ὅταν μὲν ἐκεῖνος παρῇ] 255 D.

Τουτέστι τὰ αὐτὰ πάσχει τῷ ἐραστῇ, καὶ τὰς αὐτὰς ἐνεργείας καὶ τὴν αὐτὴν ἀναγωγὴν καὶ τὸ αὐτὸ τέλος ἔχουσιν. — Εἴδωλον δὲ ἔρωτος τὸν ἀντέρωτά φησι· τὰ δεύτερα γὰρ προσάπτει τῷ ἀντέρωτι, ἐπειδὴ καὶ πρωτουργὸν αἴτιόν ἐστι τοῦ ἀντέρωτος ὁ ἔρως. — Τὸ δὲ παραπλησίως μὲν ἀσθενεστέρως δέ· κἀνταῦθα τὰ δεύτερα πάντα τῷ ἀντέρωτι προσάπτει.

οε'. Καὶ δὴ οἷον εἰκὸς ποιεῖ τὸ μετὰ τοῦτο ταχὺ τὰ αὐτά] 255 E.

Ὡς ἂν εἴποις τὸ προκείμενον βούλεται ποιῆσαι τῷ ἑνωθῆναι αὐτῷ καὶ ἐπιδίδωσιν ἑαυτὸν τῷ ἐραστῇ· κατὰ δὲ τὸ φαινόμενον τὸ συγκατακλιθῆναι τῷ ἐραστῇ λέγει.

ος'. Ἐν οὖν τῇ συγκοιμήσει] 255 E.

Ἄντικρυς ταῦτα τὰ ῥητὰ περὶ ἐγκρατοῦς καὶ ἀκρατοῦς δοκεῖ λέγεσθαι· δεῖ δὲ αὐτὰ θεωρητικώτερον ἐκλαμβάνειν, καὶ μὴ ὡς δοκεῖ ἔχειν ἡ λέξις· οὐ γὰρ ἄνευ ὑπονοίας αἰσχρᾶς ἐστι τὰ λεγόμενα. Τί γάρ φησιν ἐν τῇ συγκοιμήσει; ὁ μὲν ἀκόλαστος ἀναγκάζει προσιέναι τοῖς παιδικοῖς, ὁ δὲ ἀμείνων τῶν ἵππων ἀντιτείνει, καὶ ὅταν ὦσι φιλοσόφῳ διαίτῃ τεθραμμένοι, τότε ἕπεται τὸ ἄλογον καὶ ἀκολουθεῖ τῷ λόγῳ· ὅταν δὲ ἀφιλοσόφῳ διαίτῃ ὦσι κεχρημένοι, ὑποφέρονται εἰς τὴν τοιαύτην αἰσχρότητα. Δεῖ δὲ τὰ λεγόμενα ἄλλως ἐκδέχεσθαι, ἵνα πόρρω ὑπονοίας αἰσχρᾶς ᾖ τὰ λεγόμενα, ἵνα τὸν μὲν φιλοσόφως τεθραμμένον διὰ τῶν εἰδῶν λέγῃ τυγχάνειν τῶν καλῶν καταφρονοῦντα τοῦ αἰσθητοῦ κάλλους ὡς ἐνύλου, τὸν δὲ μὴ

NC 1 ἀλλ' οἷον rubr. A 4 τῇ ὀφθαλμίᾳ M δ' Plat. 6 αἱ om. ME ἔλλαμψις M 7 ἐμφαίνονται] ἐκφαίνεται M 12 καί, κ rubr. A 14 δὲ om. M 15 γὰρ scripsi : δὲ libri 18 καί, κ rubr. A τὰ αὐτὰ] ταῦτα Plat. 20 εἴποις] εἴποι τις A[a] 23 ἐν, ἐ rubr. A 24 καὶ ἀκρατοῦς om. M 32 λέγῃ scripsi : λέγοι libri

[172] φιλόσοφον διὰ τῶν αἰσθητῶν οἴεσθαι [λέγειν] τὸ νοητὸν διὰ τοῦ προσάπτεσθαι καὶ προσομιλεῖν· ἅπερ ἐκτὸς αἰσχρᾶς ὑπονοίας δεῖ λαμβάνειν ὡς καὶ ἐπὶ πατέρων καὶ παίδων καὶ ἀδελφῶν ἔστι περιπλοκὰς καὶ ὁμιλίας ἰδεῖν ἄνευ αἰσχρᾶς ὑπονοίας. Τοιαῦτα οὖν δεῖ ἀκούειν καὶ ἐπὶ τοῦ νῦν ἀκολάστου λεγομένου· δῆλον δὲ ἐξ ὧν αὐτὸς παρακατιὼν φησι περὶ αὐτοῦ, ὅτι καὶ οὗτοι ὑπόπτεροι γίνονται· οὐκ ἂν δὲ ὑποπτέρους αὐτοὺς ἔλεγε γίνεσθαι, αἰσχρόν τι εἰ ἔλεγε περὶ αὐτῶν.

οζ′. Ὁ δὲ τῶν παιδικῶν] 256 A.

Τουτέστιν ὁ τοῦ ἐρωμένου ἵππος οὐδὲν ἔχει εἰπεῖν· οὐδὲ γὰρ εἶδε τὸν ἐραστὴν προσπλεκόμενον αὐτῷ διά τινα αἰσχρὰν ὑπόνοιαν καὶ σωματικὸν κάλλος· ὅμως δὲ σπαργῶν καὶ ἐπιθυμῶν φιλοφρόνως στέργει καὶ περιβάλλει τὸν ἐραστήν.

οη′. Ὅταν δὲ συγκατακέωνται] 256 A.

Ὅτι δὲ ταῦτα οὕτως ἔχει, ἔσται σοι τὰ ἐν τῷ Συμποσίῳ εἰρημένα ἐξηγητικὰ τούτων, ἔνθα ἔλεγεν Ἀλκιβιάδης « Σώκρατες καθεύδεις; » Ἕτοιμος οὖν ἐστιν ὁ παῖς χαρίζεσθαι τῷ ἐραστῇ εἰ βουληθείη. Αὕτη δὲ ἡ ἐξήγησις τοῦ φαινομένου ἐστίν.

οθ′. Ὁ δὲ ὁμόζυξ] 256 A.

Τουτέστι τὸ θυμικὸν ἀντιτείνει πρὸς τὴν τοιαύτην χάριν, μὴ καταφερόμενον εἰς αἰσχρὰν ὑπόνοιαν.

π′. Ἐὰν μὲν δὴ οὖν εἰς τεταγμένην] 256 A.

Ὅταν ὦσι καλῶς τεθραμμένοι <καὶ> φιλοσόφως, τῶν μαθητῶν καὶ διδασκάλων καὶ ἐθῶν καὶ ἐπιτηδευμάτων ἀγαθῶν τυχόντες, τότε καὶ τὸν
f°72v° ἀκόλαστον | ἵππον ἀνασπῶσιν ἐπὶ τὸ ἄνω, διδάσκοντες ὅτι οὐ διὰ τῶν αἰσθητῶν καλῶν περιέσται αὐτῷ ἡ τοῦ νοητοῦ θέα. — Τὸ δὲ ἐγκρατεῖς αὐτῶν, τουτέστι κρατήσαντες τῆς γενεσιουργοῦ φύσεως καὶ μὴ διὰ τῶν αἰσθητῶν ἀναχθέντες.

πα′. Ὧι κακία ψυχῆς ἐνεγίγνετο] 256 B.

Τὸ ἐπιθυμητικὸν λέγει· τίνι γὰρ ἄλλῳ ἐγγίνεται ἡ κακία ἢ τῷ ἐπιθυμη-

5 παρακατιών 256 B 14 *Conviv.* 218 C

NÇ 1 λέγειν seclusi 3 καὶ post ὡς om. M 7 εἰ ex εἴ A 8 ὁ rubr. A 9 εἶδε] εἶχε M 13 ὅταν, ὅ rubr. A δὲ] τε M Plat. 15 ἐξηγητικὰ] ἐξηγηματικὰ M 16 ἕτοιμος M βουληθείη] βουλευθείη M 18 ὁ rubr. A 21 ἐὰν, ἐ rubr. A 22 καὶ addidi 23 ἐθῶν] ἐθνῶν M 26 αὐτῶν etiam Plat. codd. BT : αὐτῶν M 28 ὧ rubr. A (ὡς Plat. cod. B) ἐνεγίγνετο A[a] (fort. ἐνεγίνετο A) : ἐγίνετο EM

[172] τικῷ; Τὸ δὲ ἐλευθερώσαντες, τουτέστι τὸν ἡνίοχον ἐν ᾧ ἡ ἀρετὴ ἐγγίνεται.

πβʹ. Τελευτήσαντες δὲ δή] 256 B.

Τουτέστι μετὰ τὸ τέλος τοῦ βίου τούτου καὶ τῆς ζωῆς, ἐπεὶ τέλος αὐτοῖς p. 173 ἐστὶ καὶ πέρας | καὶ κατόρθωμα τὸ ὑπόπτεροι γενέσθαι. — Ἐλαφροὶ δὲ ἀντὶ τοῦ οὐ βρίθοντες τῇ γενεσιουργῷ φύσει. — Τὸ δὲ τῶν τριῶν παλαισμάτων δύναται μέν τις καὶ ὡς ἐπὶ τῶν ἀγώνων ἐκλαμβάνειν, ἄμεινον δὲ κατὰ τὰ ἀνωτέρω εἰρημένα θεωρητικώτερον ἐκδέχεσθαι τὸ λεγόμενον, ἵνα εἴπῃ τὸν τρίτον ἐλθόντα εἰς γένεσιν καὶ φιλοσοφήσαντα ἀνάγεσθαι. — Τὸ δὲ οὗ μεῖζον ἀγαθὸν, τουτέστι τῆς εὐδαιμονίας ἧς περιποιεῖ ὁ ἔρως, ὃ οὔτε σωφροσύνη οὔτε ἄλλη ἀρετὴ περιποιεῖ. Ἐπίτηδες δὲ λέγει τοῦτο ὡς πρὸς τὸν τοῦ Λυσίου λόγον ἐπειδὴ ἔλεγεν ἐκεῖνος τοὺς ἐραστὰς φθονεῖν τοῖς παιδικοῖς καὶ βούλεσθαι αὐτοὺς ἀεὶ ἐν ἐνδείᾳ εἶναι. Πρὸς τὸν λόγον οὖν Λυσίου αἰνιττόμενος ταῦτα λέγει καὶ ὅτι αἱ περὶ τὸν θνητὸν βίον ἀρεταὶ οὐ περιποιοῦσι τοιοῦτον ἀγαθὸν τῇ ψυχῇ οἷον αἱ νοεραὶ καὶ θεῖαι ἀρεταί. — Θεία δὲ μανία ὡς πρὸς τὰς ἄλλας μανίας εἶπε, μαντικὴν, τελεστικὴν, ποιητικήν.

πγʹ. Ἐὰν δὲ δὴ διαίτῃ] 256 B.

Ὡς ἂν εἴποις, αὕτη μὲν οὖν ἡ φιλόσοφος δίαιτα, ἡ δὲ ἀφιλόσοφος ἀκρατῆ ποιεῖ· οὐ δεῖ δὲ οὕτως ἀκούειν τῶν ῥητῶν, ἀλλὰ ὅτι διὰ τῶν σωμάτων καὶ αἰσθητῶν προσδοκῶσιν ἀνάγεσθαι.

πδʹ. Τάχ' ἄν που ἐν μέθαις] 256 C.

Ὥσπερ ἐκεῖ ὁ ἡνίοχος ἀνήγαγε τὸ ἐπιθυμητικὸν, οὕτως ἐνταῦθα τὸ ἐπιθυμητικὸν κατασπᾷ τὴν ψυχήν· ἄντικρυς οὖν τὰ λεγόμενα περὶ τοῦ ἀκρατοῦς ἐστι· τοῖς δὲ πόρρω αἰσχρᾶς ἐπιθυμίας δεχομένοις τὰ λεγόμενα εἴη ἂν περὶ τῶν διὰ τῶν αἰσθητῶν ἀνάγεσθαι προσδοκώντων.

πεʹ. Τὰς ψυχὰς ἀφρούρους] 256 C.

Θυμόν τε καὶ ἐπιθυμίαν λέγει, μᾶλλον δὲ τὴν τοῦ ἐρῶντος καὶ τοῦ ἐρωμένου ψυχήν. — Τὸ δὲ τὴν ὑπὸ τῶν πολλῶν μακαριστὴν αἵρεσιν κατὰ μὲν τὸ φαινόμενον τὴν αἰσχρὰν ἡδονὴν λέγει, θεωρητικώτερον δὲ τὴν ἐκ τῶν αἰσθητῶν ἀναγωγήν. — Ὑπὸ τῶν πολλῶν δὲ εἶπεν ὅτι ἡ τοιαύτη φιλία οὐκ ἔστι φιλοσόφων· ἡ γὰρ ὄντως φιλία ἡ τοῦ νοῦ ἐστι κοινωνία.

12 ἔλεγεν 232 C

NC 1 τοῦ ἡνιόχου prius A[a] 3 τελευτήσαντες, τ rubr. A δὴ om. Plat. cod. B 9 εἴπῃ soripsi : εἴποι libri 12 τὸν om. M 13 ἀεὶ αὐτοὺς M 14 τοῦ Λυσίου M αἰνιτόμενος A[a] 18 ἐὰν δὲ rubr. A 22 τάχ', τ rubr. A 23 οὕτως — 24 ἐπιθυμητικὸν om. M 27 τὰς, τ rubr. A 29 τὴν ὑπὸ τὴν Plat. T 30 κατὰ] αὐτὰ M 32 φιλία] φιλοσοφία M

[173] πς'. Χρῶνται μὲν αὐτῇ] 256 C.

Ἐπειδὴ προκόπτοντες οὐκέτι τῇ φιλοσοφίᾳ χρῶνται οὕτω σφόδρα. — Πάσῃ δὲ διανοίᾳ λέγει τῷ νοερῷ τῆς ψυχῆς.

πζ'. Φίλω μὲν οὖν καὶ τούτω] 256 C.

Πρὸς τὰ μέτρα ἀπονέμει, ὡς ἂν εἴποις, ἡ ἐσχάτη ἐρωτικὴ φιλία αὕτη ἐστὶν ἡ διὰ τῶν σωμάτων. — Τὸ δὲ ἔξω γενομένω· τουτέστι καὶ μηκέτι ἐρῶντες φίλοι εἰσί· τὸ γὰρ ἔξω γενόμενοι μηκέτι ἐρῶντες διὰ τῶν σωμάτων.

πη'. Ἐν δὲ τῇ τελευτῇ] 256 D.

Ἡ τοῦ θανάτου ἢ τοῦ ἔρωτος λέγει. — Τὸ δὲ ἄπτεροι ἐπειδὴ οὐ τῷ νοερῷ τῆς ψυχῆς ἐχρήσαντο. — Οὐ σμικρὸν δὲ ἆθλον προφέρονται οἱ τὸ ἔσχατον ἴνδαλμα τοῦ ἔρωτος ἀποφερόμενοι. — Τὸ δὲ εἰς σκότον· τουτέστιν οἱ φιλίαν κτησάμενοι διὰ τῶν αἰσθητῶν καὶ οὗτοι ὑπόπτεροι γίνονται καὶ οὐκέτι ἀπέρχονται εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια, ὥσπερ οἱ ἀκολάστως ἐρῶντες, ἐπειδὴ ὅπως ποτὲ ἀρχὴν ἔχουσι τῆς ἐρωτικῆς μανίας
f° 73 r° καὶ τῆς ἀναγωγῆς. | — Ὁμοπτέρους δὲ εἶπε διὰ τὸ ἀνάγεσθαι τὸν ἐρώμενον καὶ τὸν ἐραστήν.

πθ'. Ταῦτα τοσαῦτα] 256 E.

Ταῦτα παραβάλλει καὶ ἀντιτίθησι τὸν ἐρῶντα πρὸς τὸν μὴ ἐρῶντα, λέγων ὅτι ὁ μὲν ἐρῶν εἰς τὴν οὐρανίαν πορείαν ἀνάγει αὐτούς, καὶ ἀληθῶς εἰς αὐτὸ τὸ ὄν, ὁ δὲ μὴ ἐρῶν τοιοῦτον οὐδὲν ἔχει, ἀλλὰ ἀνθρώπινα πάντα καὶ θνητὰ καὶ σωματικὰ καὶ τῶν ἀληθῶν εἴδωλα. — Ὑπὸ δὲ πλήθους εἶπεν, ἐπειδὴ οἱ πολλοὶ τοὺς τοιούτους σώφρονας ἐπαινοῦσι τοὺς καθ' ἑαυτούς, εἰ καὶ μηδὲν νοερὸν καὶ ἀναγωγὸν ἔχουσιν. — Ἐννέα δὲ χιλιάδας εἶπεν, ἐπειδὴ ἐν τῇ πρώτῃ γενέσει ἡ περίοδος ἡ ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ τῇδε οὐδεμίαν κάκωσιν ἔχει.

ϟ'. Αὕτη σοι ὦ φίλε Ἔρως] 257 A.

Καὶ ἀρχόμενος μὲν τοῦ λόγου ἀπὸ θεῶν ἤρξατο, καὶ νῦν δὲ τελειῶν τὸν λόγον εὔχεται τῷ Ἔρωτι. Διὰ τί δὲ τοῦτο ποιεῖ; ὅτι ἀρχὴν καὶ μέσα καὶ τέλος καὶ πάντα περιέχουσιν οἱ θεοί, καὶ δεῖ ἐπὶ παντὸς πράγματος μεγάλου καὶ μικροῦ θεὸν καλεῖν συνεργόν, αὐτός φησι. Καὶ πάλιν ἐν τοῖς

13 cf. 249 A 23 ἐννέα — 25 ἔχει = schol. ad 256 E (p. 271 Herm.) 30 φησι *Tim.* 27 C (cf. 48, 14)

NC 1 χρῶνται, χ rubr. A 4 φίλω rubr. A (φιλῶμεν Plat. B pro φίλω μέν) 7 γενόμενοι] ἐρώμενοι M 8 ἐν, ἐ rubr. A 10 φέρονται Plat. 11 ἔρωτος] ἐρῶντος M 13 ὑπὸ M Plat. ὑπὲρ A 17 ταῦτα, τ rubr. A 23 δὲ om. schol. χιλιάδες Plat. cod. B 24 τοῦ νοητοῦ schol. : τῶν νοητῶν ex τοῦ νοητοῦ A 26 αὕτη σοι ὦ rubr. A 30 σμικροῦ M

[173] Νόμοις· « ὁ μὲν δὴ θεὸς ἀρχὴν καὶ μέσα καὶ τελευτὴν περιέχει. »
p. 174 Εἰκότως οὖν ὁ κατ' ἐκεῖνον ἱστά|μενος φιλόσοφος καὶ ἀπ' εὐχῆς ἄρχεται καὶ εἰς εὐχὴν λήγει. Ἄρχεται μὲν οὖν εὐχόμενος τοῖς θεοῖς ἵνα οὗ προέθετο πράγματος ἐπιτύχῃ καὶ διὰ τῶν θεῶν εἰς τέλος ἀφίκηται· πάλιν δὲ δεῖ τοῖς θεοῖς εὐχαριστεῖν μετὰ τὸ πρᾶγμα διά τε τὸ ἐπιτετυχηκέναι τοῦ σκοποῦ καὶ διὰ τὸ βεβαίαν ἐνίδρυσιν ἔχειν αὐτὸ τὸ λεχθὲν ἢ τὸ πραχθὲν ἢ ὅ τί ποτε εἴη. — Τὸ δὲ φίλε εἶπεν, ἐπειδὴ ὁ δεσπότης Ἔρως ἐστὶν ὁ τὴν φιλίαν καὶ τὴν ἕνωσιν πᾶσι χαριζόμενος. Εἰς ταυτὸν οὖν ἄγει τὴν ἐρωτικὴν καὶ τὴν φιλίαν, ἐπειδὴ διὰ φιλίας καὶ ὁμονοίας ἡ ἀναγωγὴ γίνεται. — Εἰς ἡμετέραν δύναμιν, ἐπειδὴ ἄλλως τὰ κρείττονα γένη, θεοί, δαίμονες, ἥρωες ἀνυμνοῦσι τὸν Ἔρωτα καὶ ἄλλως οἱ κάτοχοι γινόμενοι αὐτοῦ καὶ οἱ φιλόσοφοι· ἕκαστος γὰρ κατὰ τὴν δύναμιν ἀνυμνεῖ τὸν θεόν.

λα'. Ὅτι καλλίστη καὶ ἀρίστη] 257 A.

Τὸ γὰρ κάλλιστον καὶ ἄριστον τοῖς θεοῖς οἰκεῖον καὶ μᾶλλον τῷ Ἔρωτι τῷ προκειμένῳ· διὰ γὰρ κάλλους καὶ ἀρετῆς ἡ ἐπὶ τὸ νοητὸν γίνεται ἄνοδος.

λβ'. Καὶ τοῖς ὀνόμασιν ἠναγκασμένη] 257 A.

Ἀπολογεῖται ἐνταῦθα διὰ τί ποιητικοῖς ὀνόμασιν ἐχρήσατο· εἶπε γὰρ ὑπόπτερον, ἄρδεσθαι, δαῖτα, θοίνην καὶ ἄλλα πολλὰ τοιαῦτα. Διὰ τί δὲ ἐχρήσατο τοῖς τοιούτοις ὀνόμασιν; αὐτός φησι διὰ Φαῖδρον. Τοῦτο δὲ ἐποίησεν ὁ φιλόσοφος ἐπειδὴ ἑώρα τὸν Φαῖδρον τὸ καλὸν τῆς συνθήκης τοῦ λόγου Λυσίου καὶ τὴν ἰσχνότητα καὶ τὸ τέλειον θαυμάζοντα, βουλόμενος αὐτὸν καταπλῆξαι ἐκ τοῦ ἐναντίου ὀγκωδεστέρῳ καὶ ἁδροτέρῳ καὶ ὑψηλῷ ἐχρήσατο χαρακτῆρι. Ἡ δὲ ἀληθεστέρα αἰτία αὕτη ἂν λεχθείη ὅτι τοῖς μεγάλοις πράγμασι καὶ περὶ τηλικούτων λόγοις ἁρμόδιος καὶ πρέπων ὁ ὑψηλὸς χαρακτήρ.

λγ'. Ἀλλὰ τῶν προτέρων συγγνώμην] 257 A.

Οἷός ἐστι περὶ τὰ τῶν θεῶν ὀνόματα ὁ Σωκράτης ἐν τῷ Φιλήβῳ φησίν· ἐκείνου γὰρ λέγοντος τὴν ἡδονὴν τὴν Ἀφροδίτην, ὁ φιλόσοφος, λέγων ὅτι οὐκ ἔστι, φησί· « τὸ δὲ ἐμὸν δέος ὦ Πρώταρχε περὶ τὰ τῶν θεῶν

1 *Leg.* IV 715 E 19 ὑπόπτερον 246 A : ἄρδεσθαι 251 B : δαῖτα et θοίνην 247 B 28 *Phil.* 12 C, cf. 70, 6

NC 1 ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων Plat. 5 δεῖ] δὴ M ἐπιτετυχέναι M 8 χαρισάμενος A[a] 11 ἀνυμνοῦσι (οῦσι A[a]) ἐρῶντα M (jam correxerat Ast) 13 ὅτι, ὅ rubr. A 15 τοῦ κάλλους M 17 καί, κ rubr. A 21 τὸ καλὸν τῆς συνθήκης] τὸν καλὸν τῆς συνθήκης M : τὸν καλὸν τὴν συνθήκην Ast 23 ἐκ τοῦ ἐναντίου καταπλῆξαι M 25 μεγάλοις om. M 27 ἀλλὰ, ἀ rubr. A 30 δ' Plat. περὶ] ἀεὶ πρὸς Plat. τὰ om. M

174] ὀνόματα πέρᾳ τοῦ μεγίστου φόβου ἢ κατὰ ἄνθρωπον· » οὐ δεῖ γὰρ χραίνειν τὰ τῶν θεῶν ὀνόματα. Ἐπειδὴ τοίνυν ἔδοξεν ὅπως ποτὲ κατ' Ἔρωτος λέγειν, διὰ τοῦτο ἀπολογούμενος εἶπε τὴν παλινῳδίαν συγγνώμην τε αἰτεῖ ἐφ' οἷς ἔδοξε λέγειν κατὰ τοῦ ὀνόματος τοῦ Ἔρωτος.

λδʹ. Καὶ τῶνδε χάριν ἔχων] 257 A.

Οἱ γὰρ θεοί εἰσιν οἱ καὶ τὴν χάριν ἐπιλάμποντες παντὶ τῷ κόσμῳ, καὶ διὰ χάριτος καὶ ὁμονοίας συναπτόμεθα τοῖς θεοῖς. — Χάριν δὲ εἶπεν οὐχ ὅτι οἱ θεοὶ χάριν παρ' ἡμῶν δέχονται, ἀλλὰ ὅτι διὰ τοῦ θεραπεύειν τοὺς θεοὺς αὐτοῖς χαριζόμενοι ἁρμοζόμεθα καὶ οἰκειούμεθα τοῖς θεοῖς. Τὸ γοῦν τῶνδε χάριν ἔχων εἴη ἂν ἀντὶ τοῦ ἀποδεχόμενος τὸν λόγον. — Τὸ δὲ εὐμενὴς καὶ ἵλεως κατὰ τὴν συνάφειαν λέγει τὴν πρὸς αὐτὸν καὶ τὸ ἀγαθὸν τὸ τῶν θεῶν. — Πῶς δὲ νῦν τέχνην λέγει τὴν ἐρωτικήν, ἣν πάλαι ἐνθουσιαστικὴν εἶπεν; Ἢ δῆλον ὅτι τοῦτο λέγει ὅτι δεῖ μὲν τὰ παρ' ἡμῶν τεχνικὰ θεωρήματα κινεῖν, εἶθ' οὕτως ὕστερον τὴν παρὰ τῶν θεῶν ἔλλαμψιν δέχεσθαι, ὡς καὶ ἐπὶ τῆς ποιητικῆς δεῖ τὸ ἐν ἡμῖν εὑρετικὸν καὶ ποιητικὸν κινεῖν, εἶθ' οὕτως ἐκδέχεσθαι τὴν παρὰ τῶν θεῶν ἔλλαμψιν· ὁ
’73 v° γὰρ κάτοχος | γινόμενος ταῖς Μούσαις θεῖος ποιητὴς γίνεται. Ποία δέ ἐστιν ἡ ἐρωτικὴ τέχνη; ἣν αὐτὸς ἐν Ἀλκιβιάδῃ ἐδήλωσε καὶ ἐδίδαξεν ὅτι πρῶτον μὲν δεῖ τὸν ἀξιέραστον ζητεῖν καὶ διακρῖναι τίνος δεῖ ἐρᾶν· οὐ γὰρ πάντων δεῖ, ἀλλὰ τοῦ μεγαλόφρονος τοῦ καταφρονητικοῦ τῶν δευτέρων· εἶτα μετὰ τὸ ἐρασθῆναι μηδὲν προσφθέγγεσθαι ἕως οὗ καιρὸν ἔχῃ τοῦ συνιέναι φιλοσόφων λόγων, εἶτα ὅτε οἷός τέ ἐστιν ἀκούειν τότε χειρώσασθαι αὐτὸν καὶ διδάσκειν τὰ τῆς ἐρωτικῆς, καὶ οὕτως ἀντέρωτα αὐτῷ γεννῆσαι. — Τὸ δὲ μήτ' ἀφέλῃ μήτε πηρώσῃς δι' ὀργήν· ὀργὴ θεῶν ἐστιν ἡ
p. 175 ἀπόστασις ἡ ἀπ' αὐτῶν· οὐδὲ γὰρ ὀργίζονται οἱ θεοί. Ὃ λέγει | οὖν τοῦτό ἐστι· μὴ ποιήσῃς με ἀποστῆναι τῆς παρὰ σοῦ ἐπιπνοίας ἢ ἀνενέργητον ποιήσῃς ἀλλὰ ἔχεσθαί με τῆς παρὰ σοῦ δόσεως καὶ ἀγαθότητος.

λεʹ. Δίδου δ' ἔτι μᾶλλον] 257 A.

Τὸ τιμᾶσθαι εἶπε διὰ τοὺς νέους· βούλεται γὰρ τιμᾶσθαι παρὰ τῶν νέων οὐ δι' ἑαυτὸν ἀλλὰ δι' ἐκείνους. Καὶ γὰρ καὶ τοὺς θεοὺς οὐ δι' αὐτοὺς δεῖ τιμᾶν ἀλλὰ δι' αὐτούς. Τὸ γὰρ τιμᾶν τὸ ὑπερέχον τῷ τιμῶντι συμβάλλεται.

18 *Alcib.* I 131 C ?

NC 1 ὀνόματα οὐκ ἔστι κατ' ἄνθρωπον ἀλλὰ πέρα τοῦ μεγίστου φόβου Plat.: τὸν ἄνθρωπον M 5 καί, κ rubr. A 6 καὶ τὴν] κατὰ M 9 αὐτοῖς scripsi : ἑαυτοῖς libri 11 συνάφειαν] ἀσάφειαν M 15 ποιητικῆς] πολιτικῆς M 17 γινόμενος] καὶ ἐχόμενος A[a] 20 καταφρονοῦντος A[a] δευτέρων· εἶτα scripsi : δευτέρων εἶναι libri 21 μηθὲν M 25 τοῦτο] τοιοῦτον M 26 ἀνευέργητον M 27 ποιήσειν A[a] 28 δίδου, δ rubr. A δ' ἔτι Plat. cod. B : δέ τι A : τ' ἔτι M Plat. cod. T 30 αὐτοὺς A

[175] Διὸ καὶ ὁ Σωκράτης εὔχεται τὸ τίμιος εἶναι παρὰ τοῖς νέοις, ἐπεὶ καὶ τέλος ἐστὶ τοῦτο τῆς ἐρωτικῆς· οὐδὲν γὰρ ἄλλο ἐστὶν ὃ λέγει ἢ ἀντέρωτα ἔχειν τοὺς νέους ἐμοῦ· διὰ γὰρ τοῦ τιμᾶν αὐτὸν τοὺς νέους καὶ τὸ ἐρᾶν συμβαίνει αὐτοῦ· θεῖον δὲ καὶ ἀγαθὸν ἡ τιμὴ ὡς καὶ αὐτός φησιν ἀλλαχοῦ.

ϛϛ'. Τῷ πρόσθεν δὲ εἴ τί σοι λόγῳ] 257 B.

Τουτέστιν εἰ δέ τι εἴρηται εἰς τὸ ὄνομά σου τοῦ Ἔρωτος ἀπηχές, ὁ Λυσίας αἴτιος ἀναγκάσας Φαῖδρον τοιούτοις χρήσασθαι λόγοις. — Ἐπὶ φιλοσοφίαν δὲ ὥσπερ, καὶ τὰ ἑξῆς· κατὰ ὁμοιότητα τοῦ θείου καὶ ὁ τῷ ὄντι φιλόσοφος ἵσταται· ὥσπερ γὰρ τὸ θεῖον πᾶσι προτείνει ἀφθόνως τὰ ἀγαθά (φθόνος γὰρ ἔξω θείου χοροῦ) μεταλαμβάνει δὲ ὁ πεφυκὼς καὶ ὁ ἐπιτήδειος, τὸν αὐτὸν τρόπον καὶ ὁ Σωκράτης πᾶσι τὰ ἀγαθὰ βουλόμενος εὔχεται ὑπὲρ τοῦ Λυσίου, ἵνα μηκέτι τοιαῦτα συγγράφῃ ἀλλὰ τὰ δυνάμενα ὠφελεῖν τοὺς νέους. — Ὁ δὲ Πολέμαρχος ἀδελφός ἐστι Λυσίου, οὗ μέμνηται ἐν τῇ Πολιτείᾳ ἐπιδιώκοντος τὸν Σωκράτην καὶ ἐπιθυμοῦντος ἀκοῦσαι αὐτοῦ. — Τὸ δὲ μηκέτι ἐπαμφοτερίζῃ ἵνα μηκέτι τῷ Λυσίᾳ προσχωρῇ καὶ ἕπηται καὶ ἡμῖν, ἀλλὰ μίαν γνώμην ἔχῃ. Τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ δεσπότης Ἔρως ἕνωσιν καὶ μίαν ἁρμονίαν ἡμῖν παρέχεται, πᾶν τὸ διπλοῦν καὶ ἀλλότριον καὶ πᾶσαν τοιαύτην ἐνέργειαν ἀποσκευαζόμενος <καὶ> εἰς ἕνωσιν πάντα ἄγων· τοῦτο οὖν λέγει ὅτι ἵνα καὶ ὁ Φαῖδρος κατὰ ἕνωσιν ἐνεργῇ.

ϛζ'. Ἀλλ' ἁπλῶς πρὸς Ἔρωτα] 257 B.

Τοῦ γὰρ βίου παντὸς καὶ τῆς καταστάσεως καθηγεμὼν ἡμῶν ἐστιν ὁ Ἔρως. Τοῦτο οὖν εὔχεται ἵνα καὶ τὸν βίον τοῦ Λυσίου πάντα εἰς τὸ ἁπλοῦν καὶ ἀληθὲς κατευθύνῃ ὁ Ἔρως.

ϛη'. Συνεύχομαί σοι ὦ Σώκρατες] 257 B.

Τὸ μὲν συνεύχομαι εἶπεν, ἐπειδὴ ἡ τῶν πολλῶν εὐχὴ ἀνύει πλέον τι τοῦ ἑνὸς ἀνδρός. — Τὸ δὲ εἴπερ ἄμεινον δεῖ ποιεῖν κοινὴν τὴν εὐχὴν τὴν κοινωνίαν τῶν ψυχῶν ἀπομαντευόμενον· ὁμοῦ γὰρ ἦσαν τὸ πάλαι πρὶν ἐλθεῖν εἰς γένεσιν. — Ταῦτα ἡμῖν εἶναι εἶπεν, ἐπειδὴ οὐ πάντως τὰ καθήκοντα τῷδε τῷ ἀνθρώπῳ καὶ τῷδε καθήκει· οὔτε μὴν ἴδμεν τὰ καθ'

4 ἀλλαχοῦ *Leg.* V 727 A : cf. 195, 3 10 φθόνος — χοροῦ 247 A 14 *Rep.* I 327 B 15 cf. schol. ad 257 B (p. 271 Herm.) ἐπαμφοτερίζῃ. Λυσίᾳ καὶ ἐμοὶ Σωκράτει ἕπηται

NC 1 εἶναι] ἔσται A[a] (sed εἶναι in marg. a) 2 οὐδὲν] οὐδὲ M 5 τῷ, τ rubr. A 6 ἀπηχὲς] ἀπηνὲς Plat. 9 ἵσταται] ἱστόρηται A[1] (forte ἵσταται post χοροῦ reportandum) 16 ἔχει A 18 πᾶσαν] πασῶν M καὶ addidi 19 ἄγων] ἀνάγων M 21 ἀλλ', ἀ rubr. A 23 πάντα εἶναι M 25 συνεύχομαι, σ rubr. A (ξυνεύχομαι M id. 26) 27 τοῦ] τῆς? 29 ταῦθ' Plat. 30 ἴσμεν M

[175] ἡμᾶς αὐτοὺς οὐδὲ τὴν τῶν μελλόντων ἔκβασιν· οἱ δὲ θεοὶ ἴσασι τὰ καθήκοντα ἑκάστῳ.

Ϟθ'. Τὸν λόγον δέ σου καὶ τὰ ἑξῆς] 257 C.

Ἐκπλήττεται τὸν τοῦ φιλοσόφου λόγον τὸν τῆς παλινῳδίας ὡς τοῦ προτέρου καλλίονα ὄντα· καὶ τῷ ὄντι πολλῷ ἐκείνου ὑπερέχει. Ἐνταῦθα γὰρ εἶπε περὶ τῆς νοητῆς οὐσίας καὶ τῆς ἀθανασίας τῆς ψυχῆς καὶ τοῦ καθηγεμόνος Διὸς πῶς συνάγει πάντα καὶ τῶν ἐννέα βίων καὶ τῶν ἄλλων ὧν εἶπε πρῴην.

ρ'. Ὥστε ὀκνῶ] 257 C.

Ἐπειδὴ ηὔξατο ὁ Σωκράτης λέγων ὡς τὸν Πολέμαρχον οὕτω καὶ Λυσίαν τραπῆναι ἐπὶ φιλοσοφίαν, διὰ τοῦτό φησιν ὁ Φαῖδρος ὅτι « οὐκ οἶμαι
f° 74 r° εἰ οἷός τέ ἐστιν ὁ Λυσίας τούτῳ τῷ λόγῳ, εἰ καὶ θελήσει, | ἀντιπαρατεῖναι ἴσον λόγον. »

ρα'. Καὶ γάρ τις αὐτὸν ὦ θαυμάσιε] 257 C.

Θαυμάσαι μὲν ἔστι τὸν φιλόσοφον ἐν πᾶσι, μάλιστα δὲ διὰ τὸ πυκνὸν καὶ συνεχὲς καὶ ἡνωμένον τοῦ λόγου. Οὕτω γὰρ γράφει ὡς ἓν ζῷον ἀποτελεσθῆναι τὸν πάντα λόγον· ὥσπερ γὰρ τὸ ζῷον ἡνωμένα ἔχει τὰ μόρια καὶ διακεκριμένα, οὕτω καὶ ὁ λόγος Σωκράτους. Βουλόμενος οὖν εἰς τὸν περὶ ῥητορικῆς εἰσβαλεῖν λόγον, ἐξ οὗ καὶ ἡ ἀρχὴ τοῦ λόγου (τοῦ γὰρ Φαίδρου
p. 176 θαυμάζοντος τὸ φαινόμενον κάλλος καὶ τὴν συνθήκην τοῦ λόγου, ὁ φι|λόσοφος ἦλθε διὰ Φαῖδρον εἰς πάντας τοὺς εἰρημένους λόγους), ὅρα οὖν πῶς συμφώνως εἰσβάλλει εἰς τὸν περὶ ῥητορικῆς λόγον. Φησὶ γὰρ ὁ Φαῖδρος ὅτι οὐκ ἂν θελήσαι ὁ Λυσίας ἀντιπαρατεῖναι τῷ σῷ λόγῳ, ἐπειδὴ ὠνείδιζέ τις αὐτῷ ὡς λογογράφῳ καὶ ἀπὸ ταύτης τῆς λέξεως ἄρχεται ὁ φιλόσοφος τὸν περὶ ῥητορικῆς λόγον, λέγων ὅτι τὸ λογογραφεῖν οὐκ ἔστι κακὸν ἀλλὰ τὸ κακῶς γράφειν κακόν ἐστι· τὸ μέντοι καλὰ καὶ ἀγαθὰ γράφειν καλόν ἐστι· πρὸς γὰρ τὴν πρόθεσιν τοῦ γράφοντός ἐστι τὸ καλὸν καὶ τὸ κακόν· ἐπεί, ὡς καὶ ἀλλαχοῦ εἶπε, πᾶσα πρᾶξις αὐτὴ καθ' αὑτὴν οὔτε καλὴ οὔτε κακή. Λογογράφους δὲ ἐκάλουν οἱ παλαιοὶ τοὺς ἐπὶ μισθῷ

28 ἀλλαχοῦ *Convic.* 181 A 29 λογογράφους — 210, 2 λέγοντας = schol. 257 C (p. 271 Herm.)

TIT 29 τίνες λογογράφοι παρὰ (cod. περὶ) τοῖς παλαιοῖς καὶ τίνες ῥήτορες C λογο[γράφοι] ῥή[τορες] a

NC 3 τὸν, τ rubr. A 4 τοῦ om. M 6 ἀθανασίας τῆς om. M 9 ὥστε ὀκνῶ rubr. A 12-13 ἀντιπαραβαλεῖν A² : ἀντιπαραλαμβάνειν E 13 ἶσον A ut semper 14 καί, κ rubr. A 15 διὰ] κατὰ M 18 διακεκριμμένα A 23 θελήσαι scripsi : θελήσῃ A : θελήσει M ἀντιπαραθεῖναι A² 28 ἑαυτὴν M 29 δὲ] γὰρ schol.

[176] λόγους γράφοντας· ἦσαν γάρ τινες τῶν ῥητόρων πιπράσκοντες λόγους τοῖς λέγουσιν εἰς τὰ δικαστήρια, ῥήτορας δὲ ἔλεγον τοὺς δι' ἑαυτῶν λέγοντας.

ρβ'. Τάχ' οὖν ἄν] 257 C.

Πολλάκις γὰρ ἵνα τιμώμεθα ἀπεχόμεθα τῶν αἰσχρῶν· διό, φησί, καὶ ὁ Λυσίας τοῦ τιμᾶσθαι χάριν <ἂν> ἀπόσχοιτο τὸ γράφειν, ἐκφεύγων [καὶ] τὸ ὀνειδίζεσθαι καὶ τιμῆς ἐφιέμενος.

ργ'. Γελοῖόν γε ὦ νεανία] 257 C.

Καὶ γάρ, φησίν, ἐθελήσει γράψαι ὁ Λυσίας, καὶ οἱ διαβάλλοντες δὲ τὸ λογογραφεῖν ἡδέως ἔχουσι λόγους γράφειν ὅτι γενναιοτέρους παῖδας ἑαυτῶν καταλιμπάνουσι συγγράμματα καταλείποντες, ὡς εἶπεν ἐν τῷ Συμποσίῳ. — Ψοφοδεεῖς δὲ λέγονται οἱ τοὺς ψόφους τῶν μυιῶν δεδοικότες καὶ τὰ τυχόντα.

ρδ'. Οἴει νομίζοντα λέγειν] 257 D.

Ἀντὶ τοῦ δοξάζοντα λέγειν, τουτέστιν ὅτι οὐδὲ αὐτὸς ὁ ὀνειδίζων τὸ λογογραφεῖν οὕτω διακείμενος ὡς κακοῦ τοῦ πράγματος ὄντος διαβάλλει.

ρε'. Καὶ ξύνοισθά που καί] 257 D.

Ὁ Φαῖδρος ἐνδόξως βούλεται ἐπιχειρῆσαι· ἔνδοξος δέ ἐστιν ἐπιχείρησις ἡ ἀπὸ τῶν πολλῶν· ἐπειδὴ οὖν οἱ ἄνθρωποι ἐλοιδοροῦντο τὸ λογογραφεῖν ὡς ἐκ τῆς κατεχούσης συνηθείας, διὰ τοῦτο καὶ αὐτός φησιν ὅτι οἱ μέγα δυνάμενοι ἀπέσχοντο τὸ λογογραφεῖν οἷον Θεμιστοκλῆς, Περικλῆς, ἱκανοὶ ὄντες λέγειν, καὶ ἄλλοι δὲ τῶν ἀστείων ἀνθρώπων οἷον ὁ Πυθαγόρας, καὶ αὐτὸς δὲ ὁ Σωκράτης. Διὸ καὶ αὐτὸς ὁ Πλάτων ἐνδόξως ἐπιχειρῶν ἀντιτίθησι τοὺς συγγραψαμένους.

ρϛ'. Γλυκὺς ἀγκών] 257 D.

Παροιμία ἐστὶν αὕτη· τόπος ἐστί τις τῆς Αἰγύπτου οὕτω καλούμενος ὅπου δυσχέρεια πολλή ἐστι· κατὰ ἀντίφρασιν οὖν εἴρηται διὰ τὸ δυσχερὲς

10 *Concic.* 209 D 25 cf. Zenob. II, 92; Apost. V 50; Suid. s. v.; schol. 257 D

TIT 11 τίνες οἱ ψοφοδεεῖς C 20 ἐνδόξος (sic) ἀ[νήρ?] a 25 γλυκὺς ἀγκών ἐστι παροιμία C

NC 1 ἦσαν... 2 λέγουσιν] καὶ πιπράσκοντας αὐτοὺς schol. τῶν ῥητόρων] ἑτέρων A[a] 2 ἔλεγον om. schol. 3 τάχ', τ rubr. A (τάχα Plat.) 4 ἵνα] τινα M 5 τοῦ τιμᾶσθαι χάριν καὶ ὁ Λυσίας M ἂν addidi καὶ seclusi 6 τὸ ante ὀνειδίζεσθαι om. M τιμῆς] τιμᾶν M 7 γελοῖον, γ rubr. A γ' Plat. 9 ἡδέως] ἡδέους M (jam correxerat Ast) γενναιοτέρους] νεωτέρους M 11 μυῶν AE 13 οἴει, οἷ rubr. A 14 ὁ αὐτὸς M 16 καί, κ rubr. A σύνοισθα Plat. 20 ἀπέσχοντο] ὑπείχοντο M 24 γλυκύς, γ rubr. A 25 τις post Αἰγύπτου M

[176] τοῦ τόπου γλυκὺς ὁ τόπος. Ὧδε οὖν κατὰ τὸ ἐναντίον τῆς παροιμίας καὶ τὸ ἀνάπαλιν εἴρηται· καλὸν γὰρ ὂν τὸ λογογραφεῖν αἰσχρὸν εἴρηται. Παροιμία οὖν εἴρηται ἐπὶ τῶν κατὰ ἐναντία λεγόντων ὧν βούλονται· τοῦ γὰρ λογογραφεῖν ἐρῶσι καὶ βούλονται τοῦτο ποιεῖν καὶ ἐπαινετὸν ὂν αὐτὸ αἰσχρὸν λέγουσι καὶ ψεκτὸν οὐχ οὕτω διακείμενοι. Ὃ λέγει οὖν τοῦτό ἐστιν ὅτι ὥσπερ ἐκεῖνο λέληθε πόθεν ἐκλήθη γλυκὺς ἀγκὼν δυσχερὴς ὢν καὶ πικρὸς ὁ τόπος, οὕτω καὶ τοῦτο λέληθεν ὅτι αἰσχρὸν ἐκλήθη τὸ λογογραφεῖν ἐπαινετὸν ὂν καὶ καλόν. — Καὶ πρὸς τῷ ἀγκῶνι λανθάνει σε· καὶ ὁ f°74 v° Πλάτων γὰρ ἐνδόξως ἐπιχειρεῖ ἀποδεῖξαι | ὅτι οὐ κακόν ἐστι τὸ λογογραφεῖν, καὶ ἀντιπαρατίθησι καὶ αὐτοὺς τοὺς μεγαλοδυνάμους καὶ γράψαντας καὶ νόμους καὶ ψηφίσματα καὶ τὰ τοιαῦτα.

ρζ'. Οἵ γε καὶ ἐπειδάν τινα γράψωσιν] 257 E.

Οἵτινες οὕτω βρενθύονται καὶ ὡς ἐπὶ καλῷ τῷ ποιήματι καλλωπίζονται ὥστε λέγουσιν· « ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ τόνδε τὸν ἀπὸ τοῦ δήμου τοῦδε τὸ καὶ τὸ ποιῆσαι, » καὶ ἑαυτοὺς ἐγγράφονται καὶ πρὸς οὓς ποιοῦνται τοὺς λόγους.

ρη'. Τὸν ἑαυτὸν δή] 258 A.

Τὸ τὸν προσέθηκε διὰ τὸ μέγα φρονεῖν αὐτούς. — Τὸ δὲ ἐμμένῃ τουτέστι δεχθῇ καὶ μὴ ἐκβληθῇ ὁ λόγος. |

p. 177 ρθ'. Τί δ' ὅταν ἱκανός] 258 B.

Ἐπειδὴ ἐκεῖνος εἶπεν ἐν τῇ πόλει μέγα δυνηθέντας τινὰς <εἶναι> οἵτινες ἔφευγον τὸ λογογραφεῖν, διὰ τοῦτο καὶ οὗτος ἀντιπαρατίθησι δυνατούς τινας βασιλεῖς νομοθέτας συγγράμματα ἑαυτῶν καταλιπόντας. — Τὸ δὲ τῶν τοιούτων· τὸ λοιδορούντων τὸ λογογραφεῖν. — Τίς οὖν ὁ τρόπος... τὸ περὶ τῆς ῥητορικῆς διαλέγεσθαι ἀλλὰ καὶ περὶ ποιητικῆς καὶ ἁπλῶς περὶ τοῦ λέγειν· καὶ ἀνάγει τὸν λόγον ἐπὶ τὰς ἀρχάς, φιλόσοφον ποιούμενος τὸ σκέμμα καὶ ἐπιστημονικόν· ἡ γὰρ ἐπιστήμη τῶν καθόλου οὖσα καὶ τὰ κατὰ μέρος περιλαμβάνει. Εἰς ἀρχὴν οὖν καὶ αἰτίαν ἀνάγει πάντα τὸν λόγον πότε ἐστὶ καλῶς λογογραφεῖν καὶ λέγειν. Ὃ λέγει οὖν τοῦτό ἐστιν, ὅτι ἐπιστήμην ὀφείλει ἔχειν τῶν πραγμάτων ὁ μέλλων γράφειν· τὰ γὰρ γράμματα εἰκόνες εἰσὶ τῶν λεγομένων, οὐ δυνατὸν δὲ εἰδέναι τὰς

18-19 τουτέστι — 19 λόγος = schol. 258 (p. 271 Herm.)

NC 1 ὦδε A 2 ὂν om. M 3 μὲν οὖν M 10-11 καὶ γράψαντας καὶ νόμους om. M 12 οἵ, ο rubr. A γράφωσι Plat. 13 ποιήματι] πράγματι M 15 ἐγγράφοντας M 17 τὸν, τ rubr. A αὐτὸν Plat. cod. B 18 τὸν quasi ex τοῦ factum A προέθηκε M 20 τί, τ rubr. A δ'] δὲ M Plat. 21 εἶναι addidi 22 παρατίθησι M 23 καταλείποντας A 25 supple τίς οὖν ὁ τρόπος· <βούλεται νῦν εἰπεῖν οὐ μόνον τίς ὁ τρόπος> τοῦ περί κτλ. 28 καὶ τὰ om. M 29 λογογραφεῖν] γράφειν (?) cf. 213, 3.

[177] εἰκόνας μὴ εἰδότας τὰ ἀρχέτυπα. Ἐντεῦθεν οὖν ἀφορμὴν λαμβάνει τοῦ ἐξετάσαι τὸν Λυσίου λόγον ὅτι ἀμεθόδως καὶ ἀνηρτημένως ἔγραψεν· ἐὰν γὰρ μάθωμεν τὸν καθόλου τρόπον τοῦ καλῶς γράφειν, χρώμενοι τούτῳ κανόνι καὶ τὰ κατὰ μέρος δυνάμεθα διακρίνειν.

ρι΄. Λυσίαν τε περὶ τούτων] 258 D.

Τουτέστι τὸν λόγον τοῦ Λυσίου. — Καὶ ἄλλον ὅστις πώποτε· ὅρα πῶς καθολικὸν ποιεῖται τὸν λόγον· οὐ γὰρ μόνον περὶ τοῦ Λυσίου εἶπεν, ἀλλὰ εἴτε πολιτικὸν εἴτε ἰδιωτικὸν εἴτε μετὰ μέτρου εἴτε ἄνευ μέτρου· οὕτως δῆλόν ἐστιν ὅτι περὶ τῶν καθόλου λόγων καὶ συγγραφῶν ὁ παρὼν ἐστι λόγος. — Πολιτικὸν δὲ λέγει τὸν νομοθετικὸν ἢ συμβουλευτικόν, ἰδιωτικὸν <δὲ> τὸν δικαστικὸν ἢ δικανικόν· ὅρα οὖν ὅτι πᾶν εἶδος λόγου ἐνταῦθα ἐξετάζει. |

f° 75 r° ρια΄. Ἐρωτᾷς εἰ δεόμεθα] 258 E.

Ἐπειδὴ γὰρ οὐσίωται ἡμῶν ἡ λογικὴ ψυχὴ κατὰ τὸ νοερὸν τὸ ἐν αὐτῇ (ἡ γὰρ ψυχὴ τοῦ ἀνθρώπου λόγος ἐστίν) εἰκότως γεννᾶν βούλεται λόγους. Τίνος οὖν χάριν ὀφείλομεν ζῆν, φησίν; ἢ εὑρέσεως ἕνεκα τούτου τοῦ λόγου. Τὰς ἐκ προλυπήσεως δὲ καλεῖ ἡδονὰς τὰς δι' ἀφῆς καὶ γεύσεως· εἰ γὰρ μὴ πάνυ λυπηθείη τις, οὐδὲ ἡσθῆναι δύναται ἐν ταύταις. Οὕτως αὗται αἱ ἡδοναὶ οὐκ εἰσὶ καθαραὶ ἡδοναί, ἀλλὰ μετὰ λύπης· καὶ γὰρ καὶ αἰτίαν ἔχουσι τὴν λύπην καὶ συμπαρομαρτοῦσαν καὶ ἐπακολουθοῦσαν. Οὐσίωται οὖν ἡμῶν ἡ ψυχὴ κατὰ τὸν λόγον καὶ τὴν νοερὰν ἐνέργειαν τὴν ἐν αὐτῇ.

ριβ΄. Οὐ γάρ που ἐκείνων γε] 258 E.

Τῶν σωματικῶν ἡδονῶν λέγει αἳ γένεσιν ἔχουσι τὴν λύπην. — Τὸ δὲ ἢ μηδὲ ἡσθῆναι, ὅτι λέγει τὰς καθ' ὅρασιν καὶ ἀκοὴν ἡδονάς· μάλιστα δὲ αἱ δι' ἀφῆς ἡδοναί εἰσιν αἱ ἐκ προλυπήσεως. — Ἀνδραποδώδεις δὲ ἡδοναὶ κέκληνται αἱ ἄλλων παθῶν ἀπεχόμεναι, ὑπ' ἄλλων δὲ κρατούμεναι· οἱ γὰρ τῇ ἡδονῇ ἐνδιδόμενοι ἀνδραποδίζονται ὑπὸ τῆς ἡδονῆς, ὅλην τὴν ψυχὴν ἐκεῖ ἐκδιδόντες.

ριγ΄. Σχολὴ μὲν δή, ὡς ἔοικε] 258 E.

Μῦθον βούλεται εἰπεῖν, διὰ τοῦ μύθου διεγείρων ἡμᾶς, καὶ οὐκ ἐῶν

25 ἀνδραποδώδεις εἰσὶν ἡδοναὶ αἱ — 26-27 κρατούμεναι = schol. 258 E (p. 271 Herm.)

NC 2 ἀπηρτημένως A 5 Λυσίαν, λ rubr. A 7 τὸν om. M 10 δὲ om. M 11 δὲ addidi 13 ἐρωτᾷς, ἐ rubr. A 14 γὰρ om. M 15 λόγους βούλεται M 17 τὰς ante ἐκ] τῶν a 18 οὐδὲν A[a] ταύταις] ταύτῃ ME οὕτως] ὄντως A[a] 19 μετὰ] μὲν τῆς M καὶ post γὰρ om. M 22 οὐ, ο rubr. A 25 αἱ πρὸ λυπήσεως M 26 ὑπ'] ἀπ' M 27 ἐκδιδόμενοι A 29 σχολή, σχο rubr. A ἔοικεν Plat.

[177] νυστάζειν καὶ ἀργοὺς εἶναι τὴν διάνοιαν. Εἰδέναι δὲ δεῖ καθὼς καὶ ἤδη εἴπομεν ὅτι οὐ περὶ ῥητορικῆς μόνον ποιεῖται τὸν λόγον, ἀλλὰ περὶ πάσης συγγραφῆς καὶ παντὸς τοῦ λέγειν, πότε καλῶς ἔστι γράφειν καὶ λέγειν ἢ μή. Καθολικωτάτην οὖν καὶ ἐπιστημονικωτάτην ποιεῖται τὴν δεῖξιν· πρότερον οὖν παραδοὺς πότε ἔστιν ὀρθῶς γράφειν καὶ μή, καὶ κανόνας τοῦ ὀρθῶς λέγειν, ἔρχεται ὕστερον εἰς τὸ συγκρῖναι τοὺς δύο λόγους, τὸν ἑαυτοῦ καὶ τὸν Λυσίου, ἐπὶ ὑποδείγματος ἐξετάζων, καὶ οὕτως ἀπὸ τῶν καθολικωτέρων ἔρχεται εἰς τὰ κατὰ μέρος· μέλλων οὖν τοῦτο ποιεῖν ἀνάγει τὸν λόγον ἐπὶ τοὺς ἐφόρους θεοὺς τοῦ λόγου καὶ τὰ αἴτια, τουτέστι τὰς Μούσας. — Σχολὴ μὲν δή· σχολὴ εἰς τὸ διαλέγεσθαι, καὶ οὐδὲν ἡμᾶς περιέλκει· p. 178 μάλιστα γὰρ | σχολαστικοὶ λέγονται οἱ τῇ θεωρίᾳ σχολάζοντες. — Ἐν τῷ πνίγει δέ· τὸ ἐν μεσημβρίᾳ λέγεσθαι τὸν λόγον φέρει τινὰ εἰκόνα πρὸς τὸ κρεῖττον· τότε γὰρ ὁ θεὸς ἥλιος ὡς ἀπὸ κέντρου πάντα καταυγάζει· ἔπειτα δὲ καὶ ἀναγωγόν ἐστι τὸ θερμὸν καὶ ἀνωφερές. — Εἰ οὖν, φησίν, ἴδοιεν οἱ τέττιγες οἱ ὑπὲρ κεφαλῆς ἡμῶν ὄντες, τουτέστιν αἱ θεῖαι ψυχαὶ ἤτοι δαίμονες ἢ ἥρωες ἢ θεοὶ οἱ ὑπὲρ κεφαλῆς ἡμῶν ὄντες καὶ ὑπὲρ ἡμᾶς, κατακηλουμένους ὑπὸ ἡδονῆς καὶ γλυκυθυμίας καὶ καταφερομένους εἰς ὕπνον καταγελῷεν ἂν ἡμῶν· εἰ γὰρ τὰ θνητὰ τῶν ζῴων, οἷον, φησίν, οἱ τέττιγες, ἀγρυπνεῖ ἐν μεσημβρίᾳ, πολλῷ πλέον τὸ λογικὸν ζῷον οὐκ ὀφείλει νυστάζειν καὶ μεσημβριάζειν. — Μεσημβριάζειν δέ ἐστι τὸ ἐν τῇ μεσημβρίᾳ νυστάζειν καὶ καθεύδειν. — Τὸ δὲ κηλουμένους, τουτέστι θελγομένους ὑπὸ τῶν ἡδονῶν τῶν σωματικῶν καὶ τῆς γλυκυθυμίας, καὶ καταφερομένους εἰς γένεσιν. — Τὸ δὲ δι' ἀργίαν τῆς διανοίας, ἵνα ταύτην τὴν κίνησιν λάβῃ τὴν ὑπὸ τῆς ὑγρότητος τῆς γενέσεως γινομένην, καὶ οὐχὶ τὴν τὸ νοερὸν ἡμῶν καὶ τὴν διάνοιαν διεγείρουσαν.

ριδʹ. Ὥσπερ προβάτια] 259 A.

Τουτέστιν ἀλογηθέντας καὶ ἐν ἴσῃ τάξει τῶν ἀλόγων ἢ τῶν ἀνδραπόδων ὄντας, καὶ μηδὲν ἄξιον ἐπιστήμονος πράττοντας κοιμᾶσθαι. Διὰ τούτου δὲ προτρέπει ἡμᾶς προστιθέναι καὶ τὰς νύκτας εἰς τὸ ἀγρυπνεῖν, μήτοι γε δεῖ

2 εἴπομεν 211, 25; 212, 9 20 cf. schol. 259 A (p. 272 Herm.) μεσημβριάζοντα· ἐν μεσημβρίᾳ νυστάζοντα καὶ καθεύδοντα κηλούμενα 21 vid. Olymp. *in Phædon.* p. 9, 12 Finckh καὶ παρὰ Πυθαγορείοις μηδένα καθεύδειν ἐν μεσημβρίᾳ

NC 3 καὶ λέγειν om. M 4 μὴκα λῶς a in fine versus; deinde initio versus proximi syllabam κα ante litteras θολικωτάτην (quæ ab A scriptæ sunt) præmisit; nullum igitur dubium quin in A scriptum fuerit μὴ· καὶ|θολικωτάτην 5 οὖν] μὲν M καὶ μή] ἢ μὴ M κανόνας] κοινωτέρους vel potius κοινώτερον A[a] 16 κεφαλῆς M Plat. : κεφαλὴν A 17 κηλουμένους Plat. 19 οἱ om. M 27 ὥσπερ, ὡς rubr. A 28 ἀλογωθέντας A ἐν om. M τῇ τάξει M

[178] ἀφελεῖν τῶν ἡμερῶν· τοῦτο δὲ αὐτὸ ὅτι δεῖ καὶ μέρος τῆς νυκτὸς ἀγρυπνεῖν ἐν τοῖς πολέμοις ἐδίδαξεν.

ριε'. Ἐὰν δὲ ὁρῶσι διαλεγομένους] 259 A.

Ὥσπερ, φησίν, οἱ ὑπὸ Σειρήνων καθελκόμενοι καὶ κατακηλούμενοι ἐπελάθοντο τῆς οἰκείας πατρίδος, οὕτω καὶ ἡμεῖς, ἐὰν κηλώμεθα ὑπὸ τούτων
f°75v° τῶν φαινομένων καὶ τῶν τεττίγων καὶ εἰς ὕπνον καταφερώμεθα, | ἐπιλανθανόμεθα τῆς οἰκείας πατρίδος καὶ τῆς εἰς τὸ νοητὸν ἀναγωγῆς· ἐὰν δὲ διεγείρωμεν ἑαυτῶν τὸ διορατικὸν καὶ ἐπάγρυπνον καὶ μὴ καθελκώμεθα ὑπὸ γλυκυθυμίας, παραπλέομεν ὥσπερ ὁ Ὀδυσσεὺς καὶ παρερχόμεθα τὸν ἐνταῦθα βίον καὶ ἀξιούμεθα τῆς οἰκείας πατρίδος καὶ τῆς ἐπὶ τὸ νοητὸν ἀναγωγῆς. — Ὃ γέρας παρὰ θεῶν ἔχουσιν· ὅταν οὖν, φησί, δυνηθῶμεν τὰς Σειρῆνας τὰς ἐν τῷ αἰσθητῷ κόσμῳ παραπλεῦσαι, ὡς ἂν εἴποις δαίμονάς τινας κατέχοντας τὰς ψυχὰς περὶ τὴν γένεσιν, τότε οἱ τέττιγες, τουτέστιν αἱ θεῖαι ψυχαὶ καὶ οἱ θεοί, ὁρῶντες ἡμᾶς καταναστάντας τῆς γενέσεως καὶ θεοειδῶς ζήσαντας, τὸ μέγιστον ἀνθρώποις γέρας <ἂν> δοῖεν, τουτέστι χρῆσθαι ἡμῖν ὀπαδοῖς· ὥσπερ γὰρ οἱ θεοὶ ἄγρυπνοί εἰσι [καὶ] κατὰ τὴν οἰκείαν ἐνέργειαν, οὕτως καὶ ἡμεῖς ὀφείλομεν κατὰ τὸ δυνατὸν διεγείρειν ἡμᾶς αὐτούς· τότε δὲ διεγειρόμεθα ἐὰν καὶ τὸν λόγον τὸν ἐν ἡμῖν ἀνακινήσωμεν. Οἱ θεωρητικώτερον δὲ ἐξηγησάμενοι τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν καὶ τὴν ἄνοδον... διό, φασίν, ἐν τῇ Ἰλιάδι, ἐπειδὴ ἡ ψυχὴ πολεμεῖται ἐκ τῆς ὕλης, μάχας καὶ πολέμους καὶ τὰ τοιαῦτα ἐποίησεν, ἐν δὲ τῇ Ὀδυσσείᾳ... παραπλέοντα τὰς Σειρῆνας καὶ ἐκφεύγοντα τὴν Κίρκην, τοὺς Κύκλωπας, τὴν Καλυψὼ καὶ πάντα τὰ ἐμποδίζοντα πρὸς ἀναγωγὴν ψυχῆς καὶ μετὰ ταῦτα ἀπελθόντα εἰς τὴν πατρίδα, τουτέστιν εἰς τὸ νοητόν.

ρις'. Ὃ γέρας παρὰ θεῶν] 259 B.

Ποῖον τοῦτο γέρας φησί; τὸ ἀπαγγέλλειν τὰ περὶ ἡμῶν τοῖς θεοῖς, ὥσπερ δὲ ἐν τῷ Συμποσίῳ ἐποίησε περὶ τοῦ Ἔρωτος (μέσον γὰρ αὐτὸν τίθησι θεῶν καὶ ἀνθρώπων, δαίμονα αὐτὸν λέγων καὶ διαπορθμεύοντα τὰ ἡμέτερα πρὸς τοὺς θεούς· καὶ γὰρ πᾶν τὸ δαιμόνιον μεταξὺ

27 *Conviv.* 202 E

TIT 29 τὸ δαιμόνιον φῦλον μεταξὺ θεῶν καὶ ἀνθρώπων C

NC 2 ἐν τοῖς πολέμοις] ἐν τῇ Πολιτείᾳ cf. III 404 A, vel ταῖς πολιτείαις (?) 3 ἐὰν, ἐ rubr. A 4 οἱ om. M 8 διστγερτικὸν (sic) A[a] 9 παρερχόμεθα] παραφυλασσόμεθα A[a] 12 εἴποις] εἴποι τις A[a] 13 κατέχοντας] συνέχοντας A[a] 14 καταστάντας M 15 ἂν addidi 16 χρῆσθαι scripsi: χρῶνται libri (fort. χρῷντο?) ὀπαδοῖς M 17 καὶ seclusi 20 ἄνοδον: deest aliquid ut τῆς ψυχῆς εἶπον ἀπεικάσαι τὸν Ὅμηρον 21 μάχας τε M ἐποίησεν scil. Homerus 22 supplendum fere <τὸν Ὀδυσσέα> 23 καὶ ante πάντα supra vers. A[1] 25 ὁ rubr. A 26 non τὸ sed τὰ ante ἀπαγγέλλειν legitur in A 29 μεταξύ ἐστι θεοῦ τε καὶ θνητοῦ Plat.

[178] θεῶν καὶ ἀνθρώπων) τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τεττίγων ποιεῖ· φησὶ γὰρ διαπορθμεύειν καὶ ἀπαγγέλλειν τὰ παρ' ἡμῶν τοῖς θεοῖς· δῆλον οὖν ὅτι
p. 179 δαίμονας ἀγαθοὺς αὐτοὺς βούλεται εἶναι. — Τὸ δὲ δοῖεν ἀγα|σθέντες, ὅτι οὐ καθειλκύσθημεν ὑπὸ τῆς γλυκυθυμίας ἀλλὰ εὖ ἐζήσαμεν· αἱ γὰρ τῶν ἀνθρώπων ψυχαὶ, ὅταν καλῶς ζήσασαι ἀποκαταστῶσιν, ὀπαδοὶ γίνονται θεῶν ἢ δαιμόνων ἢ ἡρώων, καὶ ἑκάστη ἕπεται τῷ οἰκείῳ θεῷ. — Φιλόμουσον δὲ ἀντὶ τοῦ φιλόσοφον.

ρι΄ζ΄. Λέγεται δὲ ὡς ποτ' ἦσαν] 259 B.

Ἡ θεωρία τοῦ μύθου αὕτη ἐστί· τινὲς μὲν γάρ φασιν ὅτι πρὶν γενέσθαι Μούσας καὶ πρὶν γενέσθαι μουσικὴν [λέγουσιν ὅτι] ἦσαν οἱ ἄνθρωποι ἄμουσοι· γενομένων δὲ τῶν Μουσῶν ἐγένοντο μουσικοί· πῶς γὰρ οὐκ ἄτοπον πρὸ τῶν θεῶν τοὺς ἀνθρώπους γεγονέναι; Ἡ δὲ ἐξήγησις τοῦ θείου Ἰαμβλίχου ῥηθήσεται νῦν· ἀνθρώπους λέγει τὰς ψυχὰς τὰς ἐν τῷ νοητῷ διατριψάσας· αἱ γὰρ ψυχαὶ, πρὶν τὸν θνητὸν βίον διαζήσωσιν, ἄνω εἰσὶν ἐν τῷ νοητῷ, αὐτὰ τὰ εἴδη θεωροῦσαι, ἅμα τοῖς θεοῖς τοῖς ὑπερκοσμίοις οὖσαι· οὕτως οὖν οἱ ἄνθρωποι ἦσαν πρὶν γενέσθαι τὰς Μούσας, τουτέστι τὰς σφαίρας καὶ τὸν αἰσθητὸν κόσμον. Τὸ δὲ πρίν γε μὴ χρόνῳ ἀκούσῃς ἀλλὰ πρὶν εἰς τὸ ἐμφανὲς ταύτην τὴν πρόοδον γενέσθαι τῶν σφαιρῶν· αὕτη γάρ ἐστιν ἡ γένεσις τῶν Μουσῶν ἡ ἔκφανσις ἡ ἀπὸ τοῦ δημιουργοῦ γενομένη εἰς τὸν αἰσθητὸν κόσμον. Ἦσαν οὖν οἱ ἄνθρωποι ἐν τῷ νοητῷ κόσμῳ· ἅμα οὖν ἐγένοντο αἱ Μοῦσαι καὶ αἱ σφαῖραι καὶ ὁ αἰσθητὸς κόσμος καὶ ἡ ὅλη ψυχὴ τοῦ παντὸς κόσμου, συμπροῆλθον καὶ αἱ μερικαὶ ψυχαὶ αἱ τῶν ἀνθρώπων· καὶ ἅτε δὴ νεοτελεῖς οὖσαι καὶ μνήμην ἔχουσαι τῶν ἐκεῖ, ἀπόστροφοι ἦσαν τῆς γενέσεως καὶ οὐκ ἤθελον οὐδὲ φαγεῖν οὐδὲ πιεῖν, τουτέστι μεταλαβεῖν αἰσθητῆς δόξης οὐκ ἠβούλοντο· εἶχον γὰρ τὴν νοητὴν τροφήν· διὸ ὑπὸ λιμοῦ τῶν ἐνταῦθα ἀπέθανον, ἀντὶ τοῦ ἀνήχθησαν.

ριη΄. Γενομένων δὲ Μουσῶν] 259 B.

Τουτέστι προόδου γενομένης καὶ τοῦ αἰσθητοῦ κόσμου τούτου φανέντος, καὶ φανείσης ᾠδῆς καὶ ἁρμονίας· ἁρμονία δέ ἐστιν ἐν νοῖς καὶ ἐν ψυχαῖς
f° 76r° καὶ ἐν ταῖς σφαίραις | καὶ ἐν πᾶσιν. — Ὑφ' ἡδονῆς δὲ, τουτέστιν ὑπὸ τῆς θείας εὐφροσύνης. — Τὸ δὲ ἔλαθον τελευτήσαντες· ὁρᾷς ὅτι καὶ ἐνταῦθα ὁ τῷ ὄντι φιλόσοφος ὁ πρὸς τοῖς οὖσι διατρίβων τὰ ἐμποδὼν οὐχ

7 φιλόμουσον ἀντὶ τοῦ φιλόσοφον schol. 259 B (p. 272 Herm.) 12 in libro deperdito, vid. 9, 10

NC 4 ἐπιθυμίας (γλυκυ supra) A 5 ὀπαδοὶ M 6 ἢ ἡρώων ἢ δαιμόνων M 8 λέγεται, λ rubr. A δ' Plat. 9 φασιν] φησὶν M ὅτι om. M 10 λέγουσιν ὅτι seclusi 17 πρὶν Plat. χρόνῳ] χρόνον M 19 ἔκφανσις] ἔμφασις M 27 γενομένων, γ rubr. A 28 γενομένης] γενομένου M 29 ἐν νοῖς om. M 30 ἐν ante ταῖς om. M 31 σωφροσύνης ME 32 ὁ ante τῷ om. M

[179] ὁρᾷ ὡς καὶ ἐν Θεαιτήτῳ εἶπε περὶ τοῦ κορυφαίου· οὗτοι οὖν οἱ ἄνθρωποι τῶν αἰσθητῶν καταφρονήσαντες ἀνήχθησαν ἐκπληττόμενοι τὴν θείαν ἁρμονίαν. — Ἐξ ὧν δὲ τῶν τεττίγων, δῆλον, τουτέστιν αἱ ψυχαὶ αὗται μουσικαὶ ἐγένοντο καὶ θεοί τινες. — Τὸ δὲ γέρας τοῦτο· λόγος <ἔστιν> ὅτι καὶ οἱ τέττιγες οὐ δέονται τροφῆς ἀλλ' ἀρκοῦνται τῇ δρόσῳ· ἡ δὲ θεωρία ὅτι ὁ κατὰ νοῦν ζῶν καὶ φιλόμουσος καὶ φιλόσοφος βουλόμενος ἀναχθῆναι πρὸς τοὺς θεοὺς οὐ δεῖται τῆς ἐπιμελείας τοῦ σώματος καὶ τῆς σωματικῆς ζωῆς, ἀλλὰ οὐδὲν ἡγεῖται αὐτήν, ἀποστῆναι αὐτῆς βουλόμενος· μελετᾷ γὰρ θάνατον, τουτέστιν ἀπόστασιν ταύτης τῆς ζωῆς· οἶδε γὰρ ὅτι πρὸς ὄχλον αὐτῷ ἐστι τὸ σῶμα. Τὸ δὲ γέρας τὸ ὀπαδὸν γενέσθαι τοῦ οἰκείου θεοῦ· καθὼς δὲ ἤδη εἴπομεν ὅτι ἐν τῷ Συμποσίῳ εἶπεν ὅτι τὸ δαιμόνιον πᾶν μεταξύ ἐστι θεῶν καὶ ἀνθρώπων, διαπορθμεῦον τὰ ἡμέτερα πρὸς τοὺς θεούς· εἰδέναι δὲ δεῖ ὅτι τὸ μὲν θεῖον ἀμέσως πᾶσι πάρεστιν, ἡμεῖς δὲ ἀμέσως τῷ θείῳ συναφθῆναι οὐ δυνάμεθα μὴ διὰ μέσου τινός, οἷον τοῦ δαιμονίου, ὥσπερ ἐπὶ τοῦ φωτὸς δεόμεθα τοῦ ἀέρος τοῦ διακινοῦντος ἡμῖν τὸ φῶς. Ὃ λέγει οὖν αὐτῶν γέρας τοῦτό ἐστιν, ὅτι, φησίν, [ὅπῃ] οἱ δαίμονες ἢ αἱ ψυχαὶ ἐλθοῦσαι παρὰ Μούσας ἀπαγγέλλουσι τὰς εὐζωίας καὶ κακοζωίας τῶν ἀνθρώπων, τίς τίνα τῶν θεῶν ἐτίμησεν ἢ οὔ.

ριθ'. Τερψιχόρᾳ] 259 C.

Ἀπαγγέλλουσι δὲ χορείαν οὐχ οἵαν οἱ ὀρχησταὶ ὀρχοῦνται· καταγέλαστος γὰρ αὕτη· εἰσὶ δὲ θεῖαι χορεῖαι· πρῶτον μὲν ἡ τῶν θεῶν, ἔπειτα ἡ τῶν
p. 180 ψυχῶν τῶν θείων, ἔπειτα δὲ ἡ τῶν κατ' οὐρανὸν θεῶν περι|πόλησις χορεία λέγεται, ἣν οἱ ἑπτὰ θεοὶ καὶ οἱ ἀπλανεῖς χορεύουσιν· ἔπειτα καὶ ἐνταῦθα οἱ τελούμενοι τοῖς θεοῖς χορείαν τινὰ ἀποτελοῦσιν ἐν τοῖς μυστηρίοις· καὶ ἡ πᾶσα δὲ ζωὴ τοῦ φιλοσόφου χορεία ἐστί. — Τερψιχόρα οὖν ἐστιν ἡ πάσης χορείας ἔφορος. Τίνες οὖν οἱ τιμῶντες ἐν τῇ χορείᾳ τὸν θεόν; οὐχ οἱ καλῶς ὀρχούμενοι, ἀλλ' οἱ καλῶς διαζῶντες τὸν ἐνταῦθα βίον, καὶ ῥυθμίζοντες αὐτῶν πᾶσαν τὴν ζωήν, καὶ συμφώνως τῷ παντὶ χορεύοντες.

1 *Theæt.* 173 C, 174 C 9 μελετᾷ cf. *Phæd.* 67 D al. 11 εἴπομεν 214, 27 *Convio.* 202 E

TIT 13 ὅτι τὸ θεῖον πᾶσι πάρεστιν ἀμέσως· ἡμεῖς δὲ ἀμέσως οὐ δυνάμεθα συναφθῆναι αὐτῷ C

NC 1 καὶ om. M 3 δῆλον] γένος (?) 4 ἔστιν addidi 6 ὁ om. M 10 ὀπαδὸν M 12 τῶν θεῶν καὶ τῶν ἀνθρώπων M διαπορθμεῦσαν A[a] 16 ὃ λέγει] ἔλεγεν A[a] οὖν ὡς A[a] 17 ὅπῃ seclusi 20 Τερψιχόρᾳ, τερ rubr. A; τερψιχόρῃ M 21 οἵαν] ἣν a supra versum 22 πρώτη A[a] 23 δὲ] καὶ M 24 οἱ ante ἑπτὰ om. M 25 χορείαν] χοροὶ A[a] 26 Τερψιχόρη M

180] ρκ'. Τῇ δὲ Ἐρατοῖ] 259 D.

Ἐρατὼ ἐκλήθη παρὰ τὸ ἐρᾶν καὶ τὸ ἐράσμια ποιεῖν τὰ τοῦ Ἔρωτος ἔργα· συνεργὸς γὰρ αὕτη τῷ Ἔρωτι. Τερψιχόρα οὖν παρὰ τὴν χορείαν ἐρρέθη, ἡ δὲ Ἐρατὼ παρὰ τὸ ἐρᾶν. Τοὺς ἐν τοῖς ἐρωτικοῖς οὖν τετιμηκότας αὐτὴν ἀπαγγέλλουσιν· οἱ γὰρ αἰσχρῶς τῷ ἔρωτι χρώμενοι ὑβρίζουσιν αὐτήν. — Τὸ δὲ κατὰ τὸ εἶδος ἑκάστης τιμῆς, τουτέστι κατὰ τὰ ἰδιώματα ἑκάστης θεοῦ.

ρκα'. Τῇ δὲ πρεσβυτάτῃ Καλλιόπῃ] 259 D.

Πρεσβυτάτην εἶπεν, ἐπειδὴ καὶ ἐν ταῖς Μούσαις τάξις ἐστὶ πρώτων καὶ μέσων καὶ τελευταίων, ἃ τῆς φιλοσοφίας ὑπάρχει. Καλλιόπη δὲ ἐκλήθη παρὰ τὴν ὄπα. Τοὺς ἐν λόγοις οὖν αὐτὴν τετιμηκότας ἀπαγγέλλουσι, τῇ δὲ Οὐρανίᾳ τοὺς ἀστρονομήσαντας· διὰ γὰρ τούτων τῶν δύο θεῶν τὸ ἐν ἡμῖν πεπλανημένον σῴζομεν· διὰ γὰρ τῆς ὁράσεως τὴν τάξιν τῶν οὐρανίων θεῶν θεώμενοι τάττομεν τὸ ἐν ἡμῖν ἄλογον· ἔτι γε μὴν διὰ ῥυθμῶν καὶ φιλοσοφίας καὶ ἀκοῆς ῥυθμίζομεν τὸ ἐν ἡμῖν ἄτακτον καὶ ἄρρυθμον· δεῖ δὲ ἀστρονομεῖν οὐ ναυτικῶς, οὐδὲ ἁπλῶς τὰς κινήσεις τῶν οὐρανίων θεῶν εἰδέναι, ἀλλὰ τὴν τάξιν τὴν οὐρανίαν θεωμένους τὸ ἐν ἡμῖν ἄλογον κατατάττειν. — Τὸ δὲ ἰᾶσι καλλίστην φωνήν· καὶ γὰρ λέγεται <ὅτι> ὁ Πυθαγόρας ᾔσθετο τῆς οὐρανίας φωνῆς· καί τινες δὲ τὰ ὀνόματα τῶν χορδῶν ἐκ τῶν οὐρανίων σφαιρῶν ὠνόμασαν, οἷον ὅτι προσλαμβανομένη ἐστὶν ἡ τοῦ Κρόνου σφαῖρα, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἄλλας χορδὰς εἶπον.

ρκβ'. Πολλῶν δὴ οὕνεκα] 259 D.

Διὰ δὴ σύμπαντα ταῦτα τὰ εἰρημένα οὐκ ὀφείλομεν καθεύδειν, ἀλλὰ τὸ νοερὸν τὸ <τὴν> ἐν ἡμῖν οἰκειότητα φέρον πρὸς τοὺς θεοὺς διεγείρειν· διεγείρομεν δὲ τὸ νοερὸν διὰ τοῦ διαλέγεσθαι. — Τὸ δὲ οὐκοῦν ὅπερ δὴ προὐθέμεθα· ὁ φιλόσοφος Ἀριστοτέλης τέσσαρά τινα ἐν παντὶ ζητεῖ
[*76v*] λόγῳ· ἁπλᾶ μὲν | δύο, τὸ εἰ ἔστι καὶ τὸ τί ἐστι, σύνθετα δὲ δύο, ὅτι ἔστι καὶ διὰ τί ἔστιν· οἷον εἰ ἔστι κενὸν, ἢ εἰ ἔστι ψυχὴ, ἢ εἰ ἔστι σκινδαψός· καὶ ἐπὶ μὲν τῶν ἐναργῶν οὐ δεῖ ζητεῖν τὸ εἰ ἔστιν, ἀλλὰ τὸ

18 λέγεται cf. Diog. Laert. VIII 14 : Porph. *Vit. Pyth.* 30 Nauck : Jambl. *Vit. Pyth.* 65-66 Nauck 19 τινες Pythagorici 26 in *Anal. Post.* II 1, vid. et *Metaph.*

NC 1 et 8 τῇ, τ rubr. A 3 τερψιχόρη M 8 πρεσβυτάτη ex πρεσβυτέρα A 17 θεωμένους] θεώμενοι M 18 ἰᾶσι Ast : ἴσασι libri : ἰᾶσιν Plat. τὴν καλλίστην M γὰρ om. M ὅτι addidi 19 οὐρανίου ut vid. A 21 σφαίρα A 22 πολλῶν, π rubr. A δὴ οὕνεκα (οὔνεκα A)] δὴ ἕνεκεν E : δὴ οὕνεκεν Plat. cod. B : δὴ οὖν ἕνεκεν Plat. cod. T 23 διὰ evan. in M : λέγει suppl. Ast 24 τὴν addidi οἰκειότητα] οἰκειότατον M 25 τοῦ] τὸ M τὸ δὲ om. M οὔκουν M δὴ] νῦν M Plat. : fort. νυνδὴ 28 κενὸν] κοινὸν M εἰ tertio loco om. M 29 μὲν om. M

[180] τί ἔστιν· οὐδεὶς γὰρ ζητεῖ εἰ ἔστιν ἄνθρωπος διὰ τὸ ἐναργὲς, ἀλλὰ τί ἔστιν· ἐπὶ δὲ τῶν μὴ ἐναργῶν ζητητέον καὶ τὸ εἰ ἔστιν· οὐδεὶς γὰρ λέγει τί ἔστι σκινδαψὸς πρὶν μαθεῖν τὸ εἰ ἔστιν. Ἐπὶ δὲ τῶν συνθέτων, ἐφ' ὧν ἄλλο ἄλλου κατηγορεῖται, ζητητέον τὸ ὅτι ἔστιν, εἶθ' οὕτω τὸ διότι· οἷον ὅτι ἔστιν ἔκλειψις· ἡ γὰρ ἔκλειψίς τινός ἐστιν ἔκλειψις· πρότερον οὖν εἰδέναι δεῖ ὅτι ἡ σελήνη ἐκλείπει, εἶθ' οὕτω καὶ διὰ τί ἐκλείπει. Πρὸ δὲ τῶν τεσσάρων τούτων ἄλλο ἐστὶν ὃ δεῖ ζητεῖν, τὸ τί σημαίνει αὐτὸ τὸ ὄνομα. Καὶ ὁ φιλόσοφος οὖν Πλάτων πρῶτον δείξας ὅτι δεῖ συγγράφειν διὰ τῶν ἀνωτέρω ἔνθα φησί « τοῦτο μὲν ἄρα παντὶ δῆλον ὅτι οὐκ αἰσχρόν γε αὐτό γε τὸ γράφειν λόγους », ἔπειτα πῶς δεῖ συγγράφειν καὶ τίς ὁ τρόπος τοῦ καλῶς γράφειν καὶ λέγειν καὶ μὴ, διδάσκει καθολικώτερον καὶ ἐπιστημονικώτερον ποιούμενος τὸ πρόβλημα, μετὰ τὸ πᾶσαν τὴν ἀρχὴν τοῦ λόγου ἐπὶ τὰς Μούσας καὶ τοὺς θεοὺς ἀνενεγκεῖν· ὥσπερ δὲ τῷ κανόνι τὸ διάστροφον κρίνεται καὶ τῇ ὀρθῇ τὸ παρὰ τὴν ὀρθὴν, τὸν αὐτὸν τρόπον ὥσπερ εἰς κανόνα ἀνῆλθεν ὁ φιλόσοφος τὴν
p. 181 ἀλήθειαν, ᾗ καὶ τὰ | ὅμοια καὶ τὰ παρηλλαγμένα κρίνομεν· οὕτως ὀφείλει ὁ ῥήτωρ κανόνα ἔχειν τὸ ἀληθές.

ρκγ'. Ἆρ' οὖν οὐχ ὑπάρχειν δεῖ] 259 E.

Ὅτι, φησὶν, ἐν τῷ καλῶς λέγειν ἢ γράφειν προηγεῖσθαι δεῖ τὴν ἀλήθειαν καὶ τὴν γνῶσιν τοῦ πράγματος. Ὁ γὰρ μὴ εἰδὼς τὸ ἀληθὲς τοῦ πράγματος εἰκότα λέγει περὶ αὐτοῦ. Ὅτι δὲ δεῖ γνῶσιν ἔχειν τῶν λεγομένων καὶ τῶν πραγμάτων αὐτὸς ἤδη ἐδίδαξε λέγων « περὶ παντὸς ὦ παῖ μία ἀρχὴ εἰδέναι περὶ οὗ ὁ λόγος ἢ παντὸς ἁμαρτάνειν ἀνάγκη. » Τρία οὖν ὑπάρχειν <δεῖν> λέγεται τοῖς λέγουσιν ἢ γράφουσι· πρῶτον τὸ εἰδέναι τὸ ἀληθές· δεύτερον δὲ τὸ δύνασθαι [τὸ] ἓν πολλὰ ποιεῖν, ὅπερ ἐστὶ τῆς διαιρετικῆς μεθόδου, τὸ εἰδέναι εἰ τύχοι κατὰ πόσων σημαινομένων λέγεται τὸ προκείμενον πρᾶγμα, πότερον ὁμώνυμον ἢ συνώνυμον, πότερον γένει ἓν ἢ εἴδει καὶ τὰ ὅμοια· δεῖ οὖν καὶ διαιρετικὸν εἶναι· τρίτον τὰ πολλὰ εἰς ἓν συναγαγεῖν, ὅπερ ἐστὶ τῆς ἀναλυτικῆς καὶ ὁριστικῆς· τὸ γὰρ δύνασθαι τὰ πολλὰ ἑνὶ λόγῳ περιλαβεῖν ὁρισμός ἐστι τοῦ πράγματος· ἔπειτα καὶ τὴν συνθήκην τοῦ λόγου καὶ τὴν εὐπρέπειαν· τὸ γὰρ δεῖν πρόσφορα καὶ σύμφωνα τοῖς θεοῖς λέγειν τε καὶ γράφειν ὡμολόγηται. Ταῦτα οὖν ὥσπερ

9 ἀνωτέρω 258 D 22 ἤδη 237 B

NC 1 τί priore loco om. M (jam addid. Ast) 2 ζητητείον A[a] εἰ] μὴ libri : εἰ suprascripsit a (jam conjec. Ast) λέγει] λέγεται E[1]M 3 τὸ om. M 4 οὕτως A[a] 5 πρότερον] πότερον M (jam correxerat Ast) 10 γε post αἰσχρόν om. M Plat. 11 καὶ μὴ] καὶ μὴν Ast qui hæc verba cum sequentibus immerito conjungebat 15 εἰς κανόνα] εἰκόνα M 18 ἆρ' rubr. A 22 αὐτὸς scripsi : αὖθις libri 24 δεῖν addidi 25 τὸ seclusi

[181] ὄργανα τοῦ λέγειν τε καὶ γράφειν... Πρὸ παντὸς εἰδέναι ὀφείλει τὴν φύσιν καὶ τὴν οὐσίαν τοῦ πράγματος, τουτέστι τὸ ἀληθές· οὕτως γὰρ ἂν γνοίη πῶς ὀφείλει ὁδεῦσαι, πότερα διὰ τῶν ἀληθῶν ἢ διὰ τῶν ἐοικότων αὐτῷ· ὁ γὰρ μὴ εἰδὼς τὸ ἀληθὲς, δοξάζων δὲ, ὡς οἱ τὴν δημώδη ῥητορικὴν ἔχοντες, πολλάκις τὰ ἐναντία ὧν βούλεται πείθει τοὺς ἀκούοντας· οὕτως εἰ περὶ τούτου βούλεται τὰ εἰκότα εἰπεῖν... περὶ τῆς δημώδους ῥητορικῆς ὅτι οὐ δεῖ, φησὶ, τὸ ἀληθὲς εἰδέναι. Λοιπὸν παρατίθησιν ὁ φιλόσοφος πόσα ἀγαθὰ ἀπὸ τῆς ἀληθινῆς ῥητορικῆς, πόσα δὲ ἀπὸ τῆς ψευδωνύμου συμβαίνει κακά.

ρκδʹ. Τὰ τῷ ὄντι δίκαια] 260 A.

Τρία μέρη εἰσὶ τῆς ῥητορικῆς, τὸ συμβουλευτικὸν, τὸ δικανικὸν, τὸ πανηγυρικόν· ἀπὸ τῶν οὖν τελῶν τὰ μέρη παρίστησιν, οἷον τὸ δίκαιον τοῦ δικανικοῦ ἔστι, τὸ ἀγαθὸν τοῦ συμβουλευτικοῦ, τοῦ δὲ πανηγυρικοῦ τὸ καλόν. Καὶ κατὰ ἀντίθεσιν τοῦ δικανικοῦ δίκαιον καὶ ἄδικον, ἀγαθὸν δὲ καὶ κακὸν τοῦ συμβουλευτικοῦ, καλὸν καὶ αἰσχρὸν τοῦ πανηγυρικοῦ. Καὶ περὶ ἕκαστον δὲ αὐτῶν διπλῆ τις φαίνεται· περὶ τὸ δικανικὸν κατηγορία καὶ
77 r ἀπολογία, περὶ τὸ συμβουλευτικὸν | προτροπὴ καὶ ἀποτροπὴ, περὶ τὸ πανηγυρικὸν ἔπαινος καὶ ψόγος· ἐκ γὰρ τούτων ἀπὸ τοῦ τὰ δοκοῦντα λαμβάνειν ἢ δίκαια ἢ ἀγαθὰ ἢ καλὰ ῥητορεύουσιν.

ρκεʹ. Οὔ τι ἀπόβλητον] 260 A.

Ἴσως, φησὶ, λέγουσί τι οἱ σοφοί· τὸ δὲ σοφοὶ δύναται μὲν καὶ ὡς ἐν ἤθει λεχθῆναι, ἤγουν ὅτι τοὺς ὅπως ποτὲ [εἰδότας] τι περὶ λόγους ἔχοντας σοφοὺς ἐκάλουν οἱ παλαιοὶ, ὁπότε καὶ τὸν τέκτονα Ὅμηρός φησιν

εὖ εἰδὼς σοφίης.

Τὸ δὲ οὐκ ἀφετέον, ἀλλὰ ἐρευνητέον πότερον, ὡς ἐγὼ λέγω, δεῖ τὴν ἀλήθειαν ζητεῖν τοῦ δικαίου καὶ ἀγαθοῦ καὶ καλοῦ, ἢ τὴν δόκησιν, ὥς φασιν οἱ ῥήτορες.

ρκϛʹ. Εἴ σε πείθοιμι ἐγώ] 260 B.

Δι' ἑνὸς παραδείγματος βούλεται δεῖξαι αὐτῷ ὅσον διάφορόν ἐστι τῆς ἀλη-

23 O 412

NC 1 supplendum fere γράφειν. <Ὁ οὖν βουλόμενος καλῶς λέγειν τε καὶ γράφειν> 3 εἰκότων (?) αὐτῷ corruptum videtur 6 desunt nonnulla 10 τὰ, τ rubr. A 13 τῆς δικανικῆς et τῆς συμβουλευτικοῦ A ante corr. τὸ ante ἀγαθὸν ex τῶ A 14 ἄδικόν ἐστι M δὲ om. M 18-19 λαμβάνεσθαι A[a] 20 οὔ, ο rubr. A τι] τοι M Plat. Hom. 21 τὸ δὲ σοφοὶ om. ME δύναται] δυνατὸν ME 22 εἰδότας τι A : εἰδότας ὅτι M : εἰδότως τι Ast : εἰδότας seclusi 24 εἰδὼς] εἰδῇ Hom. 28 εἴ rubr. A

[181] θοῦς ῥητορικῆς πρὸς τὴν δημώδη, καὶ ὅτι ὃ μὲν σώζει τὸν αὐτῇ ἑπόμενον ὃ δὲ ἀνατρέπει εἰς μυρία κακὰ ἐμβάλλων. Καὶ λαμβάνει ἵππον καὶ ὄνον καί φησιν· εἴ σε πείθοιμι περὶ ὄνου ὡς ἵππου διαλεγόμενος, ὅτι ἐστὶ ζῷον ὃ ἐν τοῖς πολέμοις ἰσχυρότατον καὶ νίκης αἴτιον γίνεται καὶ ἐν εἰρήνῃ τοῦ ἀχθοφορεῖν, τύχοιμεν δὲ ἀμφότεροι ἀγνοοῦντες ἵππον, καὶ πείθοιμί σε δοξάζειν ἐπὶ τοῦ ὄνου τὰ τοῦ ἵππου, τί οἴει συμβαίνειν ἐκ τούτου; ἢ δῆλον ὅτι ἀνατρέπεσθαι τὴν φύσιν τῶν πραγμάτων.

ρκζ΄. Τοσόνδε μέντοι] 260 B.

p. 182 Ἐὰν γὰρ πάντῃ ἀγνοοῖμεν, οὐ μέλλομεν περὶ αὐτοῦ δια|λέγεσθαι οὐδὲ πείθειν τὸν παντελῶς μηδὲν εἰδότα.

ρκη΄. Γελοῖόν <γ' ἂν] 260 B.

Γελοῖον,> φησί, τὸ σκέμμα, καὶ αὕτη ἡ πειθὼ παγγέλοιον, τὸ οὕτως δοξάζειν περὶ τοῦ ὄνου ὡς ἵππου.

ρκθ΄. Ἆρ' οὖν] 260 C.

Διαιρετικὸν διπλοῦν προήνεγκεν· ἆρα, φησίν, οὐ κρεῖττον γελοῖον καὶ φίλον ἢ δεινὸν καὶ ἐχθρόν; αἱρετώτερον γὰρ τὸ γελοῖον καὶ φίλον τὸ ἐπὶ τοῦ ὄνου ὡς ἵππου. — Τὸ δὲ δεινὸν καὶ ἐχθρὸν τὸ ἐπὶ τῶν δικαίων καὶ ἀγαθῶν ὡς ἀδίκων καὶ κάκων· ἀνατροπὴ γὰρ τοῦ βίου ἐστίν, ὅταν τὰ καλὰ κακὰ νομίζωμεν καὶ ἐπὶ μὲν τοῦ ὄνου οὐδεμία ἐστὶ βλάβη ὅταν τὸν ὄνον ἵππον νομίζωμεν, ὅταν δὲ τὰ ἄδικα δίκαια νομίζωμεν, καὶ λόγῳ καὶ ἔργῳ βλάβη ἐγγίνεται ἡμῖν.

ρλ΄. Ὄνου] 260 C.

Τὸ ὄνου σκιᾶς ἀπὸ παροιμίας ἐρρέθη· πλέον δὲ ἀπέστησε τῶν ῥητόρων τὴν γνῶσιν τῶν δικαίων καὶ ἀδίκων ἢ τὴν σκιὰν τοῦ ὄνου· εἶπε γὰρ περὶ τῆς σκιᾶς τοῦ ὄνου οὐχ ὡς ὄνου σκιᾶς τὸν ἔπαινον ποιούμενος ἀλλ' ὡς ἵππου· ἡ δὲ σκιὰ τοῦ ἵππου [τῆς] τοῦ ἀληθῶς ὄνου πολὺ ἀφέστηκεν· ὅταν οὖν, φησίν, ὁ ῥητορικὸς πείθῃ οὐ περὶ ὄνου ἀλλὰ περὶ ἀδίκων καὶ κακῶν ὡς δικαίων καὶ ἀγαθῶν, ποῖον ἄν τινα οἴει καρπὸν θερίζειν· καὶ τοῦτο δὲ ἀπὸ παροιμίας εἴρηται ὅτι « ὁ κακὰ σπείρων κακὰ

23 cf. schol. 260 C; Zenob. VI 28; Diogen. VII 1; Apostol. XVII 69; Hesych.; Suid.; *schol. Aristoph. Vesp.* 191; alios 28 cf. schol. 260 C et versus ibi laudatos

NC 8 τοσόνδε, το rubr. A 10 πείθειν] πρὸς A[a] 11 γελοῖον, γ rubr. A 11-12 γ' ἂν· γελοῖον supplevi 12 τὸ ante σκέμμα om. A[a] 14 ἄρ', ἃ rubr. A 16 καὶ φίλον] ἢ φίλον Plat. codd. δεινόν τε Plat. (et 17) ἐχθρὸν εἶναι Plat. 20 νομίζωμεν (post ἵππον)] νομίζοιμεν A[a] νομίζωμεν (post δίκαια)] νομίζοιμεν A : νομίζομεν E 22 ὄνου rubr. A 26 τῆς seclusi 28 ἂν scripsi : γὰρ libri

[182] θερίζει· » καὶ γὰρ οἱ ῥήτορες οἱ οὕτω δημηγοροῦντες, οἳ μὲν ἐξωστρακίσθησαν, οἳ δὲ φυγάδες ἐγένοντο. Ποῖον οὖν, φησί, τέλος εὑρῆσθαι ταύτης τῆς συμβουλῆς οἴει; — Οὐ πάνυ γε ἐπιεικῆ· τουτέστι κακόν· καὶ γὰρ καὶ τὸ πλῆθος καὶ οἱ συμβουλευόμενοι εἰς ἐκεῖνον περιτρέπουσι τὰ ἁμαρτήματα.

ρλα'. Ἄρ' οὖν ὠγαθέ] 260 D.

Εἰπὼν ὅτι καὶ ἑαυτοῖς οἱ τοιοῦτοι ῥήτορες καὶ τῇ συμβουλευομένῃ πόλει
f° 77 v° κακὰ περιποιοῦσι, φησίν « ἆρα μὴ | ἀγροικότερον λελοιδορήκαμεν τὴν τῶν λόγων τέχνην; » τοῦτο δὲ εἶπε βουλόμενος καὶ ἐπὶ τὴν μέσην ῥητορικὴν ἐλθεῖν· εἶπε γὰρ ἤδη τὴν ἀληθινὴν καὶ τὴν δημώδη· καθόλου γὰρ ὁ φιλόσοφος, ὅταν περὶ τὴν νοητὴν οὐσίαν στρέφηται καὶ τὴν θεωρίαν τῶν νοητῶν καὶ τοῦ θεοῦ καὶ τὸ ὄμμα τῆς διανοίας ἔχῃ ἐστραμμένον ἄνω, ὁ πρῶτός ἐστι φιλόσοφος· ὅταν δὲ ἀπὸ τῆς θέας ἐκείνης μετέλθῃ εἰς ἐπιμέλειαν τῆς πόλεως καὶ κατὰ τὴν θέαν ἐκείνων διακοσμῇ τὴν πόλιν, τότε γίνεται πολιτικὸς φιλόσοφος· ὅταν δὲ ὁ τοιοῦτος εἰς τὸ κοινὸν λόγους ἀποτείνῃ, πείθων τὸν δῆμον πράττειν τὰ δέοντα, τότε ἐστὶ ῥήτωρ ἀληθινός· εἰδὼς γὰρ τὸ ἀληθὲς ἀπὸ τῆς θέας ἐκείνης πείθει αὐτοὺς τὰ ἀληθῆ πράττειν καὶ τὰ πρόσφορα αὐτοῖς· ὅταν δὲ μὴ εἰδὼς ἢ καλὸν ἢ ἀγαθόν, δόξας δὲ τεθηρευκώς, πρὸς πάθος νοῆται, τοῖς λόγοις θεραπεύων τὰ πάθη τοῦ πλήθους, τότε ἐστὶ δημώδης ῥήτωρ· ὅταν δὲ πρὸς πάθη λέγῃ τὰς δημηγορίας, καὶ μηδὲ θεραπεύῃ τὰ πάθη τῶν πολιτῶν, ἀλλὰ κατὰ τὸ δοκοῦν αὐτῷ καὶ ὃ νομίζει ὀρθὸν ἀγάγῃ καὶ διὰ συμμάχων καὶ χρημάτων περιποιῇ ὡς οἴεται τὰ ἀγαθὰ τῇ πόλει, τότε ἐστὶν ὁ μέσος ῥήτωρ, ὧν τίθεται καὶ Θεμιστοκλέα καὶ Περικλέα, οὐκ ἐναντία λέγων τοῖς ἐν Γοργίᾳ εἰρημένοις.

ρλβ'. Λελοιδορήκαμεν τὴν τῶν λόγων τέχνην] 260 D.

Λέγει δὲ τὴν δημώδη ῥητορικήν. Τὸ δὲ ἡ δ' ἴσως ἂν εἴποι, ἡ ῥητορικὴ δηλονότι· περιτίθησι τῇ ἀληθινῇ ῥητορικῇ τοὺς λόγους καὶ τὴν δημηγορίαν, διὰ τῆς προσωποποιίας ἐμψυχότερον ποιῶν τὸν λόγον· οὐκ ἀρκεῖ γάρ, φησί, γνῶσιν μόνον ἔχειν τῶν πραγμάτων, ἀλλὰ δεῖ καὶ τέχνην ἔχειν πειθοῦς δημιουργόν· τὸ δὲ πειθοῦς δημιουργὸν οὐκ ἴδιόν ἐστι ῥητορικῆς· πείθουσι γὰρ καὶ οἱ τεχνῖται, τέκτονες, ὑφάνται, καὶ οἱ ὅμοιοι, καὶ

18-19 δόξας δὲ τεθηρευκὼς 262 C   24 *Gorg.* 455 E al.   30 cf. *Gorg.* 453 A

NC 1 γὰρ om. M   2 εὑρᾶσθαι AE¹ (ex correct. εὑράσθαι A)   3 γε om. Plat. cod. B   6 ἆρ', ἆ rubr. A   ὦ ἀγαθέ Plat.   8 ad calcem f¹ 77ᵛ hoc schema rubr. φίλον γελοῖον X ἐχθρόν δεινόν cf. 220, 15-16   ἀγροικότερον τοῦ δέοντος Plat.   11 νοητὴν om. M   12 ὄμμα in marg. a : ὄνομα ceteri (jam correxerat Ast)   13 θέας] θείας M   μετέλθῃ] κατέλθῃ Aᵃ   14 ἐκείνην (?)   18 δόξαν M   19 νοεῖται A   22 περιποιεῖ A   25 λελοιδορήκαμεν, λ rubr. A   28 προσωποιίας A   31 τεχνίται A

[182] τὸ πλῆθος δὲ πείθει καὶ εἰς οἶκτον ἐγείρει γυνὴ γυμνώσασα μαζούς, καὶ παιδία κλαίοντα πείθουσιν· οὕτως οὐκ ἔστι ῥητορικῆς μόνον τὸ πείθειν. — Μανθάνειν δὲ, τὴν ἐμὴν τέχνην. |

p. 183 ρλγ'. Ἀλλ' εἴ τις ἐμῇ ξυμβουλῇ] 260 D.

Ἀλλ' εἴ τις πείθεται τῇ ἐμῇ ξυμβουλῇ κτησάμενος ἐκεῖνο (λέγει δὲ τὸ ἀληθὲς) οὕτως ἐμὲ λαμβάνει· τουτέστι τὴν τοῦ πείθειν δύναμιν.

ρλδ'. Τόδε δ' οὖν μέγα λέγω] 260 D.

Τὸ δὲ μέγα τῆς ῥητορικῆς τοῦτο λέγω ὅτι οὐδὲν ὄφελος τῷ ἐγνωκότι τὴν φύσιν τῶν πραγμάτων, εἰ μὴ ἔχει τὴν ἐμὴν τέχνην ἱκανὴν οὖσαν εἰς τὸ πείθειν.

ρλε'. Φημὶ ἐὰν οἵ γε] 260 E.

Ἡ τέχνη πρὸς ἀγαθόν τι ἀφορᾷ· πᾶσα γὰρ τέχνη τὸ τέλος ἀγαθὸν ἔχει, ἡ δὲ μὴ πρὸς ἀγαθόν τι ἀφορῶσα οὐδὲ τέχνη ἐστίν· οὕτως ἡ δημώδης ῥητορικὴ οὐκ ἔστι τέχνη· οὐδὲ γὰρ τέλος τὸ ἀγαθὸν τίθεται· πρὸς πάθη γὰρ ποιεῖται τοὺς λόγους. Πάλιν οὐδεμία τέχνη τοὺς κανόνας ἑαυτῆς διαφθείρει· ἡ δὲ ῥητορικὴ ἡ δημώδης τὸν κανόνα ἑαυτῆς διαφθείρει, τουτέστι τὸν δικαστήν· οὗτος γάρ ἐστιν ὁ κανὼν αὐτῆς· οὐκ ἄρα τέχνη ἡ <δημώδης> ῥητορική. Πάλιν ὡς ἐν Πολιτείᾳ εἶπεν <οὐδὲ> ὁ ἐπιστήμων τοῦ ἐπιστήμονος πλέον ἔχει, οὐδὲ ὁ τέκτων τοῦ τέκτονος καθὸ τέκτων· ὁ δὲ ῥήτωρ τοῦ ῥήτορος βούλεται πλέον ἔχειν· τὸ συμπέρασμα δῆλον. Ἐπειδὴ οὖν πᾶσα τέχνη τὸ τέλος ἀγαθὸν ἔχει, ἡ δὲ δημώδης ῥητορικὴ οὐκ ἔχει, διὰ τοῦτό φησιν ὅτι ἐὰν οἱ ἐπιόντες λόγοι μαρτυρῶσιν αὐτῇ εἶναι τέχνη· εἰ γὰρ μὴ πρὸς τὸ ἀγαθὸν ἀφορῶσα ἡ ῥητορικὴ λέγει ἃ λέγει, οὐκ ἔστι τέχνη, εἰ δὲ πρὸς τὸ ἀγαθόν, τέχνη ἐστίν.

ρλϛ'. Ὥσπερ γὰρ ἀκούειν] 260 E.

Ὅτι οὐ δεῖ τῇ ῥητορικῇ ἀληθείας οὐδὲ γνώσεως πραγμάτων, ἀλλὰ τριβῆς ὀλίγης χρεία εἰς τὸ γενέσθαι ῥήτορα.

5 cf. schol. 260 D (p. 273 Herm.) ἐκεῖνο· τὸ ἀληθὲς δηλαδή   6 cf. ibid. ἐμέ· τὴν τοῦ πείθειν δύναμιν   19 *Rep.* I 350 A-C

NC 1 ἡ γυνὴ M   4 ἀλλ', ἀ rubr. A   τι ἐμὴ ξυμβουλή Plat. cod. B   5 ἀλλ' om. M   6 λαμβάνειν Plat. codd. BT   8 τόδε, τ rubr. A (τὸ M)   9 μέγα scripsi : μέτα libri   12 φημί, φ rubr. A   γ' Plat.   16 τοὺς om. M   18 δημώδης addidi (nisi τοιαύτη malis)   19 οὐδὲ add. Ast   20 ἔχειν A : v. Schneider ad *Remp.* I p. 80; idem in *codice Gothano* (?), unde Schneider conjecit εἶπεν <οὐ βούλεται> ὁ ἐπιστήμων... ἔχειν   23 ὅτι om. M   οἵ γ' Plat.   αὐτῇ λόγοι μαρτυρῶσιν Plat.   26 ὥσπερ, ὢ rubr. A

[183] ρλζ'. Τοῦ δὲ λέγειν φησὶν ὁ Λάκων] 260 E.

f°78r° Ἄνευ τοῦ ἀγαθοῦ | καὶ τῆς ἀληθείας φησὶν ὁ Λάκων ῥήτωρ τέχνην εἶναι ἀμήχανον.

ρλη'. Τούτων δὴ τῶν λόγων ὦ Σώκρατες] 261 A.

Τῶν ἀληθείας ἐφαπτομένων καὶ οὐχ ἁπλῶς δόξῃ καὶ τριβῇ καὶ ἐμπειρίᾳ... διὸ δεῖ αὐτοὺς ἐξετάσαι ὅπως ποτὲ ἔχουσι, πότερον δεῖ τὴν ἀλήθειαν μεταδιώκειν ἢ οὔ. Ἀντιπαράβαλλε οὖν, φησί, τοὺς λόγους, ἐπειδὴ οἳ μὲν λέγουσιν ὅτι ὀφείλουσιν οἱ ῥήτορες ἀληθείας ἅπτεσθαι, ἐπειδὴ ἀδύνατον γνῶναι τὸ ὅμοιον, τουτέστι τὸ πιθανόν, μὴ γνόντα τὸ ἀληθές· οἳ δὲ τριβῆς καὶ ἐμπειρίας μόνον, ἵν' ἐκ τῆς ἀντιπαραθέσεως γνώριμον ἡμῖν γένηται τὸ λεγόμενον· ἀντιπαράβαλλε οὖν τὴν ἀληθινὴν καὶ τὴν δημώδη ῥητορικήν.

ρλθ'. Πάριτε δὴ θρέμματα γενναῖα] 261 A.

Τοὺς λόγους θρέμματα καλεῖ· οἱ γὰρ λόγοι τῆς ψυχῆς θρέμματά εἰσιν οἱ οὐσιώδεις καὶ ἀληθεῖς καὶ ἀποδεικτικοί· διὸ καὶ τὸ γενναῖα εἶπε, διὰ τὸ μεγαλουργὸν καὶ δυνατὸν λέγειν καὶ ἀποδεικτικόν. Ἔλθετε οὖν εἰς μέσον, οἱ ἀποδεικτικοὶ λόγοι, καὶ πείσατε τὸν Φαῖδρον ὅτι ἀδύνατον αὐτὸν γενέσθαι ῥήτορα καλὸν ἄνευ φιλοσοφίας καὶ ἀληθείας. — Καλλίπαιδα δέ· ἢ αὐτὸν τὸν Φαῖδρον καλὸν παῖδα <ὄντα> ἢ καλοὺς παῖδας τίκτοντα τοὺς λόγους.

ρμ'. Ὡς ἂν μὴ ἱκανῶς] 261 A.

Ἆρα οὖν οἱ ῥήτορες ἥψαντο φιλοσοφίας; λέγομεν ὅτι ἀληθῶς ῥήτορας ἀγαθοὺς γενέσθαι ἄνευ φιλοσοφίας ἀδύνατόν ἐστι· καὶ γὰρ οἱ εὐδοκιμώτατοι γενόμενοι τῶν ῥητόρων ἥψαντο φιλοσοφίας. Περικλῆς μὲν γὰρ Ἀναξαγόρου ἑταῖρος ἐγένετο, Δημοσθένης δὲ Πλάτωνος ἤκουσεν, καὶ οἱ ἄλλοι δὲ εὐδόκιμοι ῥήτορες ἥψαντο φιλοσοφίας. Ἤγουν ταῦτα εἶπε προτροπῆς χάριν τοῦ Φαίδρου.

ρμα'. Ἐρωτᾶτε] 261 A.

Ὡς πρὸς τὰ θρέμματα εἶπε. — Τὸ δὲ ἆρ' οὖν· τὸ τέλος τῆς ῥητορικῆς

2 schol. 260 E (p. 273 Herm.) 22 cf. schol. 261 A (ibid.)

TIT 22 ἄνευ φιλοσοφίας ἀδύνατον γενέσθαι ῥήτορα C 24 Δημοσθένης Πλάτωνος ἤκουσεν C

NC 1 τοῦ, τ rubr. A 4 τούτων, τ rubr. A δὴ] δεῖ Plat. cod. T 6 *nonnulla excidisse* putavit Ast 7 ἀντιπαράβαλε A 9 γνόντας M 11 ἀντιπαραβάλλει A[a] ἀντιπαραβάλλειν E 12 πάριτε, π rubr. A 17 καλλίπαιδά τε M 18 ὄντα addidi 20 ὡς, ὠ rubr. A ὡς ἂν] ὡς ἐὰν Plat. B : ἕως ἂν Plat. T ; in A quæ supra lineam scripta sint discernere non potui 22 εὐδοκιμώτατοι scripsi : εὐδοκιμώτεροι libri (sed A[a]) 24 οἱ om. M 27 ἐρωτᾶτε, ἐ rubr. A 28 ἆρ' οὖν] ἆρ' οὐ M ἆρ' οὖν οὐ Plat.

[183] ἐνταῦθα ἐκτίθεται· οὐ τοῦτο, φησίν, ἔστι τὸ ἔργον τῆς ῥητορικῆς ἡ ψυχαγωγία ἡ διὰ τῶν λόγων; ψυχαγωγίαν δὲ λέγει τὸ ἕλκειν ψυχὴν εἰς ἑαυτήν, καὶ πειθὼ αὐτῇ ἐντίκτειν, οὐ μόνον κατὰ τὰ τρία μέρη τῆς ῥητορικῆς τὸ δικανικὸν καὶ τὸ συμβουλευτικὸν καὶ τὸ πανηγυρικόν, ἀλλὰ καὶ
p. 184 κατὰ τὸ ὁμιλητόν· καὶ τοῦτο | γὰρ ῥητορικῆς λέγει καὶ ἁπλῶς εἰπεῖν τὸ εὖ λέγειν, εἴτε ἰδίᾳ, εἴτε κοινῇ, ῥητορικῆς ἴδιον βούλεται εἶναι. Τὸ δὲ ἐν ἰδίοις· ἢ ἐν τοῖς <ἰδίοις> δικαστηρίοις λέγει ἢ ἐν ταῖς ἰδίαις συνουσίαις.

ρμβʹ. Σμικρῶν τε καὶ μεγάλων] 261 B.

Ὃ λέγει τοῦτο ἔστιν ὅτι ἡ μέθοδος καὶ τέχνη καὶ τὰ θεωρήματα τὰ καθολικὰ ὁμοίως ἐπὶ μεγάλων καὶ μικρῶν τὴν αὐτὴν ἔχουσι δύναμιν· ὅπερ καὶ ἐν τῷ Σοφιστῇ εἶπεν ὅτι ἡ θηρευτικὴ οὐ μόνον ἐπὶ στρατηγικῆς ἀλλὰ καὶ φθειριστικῆς ἔχει τὴν ἰδίαν ἰσχύν· ὥσπερ δὲ διὰ τῆς θηρευτικῆς θηρεύομεν πάντα τὰ πράγματα, οὕτως καὶ τῇ διαιρετικῇ μεθόδῳ πάντα περιλαμβάνομεν· οὐ μᾶλλον οὖν ἐπὶ μεγάλων πραγμάτων, οἷον ἐπὶ πόλεως, ἢ ἐπὶ μικρῶν τὴν αὐτὴν ἔχει δύναμιν, ἀντὶ τοῦ· ἡ αὐτὴ τέχνη καὶ μέθοδος ἐπὶ μεγάλων καὶ μικρῶν πραγμάτων ἐστί, καὶ οὐδὲν ἐντιμότερον τὸ περὶ μεγάλα αὐτὴν καταγίνεσθαι ἢ περὶ τὰ σμικρά· τῇ γὰρ αὐτῇ μεθόδῳ καὶ ἀγωγῇ χρῆται· ὥσπερ ἂν εἴποι τις ὅτι τὸ αὐτό ἐστιν ἠθικὸν ἢ οἰκονομικὸν ἢ πολιτικόν· τῇ γὰρ αὐτῇ μεθόδῳ καὶ πόλιν καὶ οἰκίαν καὶ ἑαυτόν τις διοικεῖ.

ρμγʹ. Οὐ μὰ τὸν Δία] 261 B.

Τὸ γὰρ παλαιόν, ὡς καὶ νῦν, περὶ τὰ δικαστήρια καὶ τοὺς ἐν δημοσίοις λόγους διέτριβον οἱ ῥήτορες, περὶ δὲ τὰς συνουσίας [καὶ] τὰς ἰδίᾳ γινομένας οὐδαμῶς.

ρμδʹ. Ἀλλ' ἢ τὰς Νέστορος] 261 B.

Τί μὲν βούλεται τὸ Νέστορα καὶ Ὀδυσσέα καὶ Παλαμήδη λέγειν; ἀπεικάζει δὲ τὸν Γοργίαν τῷ Νέστορι, ἐπειδὴ καὶ αἰδήμων καὶ πολυετὴς ἐγένετο·

12 *Soph*. 227 B 23 cf. schol. 261 B (p. 273 Herm.) ἔθος ἦν παλαιὸν ἐν τοῖς δικαστηρίοις δημοσίοις τε λόγοις τοὺς ῥήτορας διατρίβειν, οὐ μὴν ἐν ταῖς γινομέναις συνουσίαις ἰδίᾳ 27-28 ἀπεικάζει — 225, 4 Παλαμήδῃ = schol. 261 C (ibid.)

NC 1 ἐνταῦθα — ἔργον om. M 3 αὐτῇ Ast : αὐτὴν libri 4 καὶ post ἀλλὰ om. M 5 ὁμιλητικόν M fort. recte 6 ἐν om. M 7 ἰδίοις addidi post τοῖς 9 σμικρῶν, σ rubr. A 11 σμικρῶν M 13 καὶ om. M 16 σμικρὸν M (jam correxerat Ast) 17 σμικρῶν libri τὸ Ast; τοῦ libri 22 οὐ rubr. A 23 δημοσίοις] δημοσίῳ M 24 καὶ seclusi 26 ἀλλ', ἀ rubr. A 27 τὸ supra vers. A Παλαμήδην M λέγει AE verba καὶ Θεόδωρον apud Platonem videtur non legisse Hermias 28 δὲ om. schol. ἐγίνετο M schol.

[184] ἑκατὸν γὰρ καὶ ὀκτὼ ἐλέγετο ζῆσαι ἔτη· τὸν δὲ Θρασύμαχον ὡς δεινὸν τῷ
f° 78 v° Ὀδυσσεῖ ἀπεικάζει· τὸν δὲ Ἐλεάτην Ζήνωνα τῷ Παλαμήδῃ | ἐπειδὴ καὶ ἀριθμῶν καὶ κύβων καὶ πολλῶν ἄλλων εὑρετὴς ἐγένετο Παλαμήδης· ὡς τεχνικὸν οὖν τὸν Ζήνωνα παρέβαλε τῷ Παλαμήδῃ. Ὃ λέγει οὖν τοῦτο ἔστιν· « ὡς ἔοικε τῶν κατὰ ἀποτάδην λόγων ἀκήκοας, » τουτέστι τῶν διαλεκτικῶν καὶ ὁμιλητικῶν λόγων. Ἴσως οὖν τίθεται ὅτι « Νέστορα τὸν Γοργίαν λέγω. »

ρμε΄. Ἐν δικαστηρίοις οἱ ἀντίδικοι τί δρῶσιν] 261 C.

Οὐκ ἀντιλέγουσιν ἀλλήλοις καὶ πείθουσιν ἀλλήλους; ἆρα οὖν ἐν δικαστηρίοις μόνον ἔστιν ἀντιλέγειν ἢ καὶ ἰδίᾳ; Οὐκοῦν ὁ τέχνῃ τοῦτο ποιῶν τὸ ἀντιλογικὸν δύναται τὸ αὐτὸ ποιῆσαι καὶ ὅμοιον καὶ ἀνόμοιον φανῆναι. Καὶ συντόμως εἰπεῖν, τοῦτο βούλεται ποιῆσαι τὴν ἀλήθειαν τῆς ῥητορικῆς συνάψαι· καὶ ὁ νοῦς τῶν ἑξῆς ῥητῶν τοῦτο βούλεται· ὁ γάρ, φησίν, ἀπὸ τοῦ ἐναντίου ἐπὶ τὸ ἐναντίον βουλόμενος μεταγαγεῖν τινα ἀμέσως τοῦτο οὐ ποιεῖ· εἰ δὲ μή, αἰσθάνεται ὁ προσδιαλεγόμενος καὶ οὐ δίδωσί σοι ὁμολογίαν τινά· ἐὰν δὲ τὴν κατὰ βραχὺ ὁμοιότητα λαμβάνῃ, λήσεται εἰς τὸ ἐναντίον μεταγαγὼν τὸν προσδιαλεγόμενον· τὰς δὲ κατὰ βραχὺ ὁμοιότητας οὐ δύναται λαβεῖν ὁ μὴ εἰδὼς τὸ ἀληθές· ὁ γὰρ εἰδὼς διὰ τῶν κατὰ σμικρὸν ὁμοιοτήτων περιάγειν βούλεται εἰς τὸ ἀντικείμενον· οὕτως ἀνάγκη εἰδέναι τὸ ἀληθὲς καὶ τὴν ὁμοιότητα καὶ ἀνομοιότητα τῶν πραγμάτων, καὶ εἶναι φιλόσοφον καὶ διαιρετικὸν καὶ ὁριστικὸν τὸν βουλόμενον εἰς τὸ ἐναντίον μεταγαγεῖν τινα καὶ τὸ αὐτὸ τοτὲ μὲν δίκαιον τοτὲ δὲ ἄδικον ὀφθῆναι ποιῆσαι, τὰ αὐτὰ δὲ ὅμοια καὶ ἀνόμοια, ὅτι τὰ πράγματα καθὸ κοινωνεῖ ὅμοιά ἐστι· καθὸ οὖν ὄντα ἐστὶν εἴδη, ἐστὶ καὶ ὅμοια· ἀλλὰ μὴν καὶ ἀνόμοιά ἐστιν· ἕτερα γάρ εἰσι. Τοὺς δὲ ἄλλους συλλογισμοὺς ἐν τῇ Φυσικῇ Ἀριστοτέλης φησίν.

ρμϛ΄. Οὐκ ἄρα μόνον] 261 D.

Εἰς τὸ προκείμενον ἦλθεν, ὅτι ἡ ἀντιλογικὴ τέχνη καὶ ἡ πειθὼ οὐκ ἔστι μόνον περὶ δικαστήρια, ἀλλὰ καὶ τὰς κοινὰς διαλέξεις. — Τὸ δὲ εἴ τις οἷός τε ἔσται· εἰ τέχνῃ χρώμενός τις οἷός τέ ἐστι παντὶ ὁμοιοῦν τῷ ἔχοντι ὁμοιότητά τινα πρὸς τὸ λεγόμενον.

2 cf. 262 D

TIT 1 ἑκατὸν ἔτη ἔζησε Γοργίας C

NC 1 καὶ om. schol. 6 ὁμιλη evan. in A 8 ἐν rubr. A τί δρῶσιν οἱ ἀντίδικοι ME 10 ἀντιλέγειν] ἀντιλογία A^2 οὔκουν M τέχνη Plat. cod. B 16 et 17-18 καταβραχὺ A 19 βούλεται] δύναται (?) nisi malis περιάγει <ὃ>ν βούλεται cl. 226, 29 20 καὶ ἀνομοιότητα om. M 23 τὰ (ante αὐτὰ) supra vers. A^2 : om. M 24 καθὸ οὖν — 25 ἀνόμοιά ἐστιν om. E M 25 δὲ om. M 26 ὁ Ἀριστοτέλης M φησίν, ν rubr. A 27 οὐκ, ο rubr. A 29 τὰ δικαστήρια M εἴ A^2 : ἦ A^1 Plat. cod. T : ἡ Plat. cod. B : videtur Hermias legisse ἦ 30 οἷός τ' Plat. εἰ A^2 : ἦ A^1 (ut videtur) τέχνῃ χρώμενος] τεχνήσαμενος EM

[183] ἐνταῦθα ἐκτίθεται· οὐ τοῦτο, φησίν, ἔστι τὸ ἔργον τῆς ῥητορικῆς ἡ ψυχαγωγία ἡ διὰ τῶν λόγων; ψυχαγωγίαν δὲ λέγει τὸ ἕλκειν ψυχὴν εἰς ἑαυτὴν, καὶ πειθὼ αὐτῇ ἐντίκτειν, οὐ μόνον κατὰ τὰ τρία μέρη τῆς ῥητορικῆς τὸ δικανικὸν καὶ τὸ συμβουλευτικὸν καὶ τὸ πανηγυρικὸν, ἀλλὰ καὶ
p. 184 κατὰ τὸ ὁμιλητόν· καὶ τοῦτο | γὰρ ῥητορικῆς λέγει καὶ ἁπλῶς εἰπεῖν τὸ εὖ λέγειν, εἴτε ἰδίᾳ, εἴτε κοινῇ, ῥητορικῆς ἴδιον βούλεται εἶναι. Τὸ δὲ ἐν ἰδίοις· ἢ ἐν τοῖς <ἰδίοις> δικαστηρίοις λέγει ἢ ἐν ταῖς ἰδίαις συνουσίαις.

ρμβʹ. Σμικρῶν τε καὶ μεγάλων] 261 B.

Ὃ λέγει τοῦτο ἔστιν ὅτι ἡ μέθοδος καὶ τέχνη καὶ τὰ θεωρήματα τὰ καθολικὰ ὁμοίως ἐπὶ μεγάλων καὶ μικρῶν τὴν αὐτὴν ἔχουσι δύναμιν· ὅπερ καὶ ἐν τῷ Σοφιστῇ εἶπεν ὅτι ἡ θηρευτικὴ οὐ μόνον ἐπὶ στρατηγικῆς ἀλλὰ καὶ φθειριστικῆς ἔχει τὴν ἰδίαν ἰσχύν· ὥσπερ δὲ διὰ τῆς θηρευτικῆς θηρεύομεν πάντα τὰ πράγματα, οὕτως καὶ τῇ διαιρετικῇ μεθόδῳ πάντα περιλαμβάνομεν· οὐ μᾶλλον οὖν ἐπὶ μεγάλων πραγμάτων, οἷον ἐπὶ πόλεως, ἢ ἐπὶ μικρῶν τὴν αὐτὴν ἔχει δύναμιν, ἀντὶ τοῦ· ἡ αὐτὴ τέχνη καὶ μέθοδος ἐπὶ μεγάλων καὶ μικρῶν πραγμάτων ἐστὶ, καὶ οὐδὲν ἐντιμότερον τὸ περὶ μεγάλα αὐτὴν καταγίνεσθαι ἢ περὶ τὰ σμικρά· τῇ γὰρ αὐτῇ μεθόδῳ καὶ ἀγωγῇ χρῆται· ὥσπερ ἂν εἴποι τις ὅτι τὸ αὐτό ἐστιν ἠθικὸν ἢ οἰκονομικὸν ἢ πολιτικόν· τῇ γὰρ αὐτῇ μεθόδῳ καὶ πόλιν καὶ οἰκίαν καὶ ἑαυτόν τις διοικεῖ.

ρμγʹ. Οὐ μὰ τὸν Δία] 261 B.

Τὸ γὰρ παλαιὸν, ὡς καὶ νῦν, περὶ τὰ δικαστήρια καὶ τοὺς ἐν δημοσίοις λόγους διέτριβον οἱ ῥήτορες, περὶ δὲ τὰς συνουσίας [καὶ] τὰς ἰδίᾳ γινομένας οὐδαμῶς.

ρμδʹ. Ἀλλ' ἢ τὰς Νέστορος] 261 B.

Τί μὲν βούλεται τὸ Νέστορα καὶ Ὀδυσσέα καὶ Παλαμήδη λέγειν; ἀπεικάζει δὲ τὸν Γοργίαν τῷ Νέστορι, ἐπειδὴ καὶ αἰδήμων καὶ πολυετὴς ἐγένετο·

12 *Soph*. 227 B 23 cf. schol. 261 B (p. 273 Herm.) ἔθος ἦν παλαιὸν ἐν τοῖς δικαστηρίοις δημοσίοις τε λόγοις τοὺς ῥήτορας διατρίβειν, οὐ μὴν ἐν ταῖς γινομέναις συνουσίαις ἰδίᾳ 27-28 ἀπεικάζει — 225, 4 Παλαμήδη = schol. 261 C (ibid.)

NC 1 ἐνταῦθα — ἔργον om. M 3 αὐτῇ Ast : αὐτὴν libri 4 καὶ post ἀλλὰ om. M 5 ὁμιλητικόν M fort. recte 6 ἐν om. M 7 ἰδίοις addidi post τοῖς 9 σμικρῶν, σ rubr. A 11 σμικρῶν M 13 καὶ om. M 16 σμικρὸν M (jam correxerat Ast) 17 σμικρῶν libri τὸ Ast; τοῦ libri 22 οὐ rubr. A 23 δημοσίοις] δημοσίῳ M 24 καὶ seclusi 26 ἀλλ', ἀ rubr. A 27 τὸ supra vers. A Παλαμήδην M λέγει AE verba καὶ Θεόδωρον apud Platonem videtur non legisse Hermias 28 δὲ om. schol. ἐγίνετο M schol.

[184] ἑκατὸν γὰρ καὶ ὀκτὼ ἐλέγετο ζῆσαι ἔτη· τὸν δὲ Θρασύμαχον ὡς δεινὸν τῷ f° 78 v° Ὀδυσσεῖ ἀπεικάζει· τὸν δὲ Ἐλεάτην Ζήνωνα τῷ Παλαμήδῃ | ἐπειδὴ καὶ ἀριθμῶν καὶ κύβων καὶ πολλῶν ἄλλων εὑρετὴς ἐγένετο Παλαμήδης· ὡς τεχνικὸν οὖν τὸν Ζήνωνα παρέβαλε τῷ Παλαμήδῃ. Ὃ λέγει οὖν τοῦτο ἐστιν· « ὡς ἔοικε τῶν κατὰ ἀποτάδην λόγων ἀκήκοας, » τουτέστι τῶν διαλεκτικῶν καὶ ὁμιλητικῶν λόγων. Ἴσως οὖν τίθεται ὅτι « Νέστορα τὸν Γοργίαν λέγω. »

ρμε'. Ἐν δικαστηρίοις οἱ ἀντίδικοι τί δρῶσιν] 261 C.

Οὐκ ἀντιλέγουσιν ἀλλήλοις καὶ πείθουσιν ἀλλήλους; ἆρα οὖν ἐν δικαστηρίοις μόνον ἔστιν ἀντιλέγειν ἢ καὶ ἰδίᾳ; Οὐκοῦν ὁ τέχνῃ τοῦτο ποιῶν τὸ ἀντιλογικὸν δύναται τὸ αὐτὸ ποιῆσαι καὶ ὅμοιον καὶ ἀνόμοιον φανῆναι. Καὶ συντόμως εἰπεῖν, τοῦτο βούλεται ποιῆσαι τὴν ἀλήθειαν τῆς ῥητορικῆς συνάψαι· καὶ ὁ νοῦς τῶν ἑξῆς ῥητῶν τοῦτο βούλεται· ὁ γάρ, φησίν, ἀπὸ τοῦ ἐναντίου ἐπὶ τὸ ἐναντίον βουλόμενος μεταγαγεῖν τινα ἀμέσως τοῦτο οὐ ποιεῖ· εἰ δὲ μή, αἰσθάνεται ὁ προσδιαλεγόμενος καὶ οὐ δίδωσί σοι ὁμολογίαν τινά· ἐὰν δὲ τὴν κατὰ βραχὺ ὁμοιότητα λαμβάνῃ, λήσεται εἰς τὸ ἐναντίον μεταγαγὼν τὸν προσδιαλεγόμενον· τὰς δὲ κατὰ βραχὺ ὁμοιότητας οὐ δύναται λαβεῖν ὁ μὴ εἰδὼς τὸ ἀληθές· ὁ γὰρ εἰδὼς διὰ τῶν κατὰ σμικρὸν ὁμοιοτήτων περιάγειν βούλεται εἰς τὸ ἀντικείμενον· οὕτως ἀνάγκη εἰδέναι τὸ ἀληθὲς καὶ τὴν ὁμοιότητα καὶ ἀνομοιότητα τῶν πραγμάτων, καὶ εἶναι φιλόσοφον καὶ διαιρετικὸν καὶ ὁριστικὸν τὸν βουλόμενον εἰς τὸ ἐναντίον μεταγαγεῖν τινα καὶ τὸ αὐτὸ τοτὲ μὲν δίκαιον τοτὲ δὲ ἄδικον ὀφθῆναι ποιῆσαι, τὰ αὐτὰ δὲ ὅμοια καὶ ἀνόμοια, ὅτι τὰ πράγματα καθὸ κοινωνεῖ ὅμοιά ἐστι· καθὸ οὖν ὄντα ἐστὶν εἴδη, ἐστὶ καὶ ὅμοια· ἀλλὰ μὴν καὶ ἀνόμοιά ἐστιν· ἕτερα γάρ εἰσι. Τοὺς δὲ ἄλλους συλλογισμοὺς ἐν τῇ Φυσικῇ Ἀριστοτέλης φησίν.

ρμϛ'. Οὐκ ἄρα μόνον] 261 D.

Εἰς τὸ προκείμενον ἦλθεν, ὅτι ἡ ἀντιλογικὴ τέχνη καὶ ἡ πειθὼ οὐκ ἔστι μόνον περὶ δικαστήρια, ἀλλὰ καὶ τὰς κοινὰς διαλέξεις. — Τὸ δὲ εἴ τις οἷός τε ἔσται· εἰ τέχνῃ χρώμενός τις οἷός τέ ἐστι παντὶ ὁμοιοῦν τῷ ἔχοντι ὁμοιότητά τινα πρὸς τὸ λεγόμενον.

2 cf. 262 D

TIT 1 ἑκατὸν ἔτη ἔζησε Γοργίας C

NC 1 καὶ om. schol. 6 ὁμιλη evan. in A 8 ἐν rubr. A τί δρῶσιν οἱ ἀντίδικοι ME 10 ἀντιλέγειν] ἀντιλογία A^2 οὔκουν M τέχνη Plat. cod. B 16 et 17-18 καταβραχὺ A 19 βούλεται] δύναται (?) nisi malis περιάγει <ὃ>ν βούλεται cl. 226, 29 20 καὶ ἀνομοιότητα om. M 23 τὰ (ante αὐτὰ) supra vers. A^2 : om. M 24 καθὸ οὖν — 25 ἀνόμοιά ἐστιν om. E M 25 δὲ om. M 26 ὁ Ἀριστοτέλης M φησίν, ν rubr. A 27 οὐκ, ο rubr. A 29 τὰ δικαστήρια M εἴ A^2 : ἤ A^1 Plat. cod. T : ἡ Plat. cod. B : videtur Hermias legisse ἤ 30 οἷός τ' Plat. εἰ A^2 : ἤ A^1 (ut videtur) τέχνῃ χρώμενος] τεχνήσαμενος EM

[184] ρμζ'. Ἀπάτη πότερον] 261 E.

Οὐκ ἀμέσως ἡ φύσις ἀπὸ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον ἄγει· διὸ ἡ ἀπάτη ἐν τοῖς ὀλίγον διαφέρουσι γίνεται· γίνεται δὲ καὶ ἐν αἰσθήσει καὶ ἐν p. 185 ἐπιτηδεύμασιν, ὅταν τὸν ὑδράργυρον ἄργυρον | νομίσω, ἢ τὸν χαλκὸν χρυσόν· καὶ ἐπὶ ζῴων τὴν φάτταν περιστεράν· ἐπιτηδευμάτων δὲ τὸν γόητα τελεστήν. Τὰ δὲ πολὺ διαφέροντα κατάδηλά ἐστιν.

ρμη'. Ἀλλά γε δή] 262 A.

Οὕτως ὀφείλει εἰδέναι τὰς ὁμοιότητας τῶν πραγμάτων, ἵνα λανθάνῃ [f° 79 r°] κατὰ σμικρὸν εἰς τὸ ἐναντίον | περιάγων τὸν προσδιαλεγόμενον. Τὴν δὲ ὁμοιότητα καὶ ἀνομοιότητα τῶν εἰδῶν εἰδέναι φιλοσοφίας ἐστί· δῆλον τοίνυν ὡς τὸ πάθος τοῦτο καὶ ἡ ἀπάτη τῷ μὴ κατανοῆσαι τὴν φύσιν αὐτῆς γίνεται.

ρμθ'. Ἔστιν οὖν ὅπως τεχνικὸς ἔσται] 262 B.

Οἷον εἰ τεχνικός ἐστι διὰ τῶν ὁμοιοτήτων βούλεται παράγειν. — Τὸ δὲ παράγειν λέγει οὐχ ἵνα ἀπατήσῃ, ἀλλ' ἵνα πείσῃ διὰ τῶν ὁμοιοτήτων καὶ τῶν ἐοικότων τῷ ἀληθεῖ. — Λόγων δὲ ἄρα τέχνην ὦ ἑταῖρε· οὐκ ἄρα τέχνην ἕξει ὁ μὴ εἰδὼς τὴν φύσιν τῶν πραγμάτων, ἀλλ' ἄλογόν τινα τριβήν.

ρν'. Βούλει οὖν ἐν τῷ Λυσίου λόγῳ] 262 C.

Ἐπειδὴ ἐπὶ παραδείγματος σαφῆ γίνεται τὰ λεγόμενα, βούλεται ἐπὶ παραδείγματος τοῦ Λυσίου λόγου καὶ τοῦ ἑαυτοῦ δεῖξαι, τοῦ μὲν τὸ ἄτεχνον, τοῦ δὲ τὸ ἔντεχνον· πάντων οὖν τῶν τεχνογράφων τὰ εἰκότα καὶ τὰ πιθανὰ ὕλην λεγόντων τῆς ῥητορικῆς, καὶ διὰ τούτων πείθεσθαι τὸν δικαστήν, τὴν δὲ αἰτίαν οὐ λεγόντων, διὰ τί ταῦτα πείθει, ὁ φιλόσοφος καὶ τούτων τὴν αἰτίαν παραδέδωκε, λέγων ὅτι διὰ τὴν ὁμοιότητα τὴν πρὸς τὸ ἀληθὲς τὰ εἰκότα πείθει· διὸ ἀρχὴ πάντων ἐστὶν ἡ ἀλήθεια καὶ διὰ τοῦ εἰδέναι τὸ ἀληθὲς πείθει ὁ ῥήτωρ. Ἐπειδὴ οὖν ἀνωτέρω εἶπεν ὅτι ὁ τὰς ὁμοιότητας καὶ ἀνομοιότητας εἰδὼς τῶν πραγμάτων κατὰ βραχὺ ἐπὶ τὸ ἐναντίον δύναται μετάγειν ὃν βούλεται, ἐπὶ ὑποδείγματος τὸ εἰρημένον βούλεται παραστῆσαι, πῶς ὁ τὴν ἀλήθειαν εἰδὼς ῥήτωρ διὰ τῶν ὁμοιοτήτων δύναται παράγειν, πῶς δὲ ὁ τῆς ἀληθείας ἀνεπιστήμων ἄτακτός

27 ἀνωτέρω 262 A

TIT 23 τὰ εἰκότα καὶ πιθανὰ ὕλη ῥητορικῆς C

NC 1 ἀπάτη, ἀ rubr. A 4 ὑδάργυρον ante emend. A 5 ἐπὶ ἐπιτηδευμάτων M 6 κατάδηλα] κατάδηλον E : κατὰ δῆλον M : καθ' αὑτὰ δῆλον Ast 7 ἀλλά γε δή rubr. A 9 σμικρὸν M Plat. : μικρὸν A 13 ἔστιν, ἔ rubr. A 15 παράγειν non hoc loco legitur apud Plat. πείσῃ] πείθῃ A[a] 17 φύσιν] δύναμιν A[a] 19 βούλει, β rubr. A 23 τούτων] τοῦτο M 31 δύναται] βούλεται M

[185] ἐστι. Τριῶν δὲ ὄντων τούτων, εὑρέσεως καὶ τάξεως ἐν παντὶ λόγῳ καὶ φράσεως, μέμφεται τὸν Λυσίαν οὐκ ἐν τῇ εὑρέσει ἀλλὰ ἐν τῇ οἰκονομίᾳ καὶ φράσει.

ρνα΄. Ὡς νῦν γέ που ψιλῶς πως λέγομεν] 262 C.

Τουτέστι μὴ ἐπὶ ὑποδείγματος λέγοντες τὰ λεγόμενα, ψιλῶς λέγομεν καὶ οὐ νοοῦμεν τὰ λεγόμενα· μάλιστα δὲ ἡ ψυχὴ χαίρει τοῖς ὑποδείγμασι καὶ πείθεται, ἐπειδὴ καὶ αὕτη εἰκών ἐστι τοῦ νοῦ· εἰκότως οὖν εἰκὼν οὖσα τοῦ νοῦ διὰ τῶν παραδειγμάτων εἰς πίστιν ἄγεται.

ρνβ΄. Καὶ μὴν κατὰ τύχην] 262 C.

Ἵνα γνῶμεν πόσον ὄφελος γίνεται ἐκ τοῦ εἶναι ἐπιστήμονα τῆς ἀληθείας, καὶ πόση βλάβη ἐκ τοῦ εἶναι ἀνεπιστήμονα.

ρνγ΄. Ὡς ἂν ὁ εἰδὼς τὸ ἀληθές] 262 D.

Τουτέστιν ὁ φιλόσοφος ὡς παιδιᾷ χρῆται τοῖς τῶν ῥητόρων λόγοις, καὶ ὅπερ ἐκεῖνοι μετὰ σπουδῆς ποιοῦσι, τὸ διὰ τῶν ὁμοιοτήτων παράγειν τοὺς ἀκούοντας, οὗτος ἐν παιδιᾶς μέρει ἔχει.

ρνδ΄. Καὶ ἔγωγε ὦ Φαῖδρε αἰτιῶμαι] 262 D.

Πάντα γὰρ εἰς τοὺς θεοὺς ἀνάγει ὁ Πλάτων· ταῦτα οὖν τῆς εὑρέσεως καὶ διακρίσεως τοῦ ἀληθοῦς αἰτιῶμαι, φησί, τοὺς θεούς· ἐγὼ γὰρ οὐδεμίαν ἔχω τέχνην. Ἔθος γὰρ Σωκράτει ἀπαρνεῖσθαι ἴδιόν τι ἔχειν εὕρεμα, πάντα δὲ εἰς θεοὺς ἀνάγειν. Γίνεται δὲ ἡμῖν κοινωνία πρὸς τοὺς θεοὺς καὶ ἀμέσως τῆς ψυχῆς ἐκεῖθεν καταλαμπομένης καὶ διὰ τῶν μέσων γενῶν· διττὴ οὖν
f° 79 v° ἡ πρόνοια· | ἢ αὐτὴ ἡ ἰδικῶς ἡ τῶν θεῶν, ἢ ἡ διὰ τῶν κρειττόνων γενῶν καὶ δαιμόνων καὶ ἐντοπίων θεῶν. Αἰτιῶμαι οὖν, φησί, τοὺς ἐντοπίους θεοὺς τῆς τοιαύτης μεταχειρίσεως καὶ τάξεως τῶν λόγων. — Τοὺς δὲ ὑπὲρ κεφαλῆς ᾠδοὺς τὰ κρείττονα λέγει γένη τὰ συνεπόμενα τοῖς θεοῖς· τὸ γὰρ ὑπερέχον ἀεὶ δαίμονα δεῖ καλεῖν, οἷον τοῦ λόγου δαίμονα τὸ λογικόν, τοῦ νοῦ τὸν θεόν. — Τοῦτο τὸ γέρας λέγει τὸ δύνασθαι διακρίνειν τοὺς κατὰ τέχνην λέγοντας καὶ μή.

5 cf. schol. 262 C (p. 273 Herm.) ψιλῶς τὸ μὴ <ἐπὶ> ὑποδείγματός φησιν 13 ὁ φιλόσοφος — 15 ἔχει = schol. 260 D (ibid.) 27 τὸ — 28 μὴ = schol. 260 D (p. 274)

TIT 1 εὑρέσεως, τάξεως, φράσεως C 7 ἡ ψυχὴ εἰκὼν τοῦ νοῦ· διὸ χαίρει τοῖς παραδείγμασι C 25 τίνες οἱ ὑπὲρ κεφαλῆς ᾠδοί C

NC 4 ὡς, ὠ rubr. A που om. Plat. πῶς M 5 ἐπὶ om. M (jam correxerat Ast) 7 αὕτη] αὐτὴ Ast 9 καὶ, κ rubr. A 11 εἶναι om. M 12 ὡς, ὠ rubr. A 15 παιδιᾷ M (jam correxerat Ast) μέρει] μοίρᾳ schol. 16 καὶ, κ rubr. A 19 εὕρημα M 22 ἡ post ἢ om. M 25 τὰ συνεπόμενα A (ut videtur) τῶν συνεπομένων a

[185] ρνε'. Ἴθι δή μοι ἀνάγνωθι] 262 D.

p. 186 Δύο λόγους βούλεται παραβαλεῖν, τὸν τοῦ Λυσίου καὶ | τὸν ἑαυτοῦ. Καὶ τὸν Λυσίου ἀπ' αὐτῆς τῆς ἀρχῆς ἐλέγχει· οὐκ ἐπεξέρχεται δὲ πᾶσι τοῖς ἐλέγχοις ὡς φιλόσοφος· ἐχθροῦ γὰρ ἦν τὸ πάντα μέμφεσθαι. Νῦν δὲ ἐνδειξάμενος ὀλίγα πταίσματα τοῦ λόγου, ἔρχεται ἐπὶ τὸν ἑαυτοῦ λόγον ὕστερον. Τὴν δὲ ἀρχὴν τοῦ λόγου ἐλέγχει, ἐπειδὴ τὸ ἔντεχνον τοῦ λέγοντος ἐν προοιμίοις διαφαίνεται· τοῦ γὰρ παντὸς λόγου ἡ δύναμις ἐν προοιμίοις ἐστίν.

ρνς'. Ἆρ' οὖν οὐ παντὶ δῆλον] 263 A.

Ὅτι ἀπὸ τῆς ἀρχῆς διαφαίνεται ὁ Λυσίου λόγος ἄτεχνος, καὶ ἀτέχνως μετέρχεται τὰ τῆς ὑποθέσεως, δῆλον· πρῶτον μὲν γὰρ ἐπειδὴ τῶν πραγμάτων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ ἀμφίβολα, ἔδει αὐτὸν διελεῖν τὸ ἀμφίβολον ὄνομα τοῦ ἔρωτος, καὶ εἰπεῖν κατὰ ποίου ἔρωτος λέγει τὰ λεγόμενα, καταριθμησάμενον τὰ σημαινόμενα τοῦ πράγματος, ἵνα σαφῶς γνῶμεν τὸ λεγόμενον. Εἰδέναι δὲ δεῖ ὅτι αὐτὸ μὲν τὸ πρᾶγμα, ὡς νῦν ὁ ἔρως, τοὺς ἐναντίους ἐπιδέξασθαι ὁρισμοὺς οὐ δύναται (πῶς γὰρ τὸ αὐτὸ καὶ καλὸν καὶ μὴ καλὸν δύναται εἶναι;) κατὰ δὲ τὰς ὑπολήψεις τὰς περὶ αὐτοῦ δυνατὸν τοὺς ἐναντίους εἶναι ὁρισμούς. Ἔδει οὖν αὐτὸν εἰπεῖν τί ἐστι τὸ προκείμενον, ἵνα ἔχωμεν ἐρεῖσαι τὴν διάνοιαν κατὰ τίνος φέρει τὰ λεγόμενα· οὐ δύναται γὰρ ὁ τὴν ἀλήθειαν ἀγνοῶν τὴν φύσιν τοῦ ἀμφιβόλου πράγματος εἰδέναι· ὥστε ὁ τάξει λέγων ῥήτωρ ὀφείλει ἐγνωκέναι τὰ πράγματα, πότερον ἁπλῆς φύσεώς εἰσιν ἢ πολυπλόκου, ἵνα τοῖς δήλοις ἁπλοῦς τοὺς λόγους λέγῃ, τοῖς δὲ ποικίλοις ἁρμόζοντας. Ὁ γὰρ μὴ εἰδὼς τὰ τοιαῦτα, οὐδ' ἂν τῷ ἀληθεῖ περιτύχῃ, δύναται διακρῖναι αὐτὸ ἀπὸ τοῦ ψεύδους. Ἀμφιβόλου οὖν ὄντος τοῦ ἔρωτος καὶ διπλοῦ διὰ τὰς τῶν πολλῶν ὑπολήψεις, καὶ τοῦ μὲν καλοῦ, τοῦ δὲ αἰσχροῦ, μὴ διορισάμενος περὶ ποίου λέγει, ἀσαφῆ τὸν λόγον ἐποίησε· καὶ ἄτακτον δέ, ἐπειδὴ ἀπὸ τῶν ὑστέρων ἤρξατο, ὃ μέλλει ἐγκαλεῖν τῷ λόγῳ, καὶ ἀνοικονόμητον ἐποίησεν. Ὁρᾷς οὖν ὅτι καὶ ὁριστικὸν βούλεται εἶναι τὸν ῥήτορα καὶ διαιρετικὸν καὶ εἰδότα τὰς φύσεις τῶν πραγμάτων.

ρνζ'. Ὁμονοητικῶς ἔχομεν] 263 A.

Οἷον ὅταν εἴπω λίθον ἢ ξύλον, πάντες ἐπὶ τὰ αὐτὰ φερόμεθα ἀστασιάστως· περὶ δὲ τὰ δίκαια καὶ συμφέροντα διαφερόμεθα, διὰ τὸ μὴ πάντας ὁμογνωμονεῖν περὶ αὐτῶν. Τρόπον οὖν τινα ἐνταῦθα τὴν ὕλην τῆς ῥητορικῆς ἐπιδεικνύει ἡμῖν, ὅτι περὶ τὰ ἀμφίβολα ἔχει τὸ εἶναι.

TIT 7 παντός (cod. πατρὸς) λόγου ἡ δύναμις ἐν προοιμίοις ἐστίν C

NC 1 ἴθι, ἴ rubr. A 2 [παρα]βαλεῖν a in marg. : παραλαβεῖν A[a] et ceteri 9 ἆρ', ἆ rubr. A 10 ὁ λόγος τοῦ Λυσίου M 22 λέγοι A 24 περιτύχοι libri 31 ὁμονοητικῶς, ὁ rubr. A : ὁμονοήτως E : οὐ μόνον ποιητικῶς Plat. cod. B 32 ἀστασιαστικῶς M 35 δεικνύει EM

[186] ρνη'. Ἆρ' οὐ τοῦτο αὐτό] 263 A.

Περὶ γὰρ οὗ γίνεται οὐδεμία ἀμφισβήτησις. — Τὸ δὲ ποτέρωθι εὐαπατητότεροι τοῦτο ἔστιν· ἐν τίνι ἔστι τὸ μέγα τῆς ῥητορικῆς; οὐκ ἄρα ἐν τοῖς ἀμφιβόλοις, ἵνα διὰ τῶν πιθανῶν ὃ μὲν ἐπὶ τόδε, ὃ δὲ ἐπὶ τόδε παράγῃ; εἰ οὖν ἐν οἷς πλανώμεθα τὸ μέγα ἐστὶ τῆς ῥητορικῆς, δῆλον ὅτι ὁ μὴ εἰδὼς τὴν διπλόην τοῦ πράγματος οὐδὲ οἷς χρήσεται λόγοις ἐπὶ θάτερα μεταβιβάσαι τὸν λόγον θέλων ἔχει, ὥστε δῆλον ὅτι ἀλήθεια προη-
f°80r° γεῖται. — Ὁδῷ δὲ διῃρῆσθαι, οἷον ὅτι τὸ τοῦ ἔρωτος ὄνομα | σημαίνει τὸ ἀγαθὸν καὶ τὸ φαῦλον παρὰ τοῖς πολλοῖς· καὶ διαιρεῖν τὸ ἓν εἰς πολλὰ καὶ ἕκαστον δύνασθαι ὁρίσασθαι. — Χαρακτῆρα δὲ ἑκατέρου τοῦ εἴδους, οἷον ποίου εἴδους ἐστὶν οὗτος ὁ ἔρως καὶ ποίου ἐκεῖνος, καὶ ὁρίζεσθαι ἑκάτερον, καὶ εἰδέναι ποία ἰδέα λόγου δύναται προσβιβάσαι τοὺς ἀκούοντας καὶ πεῖσαι.

ρνθ'. Καλὸν γοῦν] 263 C.

Τουτέστιν ὁ εἰδὼς τὴν διαιρετικὴν μέθοδον καὶ τὴν γνῶσιν τῶν πραγμάτων ἄριστα ἔχει. — Τὸ δὲ ἔπειτά γε οἶμαι· δεῖ πρῶτον εἰδέναι τὸ ποίου γένους τυγχάνει, τοῦ ἁπλοῦ ἢ τοῦ ἀμφιβόλου· ἔπειτα, ἐὰν ᾖ ἀμφίβολον, διορατικὸς καὶ διαιτητικὸς ὀφείλει εἶναι τῆς φύσεως αὐτοῦ· ἐὰν γὰρ περὶ τοῦ ὀρθοῦ ἔρωτος λέγῃ, σκοπεῖν ὀφείλει ποῖα ῥήματα ἁρμόζει αὐτῷ. Τί
p. 187 οὖν; τὸν Ἔρωτα τί λέγομεν, τῶν ἁπλῶν ἢ τῶν | ἀμφιβόλων; τοῦτο δὲ εἶπε διὰ τὴν ὑπόνοιαν τὴν τῶν πολλῶν· οὐ γὰρ δυνατὸν ἓν πρᾶγμα τοὺς ἐναντίους ἔχειν ὁρισμούς· ὥστε δῆλον ὅτι πρὸς διαφόρους ὑπολήψεις διάφοροί εἰσιν οἱ ὁρισμοί.

ρξ'. Ἦ οἴει ἄν σοι συγχωρῆσαι] 263 C.

Ἐπειδὴ ὄντων ἀμφιβόλων ἔστιν ἄρα δυνατὸν περὶ τοῦ αὐτοῦ πράγματος τὰ ἐναντία λέγειν· ὡς βλαβερός ἐστιν, ὡς εἶπεν ὁ Λυσίας, τῷ ἐρωμένῳ, εἶτα, ὡς ὁ ἐμὸς λόγος, ὅτι μεγίστων ἀγαθῶν αἴτιός ἐστιν ὁ ἔρως· ὥστε δῆλον ὅτι οὐ περὶ τοῦ αὐτοῦ τὰ ἐναντία λέγει, ἀλλὰ περὶ ἑτέρου καὶ ἑτέρου· ἄλλοι γὰρ ἁρμόζουσι τῷ καλῷ ἔρωτι λόγοι καὶ ἄλλοι τῷ ἐναντίως ἔχοντι. — Τὸ δὲ ἐγὼ γάρ τοι διὰ τὸ ἐνθουσιαστικόν· ὁ γὰρ ἀναγόμενος καὶ περὶ τὰ νοητὰ στρεφόμενος οὐκ οἶδε τὰ ἐν ποσὶ καὶ τὰ αἰσθητά.

ρξα'. Νὴ Δία ἀμηχάνως γε] 263 D.

Τουτέστι θαυμαστῶς πάνυ ὡρίσω· τοῦτο δὲ οὐδὲν ἐποίησεν ὁ Λυσίας. — Τὸ δὲ φεῦ ὅσῳ λέγεις· ἐπειδὴ εἶπεν ἀμηχάνως γε σφόδρα, φησὶν

NC 1 ἆρ', ἃ rubr. A τοῦτο] τὸ Plat. 2 ποτέρωθι οὖν Plat. 10 εὑρίσασθαι A[a] 14 καλὸν, κ rubr. A οὖν M 22 ὁρισμούς] λογισμούς M cf. 228, 16 23 οἱ om. M 24 ἢ rubr. A 25 δυνατὸς EM 26 ὡς ante εἶπεν om. M 28 τοῦ om. M 32 νὴ, ν rubr. A 34 ὡς σφόδρα Plat. cod. T

[187] αὐτὸς ὅτι τεχνικωτέρας λέγεις τὰς Νύμφας τῆς τοῦ Λυσίου τέχνης· ἀεὶ γὰρ τὰς αἰτίας εἰς θεοὺς ἀνάγει ὁ Πλάτων.

ρξβʹ. Ἀλλὰ καὶ ὁ Λυσίας ἀρχόμενος] 263 D.

Ὅτι ὁ Λυσίας ἕν τι σημαινόμενον τοῦ ἔρωτος λαβών, εἰ καὶ μὴ ὡρίσατο, πρὸς τοῦτο πάντα ἐφεξῆς εἶπε. Τέως οὖν ἐνεδείξατο ὅτι ὁ Λυσίας οὐχ ὡρίσατο τὸν ἔρωτα, ἀλλ' ὡς ἐπὶ ὁμολογουμένῳ συνέθηκε τὸν λόγον, ὁ δὲ φιλόσοφος ὡρίσατο. — Τὸ δὲ ἠνάγκασεν ἡμᾶς ὑπολαβεῖν· τουτέστιν ἐκ τῶν εἰρημένων ἐστοχασάμεθα κατὰ ποίου σημαινομένου φέρεται ὁ Λυσίας· οὐ γὰρ εἶπεν ὁρισάμενος.

ρξγʹ. Βούλει πάλιν ἀναγνῶμεν] 263 E.

Ὁ κρίσει ποιούμενος τὸν ἔλεγχον καὶ μὴ ἀπεχθείας ἕνεκα ἢ νίκης, τὰ αὐτὰ ἄνω καὶ κάτω μεταστρέφει ὑπ' ὄψιν τιθείς, ὅτι οὐκ ἔχθρας οὐδὲ δυσμενείας ἕνεκα βασανίζει τὰ λεγόμενα. — Τὸ δὲ ὃ μέντοι ζητεῖς· οὐ γὰρ ὡρίσατο περὶ ποίου ἔρωτος διαλέγεται.

ρξδʹ. Ἦ πολλοῦ δεῖν ἔοικε] 264 A.

Ἄλλο ἔγκλημα ἐπάγει τῷ λόγῳ· τὸ μὲν πρῶτον ἔγκλημα ὅτι οὐχ ὡρί-
f°80v° σατο, ἀμφιβόλου ὄντος τοῦ πράγματος· | νῦν δὲ ἐγκαλεῖ ὅτι ἀπὸ τοῦ τέλους ἤρξατο καὶ πρὸς τοὺς χρόνους οὐκ ἔταξε τὰ προβλήματα. Ὤφειλε γὰρ εἰπεῖν τίς γίνεται ὁ ἐρῶν ἐν τῷ χρόνῳ ᾧ ἐρᾷ, εἶτα μετὰ τὸν χρόνον τοῦ παύσασθαι τοῦ ἐρᾶν ὁποῖός ἐστιν. Οὕτως οὖν ἔγραψε τὸν λόγον ὡς ἐξ ὑπτίας πλέων ἐπ' ἐξουσίας ἔχων καὶ ἐφ' ἑαυτοῦ διατιθέμενος τὸν λόγον· ὥστε παρὰ τοὺς χρόνους ἤρξατο καὶ παρὰ φύσιν, ὡς οἱ κολυμβῶντες ὕπτιοι. Ὅθεν ἀπὸ τοῦ Πλάτωνος λαβόντες οἱ κριτικοί φασι περὶ Λυσίου ὅτι τίκτειν μὲν δυνατὸς ἐγένετο, τάξαι δὲ οὔ, διὰ τὸ εὑρετικὸν αὐτοῦ καὶ ἄτακτον τοῦ λόγου.

ρξεʹ. Τί δὲ τὰ ἄλλα οὐ χύδην] 264 B.

Τοῦτο βούλεται δεῖξαι ὅτι ὁ λόγος τοῦ Λυσίου ἀσύγκλωστός ἐστι καὶ ἀποτετεμαχισμένος, καὶ ἕκαστον τῶν ἐν αὐτῷ ἀρχὴ δύναται εἶναι· διὸ καὶ παραβάλλει αὐτὸν τῷ ἐπιγράμματι, ὡς ἀπηρτημένα ἔχοντα [καὶ] τὰ ἐπιχειρήματα, καὶ δυνάμενα τὰ δεύτερα πρῶτα ἢ τρίτα ῥηθῆναι.

23 οἱ κριτικοί (?) certe nihil tale apud Dionysium

TIT 23 Λυσίας τίκτειν δυνατὸς ἐγένετο C

NC 3 ἀλλὰ, ἀ rubr. A   10 βούλει, β rubr. A   11 κρίσει] κριτὴς M   15 ἢ rubr. A : ἢ M Plat. cod. T : ἡ Plat. cod. B   δεῖν Plat. δεῖ A   19 τοῦ om. M   24 μὲν om. M   διὰ] δηλοῦντες ut vid. A[a]   26 τί, τ rubr. A   δὲ] δαὶ Plat. cod. T   τἄλλα vel τἆλλα Plat.   28 ἀποτετεμμαχισμένος (litt. μ supra vers. add.) A   29 καὶ seclusi

[187] ρξϛʹ. Οὐ γὰρ ἀγεννῶς τὸ ἐπιόν] 264 B.

Τουτέστι πάνυ τὸ ἐπελθὸν αὐτῷ γεγραφηκέναι. — Ἀλλὰ τόδε γε οἶμαι· τῇ φυσικῇ κατασκευῇ καὶ ζῴων καὶ δένδρων ἀπεικάζει τὸν λόγον, καί φησιν ὅτι ὥσπερ τὸ ζῷον συνεχές ἐστιν αὐτὸ ἑαυτῷ καὶ ἥνωται καὶ τάξιν ἔχει πρώτων καὶ δευτέρων καὶ ἐσχάτων, οὕτως ὀφείλει καὶ ὁ λόγος ἓν σῶμα ἀποπληροῦν. Διὰ τί δὲ ἡνωμένον δεῖ τὸν λόγον εἶναι; ἐπειδὴ παντὶ πράγματι τὸ καλὸν καὶ τὸ εὖ ἀπὸ τοῦ ἑνὸς ἐπιλάμπεται· εἰ μὴ γὰρ τῷ ἑνὶ κατασχεθῇ, οἷον δήποτε πρᾶγμα οὐ δύναται εἶναι ἀγαθόν· οὕτως καὶ τὸ κάλλος οὐκ ἔστι καλὸν εἰ μὴ ἕνωσις γένηται πάντων τῶν μορίων. Ἅτε οὖν
p. 188 μὴ ἔχων τὸ ἡνωμένον ὁ Λυσίου λόγος οὐδὲ κάλλος ἔχει ἐν ἑαυ|τῷ. — Τὸ δὲ ὥστε μήτε ἀκέφαλον μήτε ἄπουν εἶναι, τουτέστιν ἀρχὴν καὶ μέσα καὶ τέλος ἔχοντα καὶ τάξιν.

ρξζʹ. Σκέψαι τοίνυν] 264 C.

Ὅτι οὔτε ὡρίσατο περὶ ποίου διαλέγεται ἔρωτος, οὔτε ἀπὸ ἀρχῆς τεταγμένης ἤρξατο, ἀλλὰ ἔξεστι τῷ πρώτῳ ὡς δευτέρῳ χρήσασθαι, καὶ οὐδὲν διαφέρει τοῦ ἐπιγράμματος οὗ ἐκτέθειται ἐν τοῖς ῥητοῖς· ἔξεστι γὰρ τῶν τριῶν στίχων τῶν ἐν τῷ ἐπιγράμματι ὃν ἂν ἐθέλῃς προτάξαι· ὅπερ οὐκ ἔστιν εἱρμοῦ οὐδὲ τάξεως· ὅθεν τινὲς τὰ τοιαῦτα ἐπιγράμματα τρίγωνα καλοῦσιν, ἐπειδὴ ὅθεν ἂν ἐθέλῃς δύνασαι ἄρξασθαι.

ρξηʹ. Τὸν λόγον ἡμῶν] 264 E.

Ὡς ἑταῖρος τοῦ Λυσίου ὁ Φαῖδρος οὐ χαίρει πως τοῖς λεγομένοις κατὰ Λυσίου καὶ τοῦ λόγου.

ρξθʹ. Τοῦτον μὲν τοίνυν] 264 E.

Φιλοσόφως ποιούμενος τὴν συνουσίαν τὸν ἔλεγχον οὐκ ἐριστικῶς προήγαγεν ἀλλ' ἄχρι τοῦ τινα ἁμαρτήματα ἐνδεῖξασθαι τοῦ λόγου· ἐδύνατο γὰρ καὶ ἄλλα πλείονα ἐπαγαγεῖν, ἀλλά φησιν « ἵνα μὴ σὺ ἄχθῃ, σιωπῶ. » |

f° 81 r° ροʹ. Καίτοι συχνὰ παραδείγματα] 264 E.

Ἁμαρτήματα λέγει καὶ τῇ παρασιωπήσει ᾐνίξατο τὰ ἄπειρα ἁμαρτήματα τοῦ λόγου. — Τὸ δὲ πρὸς ἅ τις βλέπων· τουτέστι πρὸς ταῦτα τὰ παραδείγματα καὶ τὰ ἁμαρτήματα τοῦ Λυσίου λόγου βλέπων τις καὶ μὴ χρώ-

18 τινὲς : cf. *schol. Hom.* Γ 156 ubi Homerus dicitur primus τρίγωνον ἐπίγραμμα scripsisse

TIT 16 ἐπίγραμμα ἐπὶ τῷ τάφῳ τοῦ Μίδου C

NC 1 οὐ, ο rubr. A οὐ γάρ] οὐκ Plat. 11 μήτε] μὴ τὸ Plat. cod. B εἶναι μήτε ἄπουν Plat. 13 σκέψαι, σ rubr. A 16 οὗ] ὃ (?) 17 τριῶν] τεσσάρων (?) στίχων] στοίχων M 20 τὸν rubr. A ἡμῶν om. Plat. cod. T 21 πῶς M 23 τοῦτον, τ rubr. A 24 οὐσίαν M 26 σιωπῶν M 30 βλέπων <ἄν> τις (?)

[188] μενος ὠφελοῖτο. Καὶ γὰρ ὁ φιλόσοφος ἄλλην παραδέδωκεν ἡμῖν σοφιστικὴν τέχνην, οὐχ ἵνα χρώμεθα αὐτῇ, ἀλλ' ἵνα φυλαξώμεθα· καὶ οἱ ἰατροὶ τὰ δηλητηριώδη φάρμακα ἴσασιν οὐχ ἵνα χρῶνται, ἀλλ' ἵνα φυλάττωνται· ὠφελοῦσι τοίνυν ἡμᾶς καὶ οἱ Λυσίου λόγοι εἰς τὸ μὴ χρήσασθαι αὐτοῖς.

ροα'. Εἰς δὲ τοὺς ἑτέρους] 264 E.

Τὰ ὑποδείγματα διχόθεν δεῖ λαμβάνειν, καὶ ἐκ τῶν ἡμαρτημένων λόγων ἵνα αὐτὰ φυλάττηταί τις, καὶ ἐκ τῶν κατωρθωμένων ἵνα αὐτὰ μιμῆται· Εἰπὼν οὖν περὶ τοῦ Λυσίου λόγου ὁ φιλόσοφος τοῦ ἡμαρτημένου, καὶ δείξας ὅτι ἀκέφαλος καὶ ἄτακτος καὶ ἀσαφὴς ὁ λόγος, βούλεται ἐπὶ τὸν ἑαυτοῦ λόγον τόν τε πρότερον καὶ ὕστερον ἐλθεῖν, καὶ δεῖξαι πῶς ὁ ἑαυτοῦ λόγος ὡς φωτὶ τῇ ἀληθείᾳ ἑπόμενος, καὶ εἰδὼς τὴν φύσιν ὧν μέλλει λέγειν, μετεχειρίσατο ἑκάτερον τῶν ἐναντίων λόγων, τὸν κατὰ ἔρωτος καὶ ὑπὲρ ἔρωτος. — Ἐπὶ δὲ τοὺς ἑτέρους λόγους λέγει τοὺς μετὰ ἀληθείας. — Ἦν γάρ τι ἐν αὐτοῖς· τὸ τεχνικὸν καὶ τὸ ὅπως δεῖ γράφειν.

ροβ'. Ἐναντίω που ἤστην] 265 A.

Οἱ δύο λόγοι ἐναντίοι ἦσαν· ὃ μὲν γὰρ ἔλεγεν ὅτι οὐ δεῖ τῷ ἐρῶντι χαρίζεσθαι ἐπειδὴ μεγάλων κακῶν ὁ ἐραστὴς γίνεται αἴτιος, ὃ δὲ τὰ ἐναντία ὅτι δεῖ τῷ ἐρῶντι χαρίζεσθαι καὶ μεγάλα ἀγαθὰ ἐκ τοῦ ἔρωτος γίνεται. Πῶς οὖν δύναται τὰ ἐναντία περὶ τοῦ αὐτοῦ λέγεσθαι, εἰ μή τις οἶδε τὴν φύσιν τοῦ λεγομένου, ὡς νῦν τοῦ ἔρωτος;

ρογ'. Ὤιμην σε τἀληθές] 265 A.

Ἐπειδὴ καὶ ἑκάτερος αὐτῶν μανίαν τινὰ ἔλεγε τὸν ἔρωτα· καὶ γὰρ καὶ ὁ Λυσίας ἔλεγε μὴ δεῖν χαρίζεσθαι τῷ ἐρῶντι ἐπειδὴ ὃ μὲν μαίνεται, ὃ δὲ σωφρονεῖ· καὶ ὁ Πλάτων δὲ τῇ αὐτῇ ἀρχῇ ἐχρήσατο τῇ μανίᾳ, καὶ διεῖλε τὴν μανίαν εἰς δύο, τὴν μὲν ἀνθρωπίνην, τὴν δὲ θείαν καλῶν. — Μανίας δὲ εἴδη δύο· ἣ μὲν χείρων τῶν ἀνθρωπίνων, ἣ δὲ κρείττων, ἥντινα καὶ εἰς τέσσαρα κατέτεμε. — Τῶν εἰωθότων νομίμων· οὐ γὰρ τὰ καθεστῶτα πράττει ὁ κάτοχος τῷ θεῷ γινόμενος· οὐκέτι γὰρ ἑαυτοῦ ἔστιν, ἀλλὰ ὅλος ἐπιδέδοται τοῖς θεοῖς.

13 cf. schol. ad 264 A (p. 274) : ἑτέρους λόγους· τοὺς μετ' ἀληθείας
23 ἔλεγε 231 D : cf. 244 A

NC 1 παραδέδωκεν] παρέδωκεν M 4 ἡμῖν M 5 εἰς, ε rubr. A (ex ἐπὶ ut videtur) ἑταίρους Plat. cod. B 6 δεῖ om. M 7 κατωρθωμένων] κατορθωμάτων M 8 τοῦ ἡμαρτημένου ὁ φιλόσοφος M 10 πῶς] ὅτι A[a] 11 ὡς scripsi : ἅτε libri 13 ἐπὶ] εἰς Plat. cf. 5 14 τὸ ante ὅπως om. M 15 ἐναντίω, ἐ rubr. A 18 καὶ — 19 λέγεσθαι om. EM 20 λεγομένου] ἐρωμένου EM cf. 234, 6 ἔρωτος] ἐρῶντος M cf. 205, 11 21 ᾤμην, ὤ (sic) rubr. A 25-26 μανίας δέ γε Plat. 26 καὶ om. M

[188] ροδ'. Ἀφροδίτης καὶ Ἔρωτος] 265 B.

Ἐπειδὴ ἡ Ἀφροδίτη τοῦ κάλλους ἐστιν, ὁ δὲ Ἔρως εἰς τὸ καλὸν ἀνάγει, διὰ τοῦτο ὁ Ἔρως τῆς Ἀφροδίτης ἐστὶ καὶ ἕπεται αὐτῇ, ἀνάγων εἰς τὸ κάλλος τὸ αἰσθητὸν καὶ νοητόν. Λέγομεν οὖν τὸν Ἔρωτα θείαν μανίαν ἐξ ἀναμνήσεως τῶν αἰσθητῶν καλῶν εἰς ἀνάμνησιν ἐρχομένην τοῦ αὐτοκάλου.

ροε'. Καὶ οὐκ οἶδ' ὅπῃ τὸ ἐρωτικόν] 265 B.

Ἔνθα ἔλεγεν « ἔοικέ τῳ δὴ ξυμφύτῳ δυνάμει, » καὶ τὰ ἑξῆς, ὅπου πτερὰ καὶ τοῖς ἵπποις καὶ τῷ ἡνιόχῳ ἐδίδου, διὰ μύθου τινὸς καὶ πλάσματος
p. 189 τὸ ἐρωτικὸν πάθος ἀπεικάζων· διὰ δὲ τὴν ἀναγωγὸν δύναμιν | τοῦ Ἔρωτος πτεροῖς αὐτὸν ἀπείκασε. — Τὸ δὲ οὐκ οἶδ' ὅπῃ εἶπεν, ἐπειδὴ ὁ ἐνθουσιῶν φέρεται ὡς ἂν ὁ θεὸς ἐθέλῃ.

ρος'. Ἴσως μὲν ἀληθοῦς τινος ἐφαπτόμενοι] 265 B.

Ὅταν περὶ τῶν νοητῶν καὶ θείων πραγμάτων διαλεχθῶμεν. — Τὸ δὲ ἴσως δύναται μὲν καὶ ὡς μετριάζων εἰπεῖν· ἤγουν διὰ τοῦτο <τὸ>
f° 81 v° ἀπεικάζοντες τὸ ἴσως εἶπεν, ἐπειδὴ πᾶσα ἡ περὶ ἡμᾶς | ἐνέργεια εἰκών ἐστιν ἐκείνης τῆς ἐνεργείας.

ροζ'. Τάχα δ' ἂν καὶ ἄλλοσε παραφερόμενοι] 265 B.

Ἐπειδὴ καὶ τότε τὰς ἀποπτώσεις τοῦ ἔρωτος εἶπε. — Τὸ δὲ κεράσαντες τὸν ἀληθῆ λόγον δηλοῖ διὰ τούτου τοῦ μυθικοῦ πλάσματος· τουτέστι δι' ὑπονοιῶν τὰ περὶ τοῦ ἔρωτος καὶ τῆς ψυχῆς διηγησάμενοι καὶ ποιησάμενοι τὴν ἀφήγησιν διὰ μύθων καὶ αἰνιγμάτων, ὥσπερ καὶ οἱ θεολόγοι διὰ μύθων τὰ τῶν θεῶν διηγούμενοι. — Προσεπαίσαμεν δὲ ἀντὶ τοῦ ἐπαίξαμεν· λέγει δὲ ὑμνήσαμεν. — Τὸν δὲ Ἔρωτα δεσπότην εἶπεν, ἐπειδὴ ὁ ἐνθουσιῶν ὅλον ἑαυτὸν ὡς δεσπότῃ ἐπιδίδωσι τῷ θεῷ.

ροη'. Καλῶν παίδων ἔφορον] 265 C.

Ὁ γὰρ Ἔρως τῶν καθαρῶν καὶ νεοτελῶν ψυχῶν ἡγεμών ἐστι· διὰ δὲ τῶν παίδων τὸ καθαρὸν ἐνεδείξατο τῶν ψυχῶν.

ροθ'. Τόδε τοίνυν αὐτόθεν] 265 C.

Βούλεται ἐπὶ τὴν ἀντιπαράθεσιν ἐλθεῖν καὶ τὴν ὁριστικὴν καὶ διαιρετικὴν

7 ἔλεγεν 246 A

NC 1 Ἀφροδίτης, ἀ rubr. A 5 ἀναμνήσεως corruptum ex ἀνάμνησιν : fort. leg. αἰσθήσεως αὐτοκαλοῦ libri ut solent 6 καί, κ rubr. A 7 ἔοικέ τῳ (post emend) A ἐοικέτω M : cf. 122, 15; 126, 28 10 ἀπείκαζε M 12 ἴσως rubr. A 14 ἤγουν] ἢ M τὸ addidi 15 τὸ scripsi : ὃ A: om. M 17 τάχα, τ rubr. A 18 τότε om. M 19 δῆλον A²E 25 καλῶν, κ rubr. A 28 τόδε, τ rubr. A

[189] μέθοδον· καὶ ἡ ῥητορικὴ δὲ κατὰ Ἀριστοτέλην ἀντίστροφός ἐστι τῇ διαλεκτικῇ, τουτέστι περὶ τὰ αὐτὰ στρεφομένη καὶ ἰσόστροφος· καὶ γὰρ τὴν ὕλην ἔχουσι τὴν αὐτὴν καὶ ἐνδόξοις κέχρηνται ἐπιχειρήμασι καὶ δυνάμεις λέγονται καὶ εἰς τὰ ἀντικείμενα ἐπιχειροῦσι. Καὶ κατὰ Πλάτωνα δὲ κέχρηται τῇ ὁριστικῇ καὶ διαιρετικῇ μεθόδῳ ὁ ῥήτωρ· πῶς γὰρ δυνάμεθα ἀπὸ τοῦ ψέγειν τὸν ἔρωτα ἐπὶ τὸ ἐπαινεῖν ἐλθεῖν, μὴ γνόντες τὴν φύσιν τοῦ λεγομένου;

ρπ΄. Ἐμοὶ μὲν φαίνεται τὰ ἄλλα] 265 C.

Τὰ περὶ τοῦ ἔρωτος μετρίως πεπαῖχθαι καὶ ἐξυμνῆσθαι. — Τὸ δὲ τούτων δὲ λέγει τὴν διαιρετικὴν καὶ τὴν ὁριστικήν. — Τὸ δὲ ἐκ τύχης ῥηθέντοιν· ὥσπερ ἀνωτέρω εἰς Πᾶνα καὶ Νύμφας καὶ Μούσας ἀνετίθει τὸν λόγον, οὕτω καὶ νῦν εἰς τύχην ἀνάγει τὸν λόγον.

ρπα΄. Τέχνῃ λαβεῖν] 265 D.

Ἵνα τεχνικῶς τις διέλῃ πρῶτον εἰς δύο (πρώτη γὰρ αὕτη διαίρεσις ἡ εἰς δύο) καὶ εἴπῃ τοῦ ζῴου τὸ μὲν λογικόν, τὸ δὲ ἄλογον, καὶ μὴ εἴπῃ τὸ μὲν ἄνθρωπος, τὸ δὲ κύων, τὸ δὲ ἄπουν· ἤγουν εἴδη καὶ ἄτομα, ἢ διαφορὰς καὶ εἴδη, ἤ τι τοιοῦτον· ἀλλὰ δεῖ τὸ σύνεγγυς λαβεῖν καὶ χρήσασθαι τῇ ὁριστικῇ καὶ διαιρετικῇ μεθόδῳ δεόντως· τοῦτο γὰρ ἐπιστήμονός ἐστιν.

ρπβ΄. Εἰς μίαν ἰδέαν] 265 D.

Τουτέστιν ὁρίσασθαι τὰ διαιρεθέντα· οἱ γὰρ ὁρισμοὶ τῶν εἰδῶν εἰσιν. Τὰ δὲ πολλαχῇ διεσπαρμένα πῶς εἰς ἓν δεῖ ἄγειν ἀνωτέρω ἐξηγήσατο ἔνθα φησὶ τὸ « ἐκ πολλῶν ἰὸν αἰσθήσεων » καὶ τὰ ἑξῆς, δῆλον ποιῶν τοῖς ἀκούουσι περὶ οὗ διαλέγεται· ὥστε καὶ εἰς τὴν φράσιν ἐγκαλεῖ τῷ Λυσίᾳ ὅτι ἀσάφειαν ἐποίησε τῷ λόγῳ, μὴ εἰπὼν περὶ τίνος διαλέγεται.

ρπγ΄. Ὥσπερ τανῦν δή] 265 D.

Ὥσπερ ἐπὶ τοῦ προκειμένου ὑποδείγματος, περὶ ἔρωτος. — Τὸ δὲ εἴτε εὖ εἴτε κακῶς ἐλέχθη, τουτέστιν εἴτε ἐπιτυχῶς εἴτε φαύλως εἴπομεν· « ὅπερ ἦν τῆς τέχνης ἐποιήσαμεν καὶ κατὰ τὴν τέχνην ὡδεύσαμεν, διὸ καὶ τὸ σαφὲς καὶ ὁμολογούμενον ἔσχεν ὁ ἐμὸς λόγος· εἰπὼν γὰρ

1 Ἀριστοτέλην *Rhet.* A 1, 1354 *a* 1 11 ἀνωτέρω 265 B 21 ἀνωτέρω 249 B

TIT 1 πῶς ἡ ῥητορικὴ ἀντίστροφος τῇ διαλεκτικῇ κατ' Ἀριστοτέλη C

NC 4 κέχρηται om. M 5 διαιρετικῇ καὶ ὁριστικῇ M 8 ἐμοί, ἐ rubr. A τἄλλα M : τὰ μὲν ἄλλα Plat. 9 πεπαῖχθαι (ex πεπαίχθαι) A : πεπρᾶχθαι M : πεπαῖσθαι Plat. cod. T : πεπέσθαι cod. B 11 ῥηθέντων Plat. ὥσπερ] ὡς M 13 τέχνῃ, τ rubr. A 14 parenth. om. EM 15 εἴποι A 19 εἰς, εἰ rubr. A 23 ὥστε — 24 διαλέγεται om. EM 25 ὥσπερ, ὦ rubr. A τανῦν δή] τὰ νυνδὴ Plat. : τὸ νυνδὴ SCHANZ 27 εἴτ' εὖ Plat.

[189] τὸν ἔρωτα μανίαν, διεῖλον τὴν μανίαν εἰς ἀνθρωπίνην καὶ θείαν, καὶ τὰ πρόσφορα ἑκατέρᾳ ἁρμόσας σαφῆ ἐποίησα τὸν λόγον, καὶ τὸν τῆς ἀντιπαραθέσεως καὶ ἀντιγραφῆς καὶ τὸν τῆς παλινῳδίας.» Θεωρητικώτερον δὲ τὸ εὖ ἐπὶ τοῦ ὀρθοῦ ἔρωτος, τὸ δὲ κακῶς ἐπὶ τοῦ ἀκολάστου.

ρπδ'. Τὸ πάλιν κατ' εἴδη] 265 E.

Τὸ ἓν εἶδος εἰπὼν τὸ ὁριστικὸν, ὅτι δεῖ τὰ πολλὰ εἰς ἓν συνάγειν καὶ ὁρίζεσθαι, τὸ διαιρετικὸν βούλεται εἰπεῖν, τὸ δεῖν τὸ ἓν εἰς πολλὰ διαιρεῖν, οἷον τὸ γένος εἰς εἴδη, καὶ πάλιν ἐπιδιαιρεῖν κατὰ τὴν φυσικὴν διαίρεσιν
f° 82 r° πρῶτον εἰς δύο, εἶθ' οὕτως εἰς τρία | ἢ τέσσαρα, ὅπως ἂν ἀπαιτῇ ὁ λόγος, καθάπερ καλὸν μάγειρον κατ' ἄρθρα τέμνοντα καὶ διαιροῦντα, καὶ μὴ κατὰ τὸν ἀφυῆ μάγειρον συγκλῶντα τὰ μέρη.

ρπε'. Τὸ μὲν ἄφρον τῆς διανοίας] 265 E.

Τὴν μανίαν λέγει, ἀλλὰ ὃ μὲν κατὰ τὸ χεῖρον τῆς φρονήσεως ὁ τὴν ἀν-
p. 190 θρωπίνην μανίαν ἔχων, ὃ | δὲ κατὰ τὸ κρεῖττον ὁ κάτοχος τῷ θεῷ ἄφρων λέγεται.

ρπς'. Ὥσπερ δὲ σώματος ἐξ ἑνός] 266 A.

Ὥσπερ ἡ φύσις τισὶ δύο διαστήμασι διεῖλε τὰ ζῷα, τὰ μὲν δεξιὰ, τὰ δὲ ἀριστερὰ ποιήσασα, καὶ ἑκάτερον τῶν μορίων τοῖς αὐτοῖς ὀνόμασι καλεῖται, οἷον ὀφθαλμὸς καὶ ὀφθαλμὸς, χεὶρ καὶ χεὶρ, πλὴν ὅτι ἣ μὲν δεξιὰ, ἣ δὲ ἀριστερὰ, οὕτως καὶ αὕτη ἡ παραφροσύνη καὶ μανία διττὴ οὖσα, ἣ μὲν ἐπὶ τὰ ἀριστερὰ, ἣ δὲ ἐπὶ τὰ δεξιὰ ἔνευσεν. Ἀπὸ τῶν Πυθαγορείων δὲ ὁ Πλάτων ὠφεληθεὶς τὰς συστοιχίας οὕτως ἔλαβεν ἐνταῦθα. — Ὁ μὲν τὸ ἐπ' ἀριστερά· ὁ τῆς ἀντιγραφῆς, ὁ κατὰ ὁμοιότητα τοῦ Λυσίου λόγου, ὃν ἐλοιδόρησε λέγων ἄπιστος ἀβέβαιος, ἃ εἶπε περὶ τοῦ αἰσχροῦ ἔρωτος. — Ὁ δ' εἰς τὰ δεξιά· λέγει δὲ τὸν τῆς παλινῳδίας. — Ὁμώνυμον, ἐπειδὴ καὶ οὗτος ἔρως καὶ ἐκεῖνος.

ρπζ'. Τούτων δὴ ἔγωγε] 266 B.

Δείξας ὅτι τὸν μέλλοντα λέγειν ἢ γράφειν τι [ὅτι] δεῖ εἰδέναι τὴν ἀλήθειαν τοῦ πράγματος, ἔπειτα ὅτι δεῖ ὁριστικὸν εἶναι καὶ διαιρετικὸν, ὧν οὐδὲν ἐποίησεν ὁ Λυσίας, λοιπὸν ἐξυμνεῖ τὴν διαλεκτικὴν, τουτέστι τὴν

21 Πυθαγορείων cf. Arist. *Eth. Nic.* I 4 (cf. p. 128, 15) 24 cf. 240 E

TIT 28 ὕμνος τῆς διαλεκτικῆς C

NC 1 θείαν A 3 τὸν παλινῳδίας, om. τῆς M 5 τὸ, τ rubr. A 11 κατὰ τὸν] καθὰ πὸν A[a] 12 τὸ, τ rubr. A 14 τῷ θεῷ] τῶν θεῶν M 16 ὥσπερ, ὦ rubr. A 22 οὕτως] οὕτω καὶ A[a] 23 ἀριστερᾷ Plat. cod. T 25 εἰς τὰ δεξιά] ἐν δεξιᾷ Plat. (δεξια cod. B) 26 καὶ ante ἐκεῖνος om. M 27 τούτων, τ rubr. A 28 μέλλοντα] μέλλον A γράφειν ἢ λέγειν EM ὅτι ante δεῖ om. M : seclusi

[190] διαιρετικήν· τοῦτο δὲ καὶ ἐν Φιλήβῳ καὶ ἐν Πολιτικῷ ποιεῖ, λέγων ὅτι δῶρον ἐκ θεῶν εἰς ἀνθρώπους διὰ Προμηθέως ἐδόθη ἡ διαιρετική, καὶ ἐν Σοφιστῇ δὲ ἀμφιβληστρικῷ ὀργάνῳ ἀπεικάζει αὐτήν. Οὐ γὰρ δυνατὸν ἔχειν ἐπιστήμην πραγμάτων ἄνευ τῆς διαιρέσεως.

ρπη'. Εἰς ἓν καὶ ἐπὶ πολλά] 266 B.

Τουτέστι « τὸν δυνάμενον τὴν φύσιν τῶν πραγμάτων κατιδεῖν μεταδιώκω ὡς θεόν. » Διαλεκτικοὺς δὲ καλεῖ οὐ τοὺς εἰδότας μόνον τοὺς περὶ ἡμᾶς λόγους, ἀλλὰ τοὺς δυναμένους τὰ νοητὰ εἴδη εἰς πολλὰ διαιρεῖν καὶ εἰς ἓν ἀνάγειν, τουτέστι τοὺς τὴν τῶν ἰδεῶν ἑκάστην διακρίνοντας.

ρπθ'. Τανῦν δὲ παρὰ σοῦ τε] 266 C.

Πληρώσας τὰ περὶ τῆς ἀληθοῦς ῥητορικῆς, μέλλει εἰσβάλλειν εἰς τὰ τῆς δημώδους, καὶ ἱστορία ὀνομάτων καὶ καταρίθμησίς ἐστι τῶν λεγομένων κεφαλαίων τῆς ῥητορικῆς τὰ ἑξῆς λεγόμενα. Μετὰ δὲ ταῦτα πάλιν ὕστερον τῆς ἀληθινῆς ῥητορικῆς μέμνηται, πανταχόθεν δεῖξαι τὸ κράτος τῆς ἀληθοῦς ῥητορικῆς βουλόμενος. Νῦν οὖν ἐρωτᾷ τί χρὴ καλεῖν τὴν ῥητορικήν· μὴ ἄρα ἐν τούτῳ πᾶσά ἐστιν ἡ τέχνη τῆς ῥητορικῆς ἐν τῷ ἐκτίθεσθαι προοίμια, διηγήσεις καὶ πάντα ἃ καταριθμεῖται;

ρϟ'. Σοφοὶ μὲν αὐτοί] 266 C.

Σοφοὺς καλεῖ ἢ ἐν ἤθει, ἢ ὡς περὶ λόγους ἔχοντας καὶ ἐκπεφευγότας τὰς βαναύσους τέχνας, ἢ ὡς ἐπιστήμονας τέχνης. — Τὸ δὲ δωροφορεῖν διαβάλλει αὐτῶν τὸ φιλοχρήματον, ὅτι τὰς ἐπιδείξεις τῶν λόγων οὐκ ὠφελείας τῶν νέων οὐδὲ τῆς ἀληθείας ἕνεκα, ἀλλὰ χρημάτων ποιοῦνται. |

f°82v° ρϟα'. Βασιλικοὶ μὲν ἄνδρες] 266 C.

Ἢ ὅτι οἱ ἄλλοι πάντες ἐπέχουσιν ἑαυτῶν τὰ ὦτα, ἵν' ἀκούσωσι τῶν ῥητόρων, ἢ ὡς ἄγοντες καὶ φέροντες τὸν δῆμον καὶ τὰ τῆς πόλεως. — Τὸ δὲ ἐπιστήμονές γε ὧν ἐρωτᾷς· τῆς διαλεκτικῆς λέγει. Τὸ δὲ τοῦτο μέν· « τὰ γὰρ εἰρημένα, φησί, τὸ ὁριστικόν, τὸ διαιρετικόν, τὸ ἀληθές, οὐκ εἰσὶν ἴδια τῆς ῥητορικῆς, ἀλλὰ τῆς διαλεκτικῆς· διὸ οὐκ εἴπομέν τι περὶ ῥητορικῆς. »

1 *Phil.* 16 C   Πολιτικῷ (vid. NC) fort. 274 C   3 *Soph.* 235 B

NC 1 Πολιτικῷ scripsi cum nihil de Prometheo in libris *de Republica* invenerim : Πολιτείᾳ libri   4 τῆς om. M   5 εἰς rubr. A   9 ἰδεῶν Ast : εἰδῶν libri   10 τανῦν, τ rubr. A (τὰ νῦν δὲ Plat. cod. T : τὰ δὲ νῦν cod. B)   16 ἔστι πᾶσα M   18 σοφοί, σο rubr. A   μὲν M Plat. : μὲ A   19 fort. ἢ καὶ ὡς A   22 ἕνεκα ἀλλὰ scripsi : ἀλλὰ ἕνεκα libri   23 βασιλικοί, β rubr. A   25 ὡς] ὅτι A[a]   26 οὐκ ante ἐπιστήμονες addidit a supra versum   τοῦτο μὲν] ῥητορικὸν EM   28 διὸ οὐκ] διὰ τοῦτο A[a] : post ῥητορικῆς prima manus iterum scripserat διὸ (δι rubr.) οὐκ εἴπομέν τι περὶ ρ, et delevit

[190] ρϟβʹ. Καλόν πού τι ἂν εἴη] 266 D.

Καὶ τί ἐστι καλὸν ὃ τούτων ἀπολειφθὲν τῶν εἰρημένων, ἀληθείας καὶ ὁρισμῶν καὶ διαιρέσεως, δύναται τέχνη λαμβάνεσθαι; Ἤγουν ἐν ἤθει· « ὡς ἔοικε, καλόν ἐστι τοῦτο ὃ ἀπολειφθὲν τῶν εἰρημένων ὅμως τέχνη λαμβάνεται· ἐπειδὴ οὖν λέγεις καλὸν αὐτὸ, οὐκ ἀτιμαστέον, ἀλλὰ ἐξετάσαι δεῖ εἰ ἀληθῆ λέγεις, καὶ δύναται ἄνευ τῶν εἰρημένων λαμβανομένη τέχνη εἶναι, λεκτέον δὲ εἰ δύναται ὅλως τέχνη εἶναι τούτων ἀπολειπομένη. »

ρϟγʹ. Τί μέντοι καὶ ἔστιν] 266 D.

Ἐπειδὴ εἶπεν ὅτι τὰ εἰρημένα τῷ διαλεκτικῷ ἁρμόζει, τῷ δὲ ῥητορικῷ
p. 191 οὐδαμῶς, διὰ τοῦτό φησιν « ἴδωμεν τί | ποτέ ἐστι τὸ λειπόμενον τῆς ῥητορικῆς ἧς σὺ λέγεις. » Ὁ δὲ νοῦς πάντων τῶν ἑξῆς λεγομένων οὗτός ἐστιν, ὅτι τὰ προοίμια καὶ αἱ διηγήσεις καὶ αἱ πίστεις καὶ πάντα τὰ ῥητορικὰ κεφάλαια καὶ ἡ τῶν ὀνομάτων θήρα οὐκ ἔστι τέχνη, ἀλλὰ τὰ πρὸ τῆς τέχνης, ἀλλὰ τέχνη ἐστὶ τὸ τάξαι ταῦτα καὶ δύνασθαι αὐτοῖς δεόντως χρήσασθαι. Οὐκ ἔστιν οὖν ἡ τῶν κεφαλαίων καταρίθμησις ἡ ῥητορικὴ τέχνη, ἀλλὰ τὸ δύνασθαι καλῶς τοῖς κεφαλαίοις εἰς τὸ χρήσιμον ἢ ἐπωφελὲς <χρῆσθαι>.

ρϟδʹ. Καὶ καλῶς γ' ὑπέμνησας] 266 D.

Καταλέγει λοιπὸν τὰ λεγόμενα τεχνικὰ κεφάλαια. Τὸ δὲ προοίμιον ταύτην ἔχει τὴν δύναμιν προσεχῆ ποιεῖν τὸν ἀκροάτην, τὴν ὅλην σαφήνειαν ἔχοντα τοῦ πράγματος, ὅπερ Σωκράτης ἐποίησεν· ὁ δὲ Λυσίας οὐδὲν σαφὲς ἐν προοιμίοις εἶπεν· ἑκάτερος οὖν αὐτῶν προοίμιον μὲν ἔλαβε, τὴν δὲ χρῆσιν διάφορον ἐποιήσαντο· ὁ μὲν γὰρ Σωκράτης οἰκείως ἐχρήσατο τῷ προοιμίῳ σαφηνίζων τὸ πρᾶγμα, ὁ δὲ Λυσίας ἐναντίως.

ρϟεʹ. Ταῦτα λέγεις ἦ γάρ;] 266 D.

Ἐν ἤθει λέγει ὁ Σωκράτης ὅτι ταῦτα, φησὶ, λέγεις τὰ πιθανὰ τῆς τέχνης; — Τὸ δὲ μαρτυρίας τ' ἐπ' αὐτῇ· μαρτυρίας λέγει... τὰς ἀτέχνους πίστεις λεγομένας, οἷον· « ἐφόνευσας· παρῆσθα γὰρ τῷ νεοσφαγεῖ σώματι » καὶ τὰ ὅμοια. — Εἰκότα δὲ λέγει τὰ πιθανά. — Πίστωσιν <δὲ> καὶ ἐπιπίστωσιν λέγει τὸ ἐπὶ ἀποδείξει ἑτέραν ἀπόδειξιν ἐπαγα-

TIT 28 προοίμιον διήγησις μαρτυρία τεκμήριον εἰκότα πίστωσις ἐπιπίστωσις C

NC 1 καλόν, κ rub. A 2 ὃ post διαιρέσεως reportavit a 3 καὶ om. ME 9 τί μέντοι, τί μέν rubr. A ἔστι Plat. 14 πρὸ] πρὸς M 18 χρῆσθαι addidit Ast (verisimilius post δύνασθαι reponas) 19 καί, κ rubr. A γε M Plat. 23 προοιμίῳ (?) 24 ἐποιήσατο M 26 ταῦτα, τ rubr. A 28 τε M supple μαρτυρίας λέγει <... — Τεκμήρια δὲ λέγει> τὰς κτλ. (cf. TIT) 30 πίστωσιν καὶ om. M 31 δὲ addidi

[192] ρϟθ'. Τὸ δὲ δὴ τέλος τῶν λόγων] 267 D.

Τοὺς ἐπιλόγους θέλει εἰπεῖν, ὅ τινες ἐπάνοδον, οἱ δὲ ἀνακεφαλαίωσιν f°83 v° ὀνομάζουσι. | Τοῦτο δὲ βούλονται οἱ ἐπίλογοι, εἰς μνήμην ἀγαγεῖν τοὺς ἀκούοντας διὰ βραχέων τῶν διὰ πολλῶν καὶ μακρῶν εἰρημένων.

σ'. Ταῦτα δὲ ὑπ' αὐγάς] 268 A.

Λοιπὸν ἐπεξέλθωμεν τὰ εἰρημένα τῆς σεμνῆς ῥητορικῆς εἴ γε ἄξιά εἰσιν εἰς λόγων τέχνην τάττεσθαι. Τὸ δὲ ὑπ' αὐγὰς ἴδωμεν λέγει τὸ ἀνασκοπήσωμεν τίνα ἔχει τὴν δύναμιν.

σα'. Διεστηκὸς αὐτῶν τὸ ἠτρίον] 268 A.

Ἠτρίον λέγεται τὸ εὐυφὲς ἱμάτιον καὶ ἀραιόν, ὅπερ φαίνεται μὲν εὐυφές, τῷ δὲ κατανοοῦντι διεστηκός ἐστι καὶ ἀραιὸν καὶ οὐκ εὐπαγές, ἀλλὰ ταχέως διαρρηγνύμενον. Ὅρα οὖν, φησί, μὴ καὶ ταῦτα τὰ θεωρήματα φαίνεται μὲν τεχνικά, κατὰ δὲ τὸ ἀληθὲς κενά ἐστι τῆς τέχνης· μεταφέρει δὲ ἀπὸ τῶν ἐκτὸς τὸν λόγον ἐπὶ τὴν ψυχήν, ὡς ἂν εἴποι τις « ὅρα μὴ τὸ ψυχάριον αὐτῶν διεστηκός ἐστι καὶ οὐδὲν βέβαιον οὐδὲ ὑγιὲς ἔχει, » ἵνα τὸ ἠτρίον τὸ ψυχάριον εἴπῃ.

σβ'. Εἰπὲ δή μοι] 268 A.

Ἤδη μὲν τὰ περὶ τῆς ἀληθοῦς καὶ καθ' αὑτὸ ῥητορικῆς διηγήσατο ὁ φιλόσοφος, διδάσκων ὅτι ὀφείλει εἰδέναι τὸ ἀληθὲς τοῦ πράγματος ὁ ῥήτωρ, ἵνα δύνηται διὰ τῶν πιθανῶν πείθειν· ἔπειτα ὀφείλει χρῆσθαι τῇ διαιρετικῇ καὶ ὁριστικῇ, ἵνα δύνηται τοὺς περὶ τῶν ἐναντίων λόγους λέγειν, καὶ μεταβαίνειν ἀπὸ τῶν ἐναντίων ἐπὶ τὰ ἐναντία, εἰδὼς τὰς διαφορὰς αὐτῶν καὶ τὰς ἑτερότητας· ὀφείλει δὲ καὶ τὰς κοινωνίας εἰδέναι ἵνα δύνηται καὶ ὁρίζεσθαι. Ταῦτα εἰπών, ἐρωτᾷ τὸν Φαῖδρον εἰ τοῦτο ἔστιν ἡ ῥητορική. Ὁ δέ φησιν οὐκ ἀκηκοέναι ταύτην εἶναι ῥητορικὴν ἀλλὰ ἥν φασιν οἱ τεχνογράφοι τὴν ἔχουσαν προοίμιον, διήγησιν, καὶ ὅσα κατηριθμήσατο· ἅπερ ἀκούσας ὁ φιλόσοφός φησιν « ἴδωμεν εἰ καὶ σοὶ φαίνεται διεστηκὸς αὐτῶν τὸ ἠτρίον ὥσπερ ἐμοί, τουτέστι πότερον τἀληθῆ τῶν πραγμάτων εἰρήκασιν ἢ φαινομένην ἔχουσιν ἀκολουθίαν. » Εἶτα διὰ τριῶν παραδειγμάτων,

10 ἠτρίον — 12 διαρρηγνύμενον jam edid. RUHNK. *ad Tim.* p. 98 ex P τὸ — ἀραιὸν = schol. 268 A (ibid.)

TIT 2 ποία τῶν ἐπιλόγων ἡ χρεία C 10 ἠτρίον τὸ εὐυφὲς (cod. εὐφυές cf. NC) ἱμάτιον καὶ ἀραιόν· εἴρηται δὲ μεταφορικῶς (cod. μεταφρονικῶς) C[1]

NC 1 τὸ, τ rubr. A 5 ταῦτα, τα rubr. A ὑπ' αὐγὰς μᾶλλον ἴδωμεν Plat. cod. T : ὑπαύγασμα καλὸν ἴδωμεν cod. B 9 διεστηκὸς, δι rubr. A ἤτριον M Plat. 10 ἤτριον M (id. 16 et 28) εὐφυὲς semel A, bis MP (jam correxerat AST post RUHNK.) 13 ἐστι M : εἰσι A 14 τὸν λόγον] λόγων M 17 εἰπὲ, ει rubr. A (εἴπερ Plat. cod. B) 26 post προοίμιον sign. rel. in A, sed nihil in margine ὅσα] ἃ M 27 ἰδὲ καὶ σὺ εἰ ἄρα καὶ σοὶ κτλ. Plat. καὶ om. M 28-29 εἰρήκασι A

[192] ἰατρικῆς, ποιητικῆς, ἁρμονικῆς, βούλεται ἀναιρεῖν τὰ λεγόμενα καὶ δεῖξαι ὅτι τὰ προοίμια καὶ αἱ διηγήσεις καὶ πάντα ἃ κατηριθμήσατο τὰ πρὸ τῆς τέχνης ἐστὶν ἀναγκαῖα μαθήματα, αὐτὴ δὲ ἡ ῥητορικὴ τέχνη οὐκ ἔστιν.

σγ'. Καὶ ἄλλον ποιεῖν ἰατρόν] 268 B.

Ἰατρὸν, ἐπειδὴ διττόν ἐστι τὸ τέλος ἑκάστης τέχνης, τὸ μὲν ἀποτέλεσμα τὸ ὑγείαν περιποιῆσαι, τὸ δὲ καὶ ἄλλον διδάξαι καὶ ποιῆσαι ἰατρὸν, ὅπερ κυριώτερόν ἐστι τῆς τέχνης, ἐπειδὴ ὑγείαν μὲν καὶ ἰδιώτης δύναται περιποιῆσαι, διδάξαι δὲ ὁ ἰατρὸς μόνος δύναται. Διὰ τοῦτο τὰ δύο τέλη εἶπε τῆς τέχνης.

σδ'. Τί δ' ἄλλο γε ἢ ἐρέσθαι] 268 B.

Ὡς ἂν εἴποι ὅτι τὸ ταῦτα μόνον ἔχειν ἢ εἰδέναι οὐκ ἔστιν ἰατροῦ, ἀλλὰ
p. 193 ἡ τοιάδε χρῆσις τῶν φαρμάκων | ὅταν καὶ εὐκαίρως προσφέρηται τὸ φάρμακον καὶ κατάλληλον ᾧ προσφέρεται· τὸ γὰρ αὐτὸ φάρμακον τὸν μὲν βλάπτει, τὸν δὲ ὑγιῆ ποιεῖ· καὶ ἁπλῶς ὅταν, κατὰ τὸν θεῖον Ἱπποκράτην, ὁ ἰατρὸς φυλάττηται καὶ ὥρην καὶ χώρην καὶ ἡλικίην καὶ νόσους καὶ μὴ
f° 84 r° ὡς ἔτυχε χρῆται τοῖς βοηθήμασιν ἀλλὰ εὐκαίρως | καὶ οἷς δεῖ καὶ ὅτε καὶ ὁπόσον δεῖ. — Τὸ δὲ ὅτι μαίνεται ἄνθρωπος· τῷ γὰρ ὄντι μανία ἐστὶν οἷς μὴ οἶδέ τις ἐγχειρεῖν. — Οὐδὲν ἐπαΐων τῆς τέχνης, ἐπειδὴ ἡ τέχνη καὶ καιροὺς καὶ μέτρα καὶ φύσιν καὶ τὰ τοιαῦτα οἶδεν.

σε'. Τί δὲ εἰ Σοφοκλεῖ] 268 C.

Τὸ ἕτερον παράδειγμα βούλεται εἰπεῖν. Ὅταν τε βούληται οἰκτρὰς καὶ τοὐναντίον καὶ αὖ φοβεράς· περὶ γὰρ τὰ τοιαῦτα πάθη ἔχουσιν αἱ τραγῳδίαι. — Τὸ δὲ σύστασιν πρέπουσαν ἀλλήλοις τε καὶ τῷ ὅλῳ, τουτέστιν ἵνα ἓν ὕφος καὶ τάξιν ἔχῃ ὁ λόγος· καὶ ἐν Πολιτείᾳ τοιοῦτόν τί φησιν· εἴ τις λέγοι τῷ ζωγράφῳ ὅτι τῷ καλλίστῳ τῶν μερῶν τοῦ σώματος τουτέστι τῷ ὀφθαλμῷ τὸ κάλλιστον τῶν χρωμάτων τὸ χρυσοειδὲς δεῖ προσάπτειν, εἴποι ἂν πρὸς αὐτὸν ὁ ζωγράφος ὅτι « ἔοικας γραφικὴν μὴ εἰδέναι· οὐ γὰρ τὸ κάλλιστον τῶν χρωμάτων δεῖ προσάπτειν τῷ ὀφθαλμῷ, ἀλλὰ τὸ ἁρμόζον. »

14 Ἱπποκράτην nescio ubi 24 *Rep.* IV 420 CD

TIT 5 διττὸν τὸ τέλος ἑκάστης τέχνης C 24 ἐκ τῶν Πολιτειῶν C

NC 2 ἂν κατευριθμήσατο DE (corr. in marg.) 3 καὶ αὐτὴ M 4 καὶ κ rubr. A ἰατρόν om. Plat. 6 περιποιῆσαι] ποιῆσαι M καὶ ante ἄλλον om. M 7 περιποιῆσαι] ποιῆσαι M 8 ὁ om. M 10 τί, τ rubr. A δ' ἄλλο γε] γε ἄλλο Plat. cod. B ἔρεσθαι libri 12 τῶν ex τοῦ A 13 κατάλληλα M τὸ μὲν... τὸ δὲ M 14 ὑγιᾶ M 15 ἡλικίαν M 17 ὁπόσου M μαίνεται A μαίνηται a 19 καὶ post τέχνη om. M 20 τί, τ rubr. A δ' εἰ Plat. cod. T : δεῖ cod. B 22 καὶ ante αὖ om. Plat. cod. W γὰρ om. M 23 τρέπουσαν Plat. cod. B 25 λέγει M 27 ἔοικε M 28 οὐ scripsi : οὐδὲ libri

[193] σϛ'. Ἀλλ' οὐκ ἂν ἀγροίκως] 268 D.

Τουτέστι δικαίως. — Λοιδορήσειαν ἀλλ' ὥσπερ ἂν μουσικός· τὸ τρίτον ὑπόδειγμα λέγει, ὅτι οὐκ ἔστι τοῦτο ἁρμονία τὸ ἐπιτείνειν καὶ ἀνιέναι τὰς χορδὰς, ἀλλὰ τὸ δύνασθαι ταῖς ἁρμονίαις χρῆσθαι προσφόρως καὶ δύνασθαι ὅπου μὲν καταστέλλειν τὰ πάθη, ὅπου δὲ διεγείρειν. Ἡ γὰρ μουσικὴ χρῆσίς ἐστι τοιάδε· ἐπιστήμη θεωρητικὴ καὶ πρακτικὴ τῆς τοῦ ἡρμοσμένου φύσεως προσθήκη κόσμου.

σζ'. Τί δὲ τὸν μελίγηρυν Ἄδραστον] 269 A.

Ὥσπερ ἀνωτέρω ἐπέστησεν εἰς τὰ πρὸ τῆς ἰατρικῆς καὶ ποιητικῆς καὶ ἁρμονικῆς τέχνης τοὺς ἀκριβεῖς τεχνίτας, οὕτως καὶ ἐνταῦθα τοῖς ἁπλοῖς λεγομένοις ῥήτορσιν ἐπιστᾷ τὸν Ἄδραστον καὶ τὸν Περικλέα· οὗτοι γὰρ ἐγένοντο ῥήτορες, οὐκ ὀρθοὶ μὲν οἵους λέγει Πλάτων, ἀλλὰ τῆς μέσης ῥητορικῆς, οἱ μήτε τὰ πάθη θεραπεύοντες τοῦ δήμου μήτε τοιοῦτοι οἵους φησὶν ὁ Πλάτων πρὸς ἀλήθειαν ποιούμενοι τοὺς λόγους καὶ ἀγαθοὺς καὶ καλοὺς τοὺς πολίτας...

ση'. Ἀλλὰ συγγινώσκειν] 269 B.

Τουτέστι συγγνώμην ἀπονεῖμαι τούτοις· τὰ γὰρ ἁμαρτήματα ἀκούσιά ἐστι κατὰ Πλάτωνα.

σθ'. Εἴ τινες μὴ ἐπιστάμενοι διαλέγεσθαι] 269 B.

Εἰς τὴν διαλεκτικὴν πάλιν φέρει τοὺς ῥήτορας· ἤρτηται γὰρ τῆς διαλεκτικῆς ἡ ῥητορική· αὐτὴ γὰρ ἡ διαλεκτικὴ καὶ τὰς φύσεις διαιρεῖ καὶ τοὺς λόγους. — Τὸ δὲ ἕκαστα τούτων πιθανῶς, τουτέστιν ἐν τάξει
f°84v° λέγειν καὶ συμμέτρως καὶ ὡς δεῖ. — | Ὡς οὐδὲν ἔργον ὄν· καὶ ἀφ' ἑαυτῶν δυναμένων ταῦτα λέγειν δέον μᾶλλον ταῦτα παραδοῦναι καταλείπουσι τοῖς μαθηταῖς. — Τὸ δὲ πιθανῶς λέγειν ἄνευ τοῦ ἀληθοῦς οὐκ ἐνδέχεται.

σι'. Ἀλλὰ μὴν ὦ Σώκρατες] 269 C.

Ἐπειδὴ οὐ μόνον δεῖ τὰ τῶν ἄλλων ἀναιρεῖν, ἀλλὰ καὶ τὰ ἴδια κατα-

18 Πλάτωνα *Soph.* 230 A; *Leg.* IX 861 C; *Apol.* 26 A; *Prot.* 345 D; *Tim* 87 D al.

TIT 17 τὰ ἁμαρτήματα ἀκούσια κατὰ Πλάτωνα C

NC 1 ἀλλ', ἀ rubr. A 2 λωιδωρήσειαν (*sic*) A[a] 4 ταῖς — 5 δύνασθαι om. ME 5 μὲν — ὅπου om. ME δὲ] δεῖ M 8 τί, τ rubr. A δὲ] δαὶ Plat. cod. T μελίγηρυν A (υ ι suprascr.) 11 ἐπιστᾷ : illud monstrum, ex aoristo ἐπέστησε natum, Hermiæ ipsi videtur tribuendum 15 deest verbum 16 ἀλλὰ, ἀ rubr. A συγγιγνώσκειν Plat. 17 τούτοις] τούτους M 19 εἴ rubr. A : οἵ M 23 ὡς et ὄν om. Plat. codd. BT 24 ἀφ' ἑαυτῶν] αὐτῶν ME (παρ' ἑαυτῶν Plat.) 27 ἀλλὰ, ἀ rubr. A

[193] σκευάζειν, τούτου χάριν ἐν τοῖς εἰρημένοις ἐπιδείξας ὅτι οὐκ ἔστι τέχνης ῥητορικῆς τὸ προοίμια καὶ διηγήσεις καὶ πίστεις καὶ τὰ τοιαῦτα λέγειν (ταῦτα γὰρ πρὸ τῆς τέχνης ἐστίν), ἀλλὰ τὸ ἐν τάξει καὶ ὡς δεῖ χρῆσθαι τοῖς εἰρημένοις, λαβὼν καὶ τρία παραδείγματα εἰς τὴν ἀπόδειξιν τούτου, καὶ πρῶτον τὸ τοῦ ἰατροῦ, ἔνθα ἔφη ὅτι οὐκ ἔστιν ἰατροῦ τὸ ἁπλῶς χρώμενον τοῖς φαρμάκοις καθαίρειν εἰ μὴ ἂν ὅτε δεῖ καὶ ὅσον δεῖ καὶ οἷς δεῖ καὶ τὰ ὅμοια, ἔπειτα δὲ χρησάμενος τῷ παραδείγματι καὶ τῆς ποιητικῆς καὶ ἁρμονικῆς, νῦν ὑφηγεῖται ὁποῖόν ποτ' ἐστὶ τὸ εἶδος τῆς ῥητορικῆς· διό φησιν ὁ Φαῖδρος· « κινδυνεύει τὸ τῆς ῥητορικῆς εἶδος τοιοῦτον εἶναι παρὰ τοῖς νῦν ῥήτορσιν οἷον ὑφήγησιν· ἐπειδὴ οὖν ἀληθῆ λέγεις, ὅτι τὰ πρὸ τῆς τέχνης παραδεδώκασι θεωρήματα, τὴν δὲ τέχνην ἥτις ποτ' ἐστὶν οὐ παραδεδώκασιν, εἰπὲ ἥτις ποτέ ἐστιν ἡ τοῦ ῥητορικοῦ τέχνη. »

σια'. Τὸ μὲν δύνασθαι ὦ Φαῖδρε] 269 D.

Ἐπειδὴ ὁ Φαῖδρος τὴν τοῦ ῥητορικοῦ τέχνην τοῦτο ἔλεγε τὸ ῥητορεύειν,
p. 194 διὰ τοῦτο ἐπάγει ὁ φιλό|σοφος ὅτι· « τὸ ῥητορεύειν δύνασθαί σε ποιεῖν φύσεώς ἐστι δεξιᾶς καὶ οὐχὶ ἐπιστήμονος τοσοῦτον, » καὶ λαμβάνει τρία τινά, ἅπερ ἐφ' ἑκάστης τέχνης καὶ ἐπιστήμης ἄραρε, φύσιν, ἐπιστήμην, μελέτην· εἰ μὴ γὰρ τὰ τρία συνδράμοι, οὐ δύναταί τις ἄριστος γενέσθαι κατὰ τέχνην. Φύσεως χρεία διὰ τί; ἐπειδὴ φύσεως ἀντιπραττούσης πάντα κενά. Τί δὲ εἰ φύσιν τις ἔχοι, ἐπιστήμην δὲ μή; οὐ δῆλον ὅτι ἀνεπιστήμων ὢν ὡς ἔτυχε χρήσαιτο τῇ φύσει διαπίπτων καὶ μὴ εἰδὼς ὅ τι ποιεῖ ἢ λέγει; Εἰ δὲ καὶ ταῦτα συνδράμοι, μελέτης χρεία ἵνα μὴ τῇ ἀμελείᾳ καὶ τῇ ῥᾳθυμίᾳ ἀπολέσῃ ἃ μεμάθηκε. — Τὸ δὲ ἴσως δὲ καὶ ἀναγκαῖον· τὸ ἀναγκαῖον προσθεὶς ἐκόλασε τὸ εἰκός. — Ὥσπερ τἄλλα, τουτέστιν ὥσπερ ἐπὶ πάσῃ τέχνῃ καὶ ἐπιστήμῃ δεῖ τούτων τῶν τριῶν πρὸς τὸ γενέσθαι ἄριστον τὸ ἀποτελούμενον, οὕτως καὶ ἐν τῇ ῥητορικῇ.

σιβ'. Ὅσον δὲ αὐτοῦ τέχνη] 269 D.

Τίς ῥητορικοῦ τέχνη ἐστί, καὶ ὁποία ὀφείλει εἶναι, καὶ πῶς δύναται τεχ-
f° 85 r° νικῶς ῥητορεύειν, οὐχ | ὡς ὁ Λυσίας οὐδὲ ὁ Θρασύμαχος, ἐμὸν ἔστι παραδοῦναι. — Ἀλλὰ πῆ; ἡ μέθοδος αὕτη.

5 ἔφη 268 B

NC 3 ἐστίν] εἰσίν M 5 ἔφη] φησὶν M 6 ὅσον] ὅσου M 10 ὑφήγησις M 12 εἰπὲ] εἶπερ M 13 τὸ μὲν δύ rubr. A 15 ὅτι om. M 17 ἐφ'] ἀφ' M 18 συνδράμη M : συνδράμη A (sic et 22) 20 ἔχει M ἂν ἐπιστήμων M : legendum videtur <ἂν> ἀνεπιστήμων 21 πίπτων M 22 τῇ ῥαθυμίᾳ καὶ τῇ ἀμελείᾳ M 24 τἄλλα A 27 ὅσον, ὅ rubr. A 28 τίς scripsi : τοῦ libri ὁποῖα M τεχνικὰς M 29 ὁ ante Θρασύμαχος om. M 30 παραδύεσθαι a, sed παραδοῦναι etiamnunc legitur πῆ] πῶς a, sed η etiamnunc perspicuum

[194] σιγ'. Πάντων τελεώτατος] 269 E.

Τῶν ἄλλων δημαγωγῶν λέγει. — Τὸ δὲ πᾶσαι ὅσαι μεγάλαι τῶν τεχνῶν· ἐπειδὴ ἥψατο, φησίν, ὁ Περικλῆς φιλοσοφίας, διὰ τοῦτο ἐγένετο ὑψηλόνους, συνάψας τῷ Ἀναξαγόρᾳ ὃς παντὶ τῷ κόσμῳ νοῦν ἐπέστησε, τῶν ἄλλων ἀέρας καὶ τὰ τοιαῦτα τῆς κοσμοποιίας αἴτια λεγόντων. Ἀδολέσχας δὲ ἐκάλουν οἱ παλαιοὶ τοὺς περὶ τὰ μετέωρα διατρίβοντας. Ὅρα δὲ τὴν ῥητορικὴν μεγάλην οὖσαν τέχνην πῶς μέχρι τῶν θεῶν ἀνάγει· προσφόρως γὰρ τοῖς ὑποκειμένοις πράγμασι ῥητορεύειν ὀφείλει ὁ ῥήτωρ, ὥστε ὀφείλει καὶ τὸ ἀληθὲς εἰδέναι καὶ τοῦ κόσμου ἐπεσκέφθαι τὸ μεγαλεῖον· οὐ γὰρ πᾶσαν τὴν γῆν νομίζει τὸ οὐδὲν εἶναι. Τὸ τοιοῦτον δὲ καὶ ἐν Ἀλκιβιάδῃ εἶπεν, ὅτε ἔλεγεν ὅτι « πᾶσα ἡ τῆς Ἑλλάδος ἀρχὴ οὐδέν σοι φαίνεται οὐδὲ ἡ τῶν ἐν Εὐρώπῃ βαρβάρων » καὶ τὰ τοιαῦτα.

σιδ'. Τὸ γὰρ ὑψηλόνουν] 270 A.

Τὸ καταφρονεῖν τῶν ἐνταῦθα καὶ περὶ μεγάλων ποιεῖσθαι τοὺς λόγους ἐκ ταύτης τῆς ἀδολεσχίας ἤρτηται. — Τὸ δὲ νοῦ τε καὶ ἀνοίας· πάντα γὰρ τὰ καλῶς δεδημιουργημένα ὑπὸ τὸν νοῦν ἀνέφερε, τὰ δὲ ὡς ἄλλως ὑπὸ τὴν ὕλην, ἵνα ἄνοιαν λέγῃ τὴν ὕλην καὶ τὸ κατηναγκασμένον· μᾶλλον δὲ τοῦτο λέγει ἐπὶ τὴν ἔρευναν τῶν νοητῶν καὶ ὑλικῶν πραγμάτων ἀφικόμενος.

σιε'. Ὁ αὐτός που] 270 B.

Παραβάλλει τὴν ῥητορικὴν τῇ ἰατρικῇ, καί φησιν ὅτι ἡ μὲν περὶ σῶμα ἔχει, ἡ δὲ περὶ ψυχήν, καὶ ὥσπερ ἰατρὸς ὀφείλει ἐπεσκέφθαι τὰ σώματα ἀπὸ τῶν ὅλων στοιχείων, πότερον ἁπλοῦν τὸ σῶμα ἢ σύνθετον, καὶ ἐκ τίνων καὶ πόσων (ἐν τῷ Τιμαίῳ δέ φησιν ὁ φιλόσοφος ὅτι οἱ νέοι θεοὶ δανεισάμενοι ἐκ τοῦ παντὸς συνέθηκαν ἡμῶν τὰ μόρια ἐκ τοῦ ὅλου πυρὸς καὶ ἀέρος καὶ τῶν ἄλλων λαβόντες μέρος· ὥστε ὁ ἄριστα ἐπεσκεμμένος σῶμα ἐπὶ τὰ ὅλα καὶ τὰς ἀρχὰς ὀφείλει ἀνατρέχειν· αἱ γὰρ γνώσεις ἀπὸ τῶν ἀρχῶν γίνονται), οὕτω καὶ ἐπὶ ψυχῆς δεῖ σκοπεῖν, πρῶτον μὲν εἰ μονοειδής ἐστιν ἢ τριμερής, καὶ εἰ τριμερὴς διελέσθαι τὰ μέρη τῆς ψυχῆς, καὶ οὕτως τὰ μέρη τῶν λόγων διελόντα προσαρμονίσαι [καὶ] τοῖς ἑκάστοις· εἰδέναι γὰρ δεῖ καὶ τὰ ἰδιώματα τῶν ψυχῶν· ἄλλα γὰρ ἰδιώματα Θρᾳκῶν [καὶ] ἄλλα Λακώνων, ἄλλα Ἀθηναίων· καὶ δεῖ πρὸς ἑκάστους ἁρμόζεσθαι καὶ τοὺς λόγους.

10 *Alcib.* I 105 AB 23 *Tim.* 42 E

TIT 23 τὰ ἐν τῷ Τιμαίῳ C

NC 1 πάντων, π rubr. A 2 τὸ δὲ om. M 5-6 ἀδολεσχίας M unde Ast: « *deesse videtur* ἀδολέσχας » 10 εἶναι] εἰδέναι M δὲ om. M 11 ὅτε] ὅτι M 12 ἐν om. M 13 τὸ, τ rubr. A 18 καὶ τῶν ὑλικῶν M 19 ὁ αὐτός που rubr. A 21 ὁ ἰατρὸς M 22 ὅλων] ἄλλων M 25 ἀέρος Ast ex Plat.: μέρους libri ἄλλων] ὅλων M 29 προσαρμονίσαι scripsi: πρὸς ἁρμονίαις libri καὶ seclusi 31 καὶ seclusi

[194] σις'. Ψυχῆς οὖν φύσιν] 270 C.

Ὅτι, φησὶν, ἀδύνατον τὰ μερικὰ γνῶναι μὴ τὰ ὅλα ἐπισκεψάμενον καὶ καταγνόντα· ἐπὶ τὰ ὅλα οὖν ἀνατρέχει ὁ λόγος τοῦ Σωκράτους.

σιζ'. Εἰ μὲν Ἱπποκράτει] 270 C.

Ὅρα πῶς ἐπαινεῖ τὸν Ἱπποκράτην λέγοντα ὅτι οὐ μόνον τὰ περὶ ψυχῆς οὐ δυνατὸν θεωρῆσαι ἄνευ τοῦ θεωρῆσαι τὴν ὅλην ψυχὴν, ἀλλ' οὐδὲ τὰ περὶ σώματος.

σιη'. Καλῶς γὰρ ὦ ἑταῖρε λέγει] 270 C.

Ὅτι ἀδύνατον τὰ μέρη ἐπιστημόνως ἐπεσκέφθαι μὴ τὰ ὅλα ἐπισκεψάμενον. — Χρὴ μέντοι πρὸς τῷ Ἱπποκράτει· τουτέστιν οὐκ ἀρκεῖσθαι δεῖ τῇ ἐνδόξῳ πίστει, ἀλλὰ τὸν ἀποδεικτικὸν λόγον ἐπάγειν, μὴ ὅτι Ἱπποκράτης εἶπεν ἀλλὰ διὰ τί οὕτως εἶπε. |

p. 195 σιθ'. Τὸ τοίνυν περὶ φύσεως] 270 C.

Εἰς ταὐτὰ ἄγει τῷ ἀληθεῖ λόγῳ τὸν τοῦ Ἱπποκράτους ἀφορισμὸν, καὶ ὅτι ἐὰν θέλῃς τι θεωρῆσαι, ἀναγκαῖον κεχρῆσθαι τῇ διαιρετικῇ μεθόδῳ, οἷον ἄρα ἁπλοῦν ἐστι τὸ σῶμα ἢ σύνθετον, καὶ λέγειν ὅτι, ἐὰν μὲν ἁπλοῦν ᾖ, τὸ f°85v° καὶ τὸ | αὐτῷ ἁρμόζει, καὶ πέφυκεν ὑπό τινων μὲν πάσχειν, εἴς τινα δὲ δρᾶν (ὅθεν Ἱπποκράτης βουλόμενος δεῖξαι ὅτι οὐκ ἔστιν ἁπλοῦν εἶπεν· εἰ ἓν ἦν τὸ σῶμα οὐκ ἂν ἤλγεεν), εἰ δὲ σύνθετον, ἐκ πόσων [καὶ] σύγκειται καὶ ποίων· ὅτι ἐκ τεσσάρων στοιχείων, θερμοῦ, ψυχροῦ, ξηροῦ, ὑγροῦ. — Καὶ ταῦτα καταριθμησάμενον, ὅπερ ἐπὶ ἑνὸς λέγει τί ποιεῖ καὶ ὑπὸ τίνων πάσχει, οὕτως καὶ ἕκαστον τούτων ποῦ πέφυκε ποιεῖν καὶ ὑπὸ τίνος πάσχειν.

σκ'. Ἀλλ' οὐ μὴν ἀπεικαστέον] 270 E.

Ἀλλὰ τὸν τέχνῃ μετιόντα τὰ πράγματα καὶ ἐπιστήμῃ οὐκ ἀπεικαστέον τυφλῷ, ἀλλὰ φωτεινῷ καὶ νοερῷ ἀνθρώπῳ.

σκα'. Ἀλλὰ δῆλον ὡς ἄν τῳ τις] 270 E.

Δῆλον ὅτι ἀνάλογόν ἐστι καὶ ἐπὶ τῆς ψυχῆς, ὥσπερ ὁ φάρμακα διδοὺς σώματι τὴν φύσιν τοῦ σώματος κατανοεῖ, οὕτως καὶ ὁ λόγους μέλλων διδόναι ψυχῇ ὡς φάρμακα ὀφείλει τὴν φύσιν τῆς ψυχῆς διερευνᾶν πότερον

NC 1 ψυχῆς, ψυ rubr. A 2 ὅλα] ἄλλα ME 4 εἰ rub. A 8 καλῶς, κ rubr. A 13 τὸ, τ rubr. A 14 εἰς ex ἐν A ταὐτὰ] ταῦτα M 16 ἄρα libri λέγει M 17 αὐτῷ] αὐτὸ M (jam correxerat Ast) τινα δὲ] τόδε M 19 ἤλγησεν M καὶ seclusi 20 ξηροῦ] καὶ M 21 ἀριθμησάμενον Galenus, ἀριθμησάμενος Plat. codd. BT ἐπὶ] ἐφ' Plat. 22 ποῦ] τί (?) 24 ἀλλ' οὐ μὴν rubr. A 27 ἀλλὰ, ἀ rubr. A τῷ om. Plat. cod. B 29 τοῦ σώματος — 30 φύσιν om. M

[195] ἁπλῆ ἢ σύνθετος, καὶ εἰ σύνθετος, ἐκ ποίων καὶ πόσων μερῶν σύγκειται· ὅτι ἐκ τριῶν· λογικοῦ θυμικοῦ ἐπιθυμητικοῦ· καὶ τὸ λογικὸν ὑπὸ ποίων λόγων εὐφραίνεται, ὅτι ὑπὸ τῶν θεωρητικῶν· τὸ δὲ ἐπιθυμητικὸν ὑπὸ τοιῶνδε καὶ τὰ τοιαῦτα. — Τὸ δὲ τέχνῃ διὰ τέχνης.

σκβ′. Ἔσται δέ που ψυχῇ τοῦτο] 270 E.

Ὥσπερ ἐκεῖ ἐπὶ τῆς ἰατρικῆς σῶμα ᾧ προσέφερε τὰ φάρμακα, οὕτως ἐν τῇ ῥητορικῇ ψυχῇ ᾗ προσοίσει τοὺς λόγους. — Οὐκοῦν ἅμιλλα αὐτῷ πᾶσά ἐστιν ἐπὶ τῷ πειθὼ ἐμποιῆσαι τῇ ψυχῇ, ὡς ἐκεῖ ὑγίειαν τῷ σώματι· ὥσπερ οὖν οὐ ποιεῖ ὑγίειαν μὴ προσφόρως ἕκαστα προσενεγκών, οὕτως οὐ ποιεῖ πειθὼ μὴ οἰκείως προσενεγκάμενος τοὺς λόγους.

σκγ′. Δῆλον ἄρα ὅτι] 271 A.

Ὁ παραδοὺς οὖν τέχνην ῥητορικὴν δῆλον ὅτι σκοπεῖ τὸ εἶδος τῆς ψυχῆς, πότερον ἁπλοῦν ἐστιν ἢ σύνθετον καὶ πολυειδὲς κατὰ τὸ τοῦ σώματος εἶδος. Τὸ γὰρ εἰδέναι πότερον ἁπλοῦν ἐστιν ἢ σύνθετον καὶ τὰ τοιαῦτα, τοῦτο ἔστι τὸ τὴν φύσιν τοῦ ζητουμένου εἰδέναι. — Τὸ δὲ διδῷ ἀντὶ τοῦ παραδιδῷ.

σκδ′. Δεύτερον δέ γε] 271 A.

Ὥσπερ ἐπὶ τοῦ σώματος ἐσκόπησεν ὑπὸ τίνων πάσχει καὶ εἰς τί ποιεῖ, οὕτως καὶ ἐπὶ ψυχῆς δεῖ σκοπεῖν τίσι πείθεται καὶ τίσιν οὔ.

σκε′. Τρίτον δέ] 271 B.

Διαταξάμενον καὶ διελόντα τὰ μόρια τῆς ψυχῆς καὶ τὰ εἴδη, οἷον ὅτι ἔχει φανταστικόν, θυμικόν, ὀρεκτικὸν καὶ τὰ τοιαῦτα, καὶ τὰ τῶν λόγων δὲ εἴδη ὁμοίως, ὅτι οἳ μέν εἰσιν ἀποδεικτικοί, οἳ δὲ δικανικοί, οἳ δὲ ἐγκωμιαστικοὶ καὶ τὰ τοιαῦτα, τότε τὸ ὅμοιον τῷ ὁμοίῳ προσαρμόσαι· οἷον ὁ
f°86r° ἄρχων | ὁ τῷ ὀρθῷ λόγῳ ἑπόμενος τοῖς ἀποδεικτικοῖς λόγοις ἕπεται καὶ χαίρει, ὁ δὲ κατὰ ἐπιθυμίαν ζῶν τοῖς κολακικοῖς καὶ ἐγκωμιαστικοῖς λόγοις χαίρει.

σκς′. Οὕτω μὲν οὖν φίλε] 271 B.

Οὐδαμῶς γὰρ ἄλλως ἐνδεικνυμένον οὕτως τέχνῃ· δεῖ οὖν οὕτως

NC 2 καὶ ἐπιθυμητικοῦ M 3 καὶ ὅτι M 5 ἔσται, ἔ rubr. A 6 ὥσπερ] ὥστε M προσέφερε τὰ] προσφέρεται M 7 οὐκοῦν, ο rubr. A (in marg. σκγ′ sed del.) : οὔκουν M 9 οὐ] μὴ M 11 δῆλον, δῆ rubr. A 15 τοῦτο ἔστι] τοῦτό ἐστι A : τουτέστι M 17 δεύτερον, δ rubr. A 18 ποιεῖν AE 19 δεῖ ex τίσι fact. A[1] ut videtur 20 τρίτον, τ rubr. A 24 τότε] τόδε M ὁ om. M 28 οὕτω, οὔ rubr. A (οὕτω etiam Plat. cod. B, οὗτοι cod. T, οὗτοι edd. et M sed cf. *proleg.* p. xix; legebat profecto negationem Hermias) ὦ φίλε Plat. 29 ἐνδεικνύμενον scripsi ex Plat. : ἐνδεικνυμένην A[a] : ἐνδεικνυμένη M τέχνῃ scripsi ex edd. Plat. : τέχνη libri (τέχνην A[a])

[195] ιέναι κατὰ τέχνην. — Τὸ δὲ καὶ ἀποκρύπτονται εἰδότες ψυχῆς πέρι· ἐν ἤθει τοῦτο λέγει, τουτέστι μηδὲν εἰδότες περὶ ψυχῆς, οὐδὲν λέγουσιν. — Αὐτὰ μὲν τὰ ῥήματα εἰπεῖν· φιλοσόφου γάρ ἐστι τύπους δοῦναι, οὐκ εἰς τὰ καθέκαστα κατιέναι· καὶ ἐν τῇ Πολιτείᾳ δὲ τοιοῦτόν τι εἶπε· τὸ δὲ ἁρμονίας τοῖς πολίταις διὰ τὸ ἀρετὴν κτήσασθαι φιλοσόφου ἐστὶν εἰπεῖν καὶ εἰδέναι· ποῖαι δὲ ἁρμονίαι καὶ τὰ καθέκαστα τῆς μουσικῆς εἰδέναι, ὅτι ὁ Φρύγιος εἰ τύχοι ἢ ὁ Λύδιος ἢ τὰ τοιαῦτα, τοῦ μουσικοῦ ἐστιν εἰδέναι. « Καὶ ἐνταῦθα οὖν, φησί, τὸ μὲν τὰ καθέκαστα λέγειν οὐκ ἔστιν ἡμέτερον, τὸ δὲ τύπους παραδοῦναι καὶ διελθεῖν τὰ εἴδη τῆς ψυχῆς καὶ τῶν λόγων ἡμέτερόν ἐστιν. »

σκζ΄. Οὐκ εὐπετές] 271 C.

Τουτέστιν οὐκ ἔχω ἐκ προχείρου λέγειν· οὐ γὰρ εἶπεν ἀδύνατον. — Ὡς δὲ δεῖ γράφειν· τουτέστι « τὰ τεχνικὰ θεωρήματα παραδώσομεν, τὰ δὲ κατὰ μέρος οὔ· οἷον πόσα εἴδη λόγων, καὶ ὅτι τὸ μὲν ἰσχνόν, τὸ δὲ ἁδρόν, καὶ τὰ τοιαῦτα οὐκ ἔστιν ἡμῖν εὐπετὲς εἰπεῖν. » |

p.196 σκη΄. Ἐπειδὴ λόγου δύναμις τυγχάνει] 271 C.

Βούλεται ὡς ἂν εἴποις ἐπὶ παραδείγματος παραδοῦναι τὰ εἰρημένα· λαβὼν γὰρ ἀναλογίαν τῆς ἰατρικῆς πρὸς τὴν ῥητορικήν, καὶ εἰπὼν ὅτι, ὥσπερ ἐκείνη περὶ σώματα, αὕτη περὶ ψυχήν, καὶ τὰ ἄλλα ὅσα εἶπε, νῦν ὑπὸ ἓν λέγει, ψυχαγωγίαν λέγων τὸ δύνασθαι ἄγειν καὶ πείθειν τὴν ψυχήν. — Τὸ γοῦν ψυχὴ ὅσα εἴδη ἔχει· ὀφείλει εἰδέναι τὴν φύσιν τῆς ψυχῆς καὶ τὰ μόρια τῆς ψυχῆς, ὅτι τριμερής ἐστι, καὶ ὡς εἰς μεγάλα διελόντι τοιαῦτά ἐστι, λογικόν, θυμικόν, ἐπιθυμητικόν.

σκθ΄. Ὅθεν οἱ μὲν τοιοίδε] 271 D.

Ὅτι οἱ τῷ λόγῳ ἀκολουθοῦντες χαίρουσι τοῖς ἀποδεικτικοῖς λόγοις, οἱ δὲ τῷ θυμῷ τοῖς ἀνδρώδεσι καὶ τῇ νίκῃ, οἱ δὲ τῷ ἐπιθυμητικῷ κατεχόμενοι τῇ γλυκυθυμίᾳ καὶ τοῖς προσηνέσι λόγοις.

σλ΄. Λόγων αὖ τόσα καὶ τόσα] 271 D.

Ὅτι τῶν λόγων οἳ μέν εἰσιν ἀποδεικτικοί, οἳ δὲ σοφιστικοί, ἤγουν οἳ μὲν ἁδροί, οἳ δὲ ἰσχνοί, καὶ τὰ ὅμοια. — Διὰ δὲ τήνδε τὴν αἰτίαν· ἵνα μὴ μόνον πεῖρα ᾖ ἀλλὰ καὶ τέχνη· πρῶτον γὰρ πεῖρα, εἶτα ἐμπειρία, εἶτα

4 e. g. *Rep*. III 414 A

NC 4 τι om. M 8 τὰ om. M 11 οὐκ, οὐ rubr. A 16 ἐπειδή, ἐ rubr. A 18 γὰρ] δὲ M ὅτι om. M 22 ὡς om. M 22-23 διελόντα M 24 ὅθεν, ὅ rubr. A τοῖοι Plat. cod. B 25 τῷ ante λόγῳ om. M 28 λόγων, λ rubr. A αὐτὸς ἃ Plat. cod. B 29 ἤγουν] ἢ γοῦν A ; ἢ M 31 ἐμπειρία εἶτα om. M

[196] τέχνη γίνεται, ὅταν καὶ τὴν αἰτίαν δυνηθῇ τις γνῶναι. — Τὸ δὲ εἰς τὰ τοιάδε, πράγματα δηλονότι.

σλα΄. Δεῖ δὴ ταῦτα] 271 D.

Ποῖα λέγει; σχεδὸν ἑπτά τινά ἐστιν ἃ λέγει· πρῶτον μὲν τὸ εἰδέναι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, εἶτα τὸ διαιρετικὸν, ἔπειτα τὸ ὁριστικὸν, εἶτα τὸ ὑποκείμενον (τουτέστι ψυχῆς φύσιν κατιδεῖν, πότερον ἁπλοῦν ἢ σύνθετον), ἔπειτα τὰ τῶν λόγων εἴδη κατιδεῖν, εἶτα ἁρμόσαι ποίοις μέρεσι καὶ ἤθεσι
f°86v° ψυχῆς ποῖοι λόγοι | ἁρμόζουσιν, ἐπὶ πᾶσι δὲ τὸ εἰδέναι τὸν καιρόν. — Διὸ δεῖ ταῦτα ἱκανῶς νοήσαντα καὶ καθ' ἑαυτὸν διελόμενον, ἤγουν παρὰ τῷ διδασκάλῳ ἐν τῷ ἔργῳ αὐτοῦ καὶ τῇ χρήσει, ἐπιγινώσκειν· ὀξέως τῇ αἰσθήσει, ὅτι ταῦτα ἦν ἢ ἐκεῖνα περὶ ὧν ἐποιούμεθα τοὺς λόγους ἐν τοῖς βιβλίοις. — Ἢ μηδὲν εἰδέναι πω πλέον, τουτέστιν ἄχρι λόγων ἐστὶν αὐτῷ ταῦτα μὴ προσλαβόντι τὴν πεῖραν, καὶ μάτην <ἂν> εἴη ἀκηκοὼς εἰ μὴ προσφόρως χρήσεται αὐτοῖς ἐν τῷ πράγματι. — Τὸ δὲ ξυνών· λείπει « τῷ διδασκάλῳ ». — Ὀξέως τῇ αἰσθήσει· ὡς ἀπὸ ἀγγέλου τῆς αἰσθήσεως βούλεταί πως διανοητικῶς ἀγγέλλειν.

σλβ΄. Παραγινόμενόν τε] 271 E.

Ἐν τῷ δικαστηρίῳ ἢ δήμῳ· εἰδὼς οὖν ἕκαστα τῶν εἰρημένων καὶ τὴν φύσιν τῆς ψυχῆς τῶν ἀκουόντων καὶ τῶν λόγων, τότε πρὸς τὸν ἁρμόζοντα καιρὸν κέχρηται τοῖς κεφαλαίοις, ὅπου μὲν ἐλεεινολογούμενος, ὅπου δὲ δεινώσει χρώμενος, καὶ τοῖς ἄλλοις πᾶσιν ὅτε δεῖ καὶ οἷς δεῖ καὶ ὅσον δεῖ.

σλγ΄. Ὁ μὴ πειθόμενος κρατεῖ] 272 B.

Τοῖς παρὰ τὰ εἰρημένα τὴν ῥητορικὴν λέγουσιν εἶναι τέχνην, ὁ μὴ πειθόμενος αὐτὴν εἶναι τέχνην, ὡς ἐγὼ, κρατεῖ· εἰ μὴ γὰρ ἔχει πάντα τὰ εἰρημένα, οὐκ ἔστι τέχνη ἀλλ' ἄτεχνος τριβή.

σλδ΄. Τούτου τοι ἕνεκα] 272 B.

Ἐπειδὴ ἔδοξε διὰ μακροτέρων λόγων διδάσκειν τὰ εἰρημένα, διὰ τοῦτό φησιν ὅτι εἰ μὲν δύναταί τις διὰ βραχυτέρων καὶ συντομωτέρων λόγων τὰ εἰρημένα παραδοῦναι, εὖ ἂν ἔχοι· εἰ δὲ μὴ δύναται ἄλλως ἢ ταύτῃ, ἰτέον καὶ οὐκ ἀποστατέον τῆς μακροτέρας ὁδοῦ. Τούτου τοι ἕνεκα· τουτέστι τοῦ ἀληθοῦς καὶ τῆς ἀκριβείας χάριν· ἀναγκαῖον πάντας τοὺς λόγους μεταστρέφειν καὶ ζητεῖν εἰ ἔστιν εἰς τὸ αὐτὸ τέλος διὰ βραχυτέρων καὶ ἐλαττόνων λόγων ἐλθεῖν· ἀρετὴ γὰρ λόγου ἐστὶν ἡ συντομία.

NC 1 εἰς] ἐς Plat. cod. B 3 δεῖ rubr. A 4 ἐστιν] εἰσιν M 7 ἁρμόσαι ex ἁρμόζουσιν videtur ortum; fuit fere εἰδέναι 8 πᾶσι] πασῶν ME 12 ἢ μηδὲν εἰδέναι] ἢ μηδὲ εἰδέναι Plat. cod. T : ἢ μηδὲν εἶναι Galenus : εἰ μὴ εἰδέναι Plat. cod. B 13 ἂν addidi 15 τοῦ ἀγγέλου M 17 παραγινόμενον, παραγι rubr. A τε] δὲ Plat. cod. B 22 ὁ rubr. A 25 τούτου, τ rubr. A 32 εἰς] πρὸς M

[196] σλε΄. Ἕνεκα μὲν πείρας] 272 C.

Βούλεται ἐπὶ τὸ πιθανὸν ἐλθεῖν καὶ ταύτην τὴν δημώδη ῥητορικὴν τὴν πείρᾳ καὶ τριβῇ ἰοῦσαν ἄνευ τέχνης· λέγει γοῦν· « βούλει οὖν ἐγώ τινα εἴπω λόγον· » οὐ μόνον γὰρ δεῖ τὰ οἰκεῖα θεωρεῖν, ἀλλὰ καὶ τὰ ἀλλότρια περιεργάζεσθαι, ἵνα διὰ τῆς ἀντιπαραθέσεως τῶν ἀντικειμένων τὸ ἀληθὲς εἰδῇ· ἡ γὰρ αὐτὴ ἐπιστήμη τῶν ἀντικειμένων ἐστὶ γνωστική. Ἐκθέμενος οὖν τὰ τῆς ἀληθοῦς ῥητορικῆς πόσα καὶ ποῖά ἐστιν, βούλεται ἐκθέσθαι καὶ περὶ τῆς δημώδους ῥητορικῆς καὶ τῆς ἀντικειμένης τῇ ἀληθινῇ ῥητορικῇ,
f° 87 r° ἣν καὶ τριβὴν δεῖ καλεῖν, ἥτις φησὶν ὅτι οὐ δεῖ τὸ ἀληθὲς εἰδέναι, | ἀλλὰ τὸ πιθανὸν, οὐ τὸ ἐοικὸς τῷ ἀληθεῖ, ὃ λέγει ὁ φιλόσοφος, ἀλλὰ τὸ δοκοῦν τῷ πλήθει, ὃ πολλάκις καὶ ἐναντίον ἐστὶ τῷ ἀληθεῖ.

p. 197 σλϛ΄. Καὶ τὸ | τοῦ λύκου εἰπεῖν] 272 C.

Παροιμία ἐστὶ λεγομένη ὅτι λύκος ἑωρακὼς ποιμένας, ἤγουν κύνας, πρόβατον κατεσθίοντάς φησιν· « εἰ ἐγὼ τοῦτο ἐποίουν, πόσος ἂν θόρυβος ἐγεγόνει. » Ἐπειδὴ οὖν μακρότερα εἶπε περὶ τῆς ῥητορικῆς τῆς ἀληθοῦς, διὰ τοῦτο τῆς παροιμίας ἐμνήσθη, ὅτι εἶπον ἂν οἱ τῆς δημώδους ῥητορικῆς προστάται πρὸς τὸ πλῆθος τῶν εἰρημένων λόγων· « εἰ δὲ ἡμεῖς οὕτως ἐμηκύναμεν τὸν λόγον, ποῖος ἂν ἐγεγόνει θόρυβος παρὰ τοῖς φιλοσόφοις. »

σλζ΄. Φασὶ τοίνυν οὐδέν] 272 D.

Ἐνταῦθα ἐκτίθεται τὸν λόγον τοῦ πιθανοῦ, οὐ τοῦ ἐοικότος τῷ ἀληθεῖ, ἀλλὰ τοῦ δοκοῦντος τῷ πλήθει, ὃν ἂν εἴποι λόγον Πῶλος καὶ Γοργίας καὶ οἱ ἄλλοι ῥήτορες. Τὸ δὲ ταῦτα δεῖν σεμνύνειν· οὐδεὶς γὰρ οὕτως ἐσέμνυνε τὴν ῥητορικὴν ὡς αὐτὸς ὁ Πλάτων καὶ ἐπὶ μέγα ἦρε, λέγων ὅτι δεῖ αὐτὴν τὴν ἀλήθειαν εἰδέναι, τὰς φύσεις τῶν ψυχῶν, τῶν λόγων καὶ ὅσα ἤδη εἶπε.

σλη΄. Μακρὰν περιβαλλομένους] 272 D.

Κύκλῳ περιερχομένους. — Τὸ δὲ φύσει ὄντων ἢ τροφῇ, ὅτι τὸν

13 cf. schol. 272 C (p. 275 Herm.) παροιμία : Macar. III 48 (cf. Suid.) ex Æsopo : sed proverbium platonicum perperam interpretatum esse Hermiam apparet, quod gallice sic reddiderim « *se faire l'avocat du diable* »

TIT 13 παροιμία A²

NC 1 ἕνεκα, ἕν rubr. A 3 τιν' Plat. 4 λόγον] λόγων Plat. cod. B 6 ἠ] εἰ M 10 ὃ om. M 12 καὶ, κ rubr. A 13 ἢ γοῦν A καὶ κύνας M 15 μακρότερα] μακρότερον M 19 φασί, φ rubr. A 20 ἐνταῦθα] ἐντεῦθεν M 22 δεῖν] δεῖ A² E 23 ἦρε] εὗρε M 25 ἤδη] εἴδη M (jam correxerat Ast) 26 μακρὰν, μ rubr. A 27 ἢ τροφῇ] ἡ τροφὴ A Plat. cod. T : η τροφη Plat. cod. B

[197] μέλλοντα ῥητορικὸν ἔσεσθαι οὐ χρὴ τραφῆναι ἐπιστημονικοῖς λόγοις οὐδὲ φῦναι ἀληθευτικόν. — Τὸ δὲ ἀληθείας μέλει· τοῦτο λέγει σκώπτων τὴν τοιαύτην ῥητορικήν, εἴ γε τὸ ἀληθὲς οὐ περιεργάζονται· ἀλλὰ τὸ δοκοῦν τοῖς πολλοῖς. — Τὸ εἰκός, τὸ δοκοῦν τῷ πλήθει καὶ τὸ ἔνδοξον, ὡς Ἀριστοτέλης φησίν.

σλθʹ. Οὐδὲ γὰρ αὖ τὰ πραχθέντα] 272 E.

Τουτέστι δεῖ καὶ τὰ ἀληθῆ τῶν πραγμάτων ἐνίοτε ἀποκρύπτειν, ἐὰν μὴ εἰκότως καὶ δοκοῦντα τῷ πλήθει ᾖ τὰ πεπραγμένα, <καὶ> μὴ λέγειν τὸ ἀληθές. — Τὸ δὲ καὶ πάντως λέγοντα, τουτέστι παντὶ τρόπῳ λέγοντα τὰ δοκοῦντα τῷ πλήθει.

σμʹ. Τὸ δὴ εἰκὸς διωκτέον] 272 E.

Ὥστε κἂν ψευδῆ ᾖ, δοκοῦντα δὲ τῷ πλήθει, μηδὲν προσίεσθαι μηδὲ πρόνοιαν ποιεῖσθαι τῆς ἀληθείας. — Τοῦτο γὰρ διὰ παντός, τουτέστι τὸ ἐξ εἰκότων συναγόμενον πορίζει ἡμῖν καὶ παρέχει τὴν τέχνην, οὐ τὸ ἀληθές· ἀνεμνήσθη γὰρ ὅτι ἤδη εἶπεν ἐπὶ βραχὺ περὶ τοῦ εἰκότος καὶ πιθανοῦ· οὐ τοῦ τοιούτου δὲ εἰκότος λέγει, τοῦ δοκοῦντος τῷ πλήθει, ἀλλὰ τοῦ ἐοικότος τῇ ἀληθείᾳ. — Τὸ δὲ εἰκὸς τῶν τῆς δημώδους ῥητορικῆς τὸ μέγιστόν ἐστι τῆς τέχνης, ὡς αὐτοί φασιν.

σμαʹ. Ἀλλὰ μὴν τόν γε Τισίαν] 273 A.

Τουτέστιν ἔδειξας μηδὲν ὄντα τὸν Τισίαν.

σμβʹ. Εἰπάτω τοίνυν] 273 A.

Τὸ εἰκὸς καὶ πιθανὸν τὸ παρὰ τοῖς πολλοῖς βούλεται ἐκθέσθαι· τοῦτο δή, ὡς ἔοικεν ὑπόδειγμα θέλει λαβεῖν τοῦ εἰκότος τὸ παρὰ τοῖς ῥήτορσι, δι' αὐτοῦ τούτου ἔργῳ δεικνὺς ὁποῖόν ποτέ ἐστι τὸ παρ' αὐτοῖς πιθανόν· καὶ
f°87 v° λαμβάνει δύο τινὰς ἀνθρώπους ὁ Τισίας, ἕνα μὲν ἀσθενῆ καὶ | ἀνδρικόν, ἄλλον δὲ ἰσχυρὸν καὶ δειλόν, ἐκ σώματος καὶ ψυχῆς ἑκάτερον σκοπῶν· τὸν μὲν γὰρ ἀσθενῆ κατὰ τὸ σῶμα ἔλαβεν, εὔτολμον δὲ καὶ ἰταμὸν κατὰ ψυχήν, τὸν δὲ ἀνάπαλιν ἰσχυρὸν μὲν κατὰ τὸ σῶμα ἄτολμον δὲ κατὰ ψυχήν· καί φησιν ὅτι εἰ ἀφέλοιτο ὁ ἀσθενὴς καὶ τολμηρὸς τοῦ ἰσχυροῦ καὶ δειλοῦ

5 *Top.* I 1, 100 *b* 21

NC 1 τραφῆναι] γραφῆναι M (jam correxerat Ast) 2 μέλει] μέλειν M, ap. Plat. Stephanus Ficino auctore (cf. *proleg.* p. XIX) 6 οὐδὲ, οὐ rubr. A αὖ τὰ] αὐτὰ Plat. cod. B 8 τὰ om. M καὶ addidi 11 τὸ, τ rubr. A δὴ] δὲ M 12 ὥστε scripsi : ὥσπερ libri μηδὲ] μὴ δὲ A 15 ἤδη] εἴδη M (jam correxerat Ast) : cf. 249, 25 18 ὡς prius rubr. A φασὶν (litt. ν add. supra vers.) A[1] 19 ἀλλὰ, ἀ rubr. A τισιν Plat. cod. B 21 εἰπάτω (ε supra vers.), ει et ε supra vers. rubr. A (εἰπέτω M Plat.) 23 τὸ om. M 24 ἔργῳ] ἔργου M τὸ om. M

[197] τὸ ἱμάτιον, καὶ ἀχθείη εἰς δικαστήριον, οὔτε ὁ ἀγόμενος οὔτε ὁ ἄγων, τουτέστιν οὐδέτερος αὐτῶν, ἐρεῖ τὸ ἀληθὲς, ἀλλὰ ἀμφότεροι ψεύδονται, τοῦ μὲν λέγοντος ὑπὸ πλειόνων τυφθέντα οὕτω τῆς ἐσθῆτος ἀφαιρεθῆναι καὶ ἀποκρύπτοντος τὸ ἄτολμον τῆς ψυχῆς, τοῦ δὲ τὸ τῆς ψυχῆς εὔτολμον μὴ φανεροῦντος ἀλλὰ λέγοντος ὅτι « ἀσθενὴς ὢν οὐκ ἂν ἠδυνάμην περιγενέσθαι αὐτοῦ· » ὥστε ἑκάτερος κρύπτει τὸ ἀληθές.

σμγʹ. Ἢ ἄλλος ὅστις δήποτε] 273 C.

Τοῦτο εἶπεν ἴσως διὰ τὸν Κόρακα, ἐπειδὴ ἐλέγετο ὁ Κόραξ Τισίου μαθητὴς εἶναι.

σμδʹ. Ἀτὰρ ὦ ἑταῖρε] 273 C.

Τοῦτο λέγει ὅτι « πάλαι ἡμεῖς τὸ εἰκὸς ἐλέγομεν τὸ ἐοικὸς τῷ ἀληθεῖ, οὐχ ἁπλῶς τὸ δοκοῦν τοῖς πολλοῖς ». — Τὸ δὲ ὅτι ὦ Τισία· ὅσα εἶπε περὶ τῆς ἀληθοῦς ῥητορικῆς ἐπαναλαμβάνει, ὅτι πάλαι ἐλέχθη τὸ εἰκὸς ὁποῖόν ποτε ὀφείλει εἶναι, ὅτι τὸ ἐοικὸς καὶ προσόμοιον τῷ ἀληθεῖ, [ἢ] οὐ τὸ δοκοῦν τοῖς πολλοῖς. Καὶ τὰ ἄλλα δὲ συντόμως ἀνακεφαλαιοῦται
p. 198 ὅσα εἶπε περὶ τῆς ἀληθοῦς ῥητορικῆς, καὶ ὅτι τοῦτο τὸ εἰκὸς ἀπὸ τοῦ | ἐοικέναι τῷ ἀληθεῖ πείθει τὰς ψυχὰς καὶ τοὺς πολλούς, διὰ τὴν ὁμοιότητα τὴν πρὸς τὸ ἀληθές, ὥστε ὁ εἰδὼς τὸ ἀληθὲς οἶδε τὸ εἰκός.

σμεʹ. Ὡς ἂν μή τις] 273 D.

Ἐὰν γὰρ μὴ καθὼς ἤδη διήλθομεν λέγῃ, ἀλλὰ παρὰ ταῦτα τὰ εἰρημένα, οὐ πεισόμεθα αὐτῷ. — Ἄνευ πολλῆς πραγματείας· τὰ γὰρ ἀγαθὰ διὰ πόνων ἡμῖν περιποιοῦσιν οἱ θεοί, καὶ οὐ δύναταί τις κτήσασθαι ἀρετήν, εἰ μὴ διὰ πόνων· ἀγῶνας οὖν ἡμῖν ὑποτίθενται οἱ θεοὶ τοῦ κτήσασθαι δύνασθαι τὰ ἀγαθά, καὶ Ἡσίοδός φησι·

τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

σμςʹ. Τοῦ λέγειν καὶ πράττειν] 273 E.

Καλῶς τὸ πράττειν προσέθηκεν, ἵνα μὴ δόξῃ ἐν λόγοις μόνον εἶναι ἡ ῥητορική, ἀλλὰ καὶ ἔργῳ εἶναι· οὐ γὰρ μόνον ᾔδειν δεῖ τοὺς ἀκροατὰς, ἀλλὰ καλοὺς καὶ ἀγαθοὺς ποιεῖν· ἔπειτα παραδεδωκὼς ἤδη ἐν τοῖς φθάσασι τὴν τέχνην τῶν λόγων νῦν τὸ τέλος παραδίδωσι. Τί δὲ τὸ τέλος; τὸ κεχαρισμένα θεοῖς λέγειν καὶ γράφειν, ὕμνους, ἐνορχήματα | καὶ τὰ τοιαῦτα.
f°88r°

24 HES. *op.* 287

NC 7 ἢ rubr. A 10 ἀτὰρ, ἀ rubr. A 11 λέγει scripsi : λέγομεν libri ἐοικὸς scripsi : εἰκὸς libri : cf. 14 14 ἐοικὸς] εἰκὸς M 15 ἢ seclusi 19 ὡς, ὡ rubr. A ἂν] ἐὰν Plat. 26 τοῦ λέγειν rubr. A 29 καὶ καλοὺς M

[198] — Εἶπε δὲ ἣν οὐχ ἕνεκα τοῦ λέγειν, ἐπειδὴ οἱ ῥήτορες ἕνεκα τοῦ προφορικοῦ λόγου ἀσκοῦσι τὴν ῥητορικὴν καὶ τοῦ κεχαρισμένα καὶ ἡδέα καὶ ἐπαίνου ἄξια παρὰ τοῖς ἀνθρώποις λέγειν ἢ πράττειν· εἰδέναι δὲ δεῖ ὅτι ὁ κεχαρισμένα [παρὰ] τοῖς ἀνθρώποις πράττων οὐ κεχαρισμένα τοῖς θεοῖς ποιεῖ, ἀλλὰ καὶ ἀνάπαλιν ὁ κεχαρισμένα τοῖς θεοῖς πράττων καὶ τοῖς ἀνθρώποις πράττει· τῷ γὰρ ὑμνοῦντι τὸ θεῖον ἀκολουθεῖ καὶ τῷ βελτίονι τὸ χεῖρον. — Τὸ δὲ σοφώτεροι ἡμῶν, οἷον οἱ Πυθαγόρειοι· ὁ γὰρ Πῶλος ἐν τῷ Γοργίᾳ φανερῶς εἶπεν ὅτι οὐ χρεία ἐστὶ τὸ ἀληθὲς εἰδέναι τὸν ῥήτορα, πρὸς ὃν ἱκανῶς ἠναντιώθη ὁ Σωκράτης· ὥστε τοῖς μὲν σοφοῖς δοκεῖ τὰ δοκοῦντα Σωκράτει, τοῖς δὲ κατὰ τὸν Πῶλον τὰ ἐναντία.

σμζʹ. Ὁμοδούλοις δεῖ] 273 E.

Ὡς πάντων ἡμῶν δεσποζόντων τῶν θεῶν, λέγει ὅτι οὐ δεῖ ἀνθρώποις χαρίζεσθαι. — Ὅτι μὴ πάρεργον, ἀντὶ τοῦ εἰ μὴ πάρεργον, τουτέστι κατὰ συμβεβηκός· προηγούμενον γάρ ἐστι τὸ τοῖς θεοῖς χαρίζεσθαι, συμβαίνει δὲ καὶ ἀνθρώποις κεχαρισμένα λέγειν τοὺς κεχαρισμένα τοῖς θεοῖς λέγοντας.

σμηʹ. Ὥστ' εἰ μακρὰ ἡ περίοδος] 274 A.

Ἡ τῆς ἀληθοῦς ῥητορικῆς ὁδός. — Μεγάλων γὰρ ἕνεκα· ὁρᾷς γὰρ ὅτι τὸ τέλος τῆς ῥητορικῆς εἰς θεοὺς ἀνήγαγεν· δεῖ γάρ, ἔφη, κεχαρισμένα θεοῖς ποιεῖν καὶ οὐ τὰ τυχόντα λέγειν ἢ πράττειν, οὐδὲ ἀνθρώποις χαρίζεσθαι, εἰ μὴ ἂν ὡς ἐν παρέργῳ.

σμθʹ. Ἐξ ἐκείνων] 274 A.

Τουτέστιν ἐκ τῶν θεῶν· ὅταν γὰρ πρὸς θεοὺς ἡ ἀπόλαυσις τῶν λεγομένων καὶ πραττομένων ᾖ, τότε πάντα κατ' ὀρθὸν ἡμῖν προβαίνει.

σνʹ. Ἀλλὰ καὶ ἐπιχειροῦντί τοι] 274 A.

Τουτέστιν ἐγχειρεῖν μὲν ἅπασι τοῖς καλοῖς, φέρειν δὲ ὅτι ἂν θεὸς δῷ γενναίως· ἐπαινετέα οὖν ἐστιν ἡ ἐπὶ τοῖς καλοῖς ἐπιχείρησις, κἂν ἀποτυγχάνειν τις μέλλῃ ἢ πάσχειν ὁτιοῦν δι' αὐτὸ τοῦτο.

8. *Gorg*. 461 B-C.

NC 1 ἣν] νῦν E : om. M 2 κεχαρισμένου A[a] 3 εἰδέναι A, οὐδέ ex εἰδέ eff. a 4 παρὰ secl. οὐ — 5 πράττων om. ME 5 τὰ ἀνάπαλιν A[a] 6 ἀκολουθεῖ vix legitur in A καὶ — 7 χεῖρον corrupta frustra interpretari conatus est Aʙᴛ 7 ἢ post ἡμῶν (Plat. cod. T; cod. B om. ἡμῶν) non legisse videtur Hermias 9 ἠναντίωσεν A[a] 10 τὸν Πῶλον evan. in A 11 ὁμοδούλοις, ὁ rubr. A 15 λέγειν — κεχαρισμένα om. M 16 λέγοντι M 17 ὥστ', ὥ rubr. A ἡ] ᾖ Plat. cod. B 19 δεῖ scripsi : τί libri 22 ἐξ rubr. A 23 πρὸς] εἰς M 25 ἀλλὰ, ἀ rubr. A καὶ om. M

[198] σνα'. Οὐκοῦν τὸ μὲν τέχνης] 274 B.

Ἣν γὰρ αὐτὸς ἡμῖν παραδέδωκε μέθοδον, τέχνη ἐστίν· ἀτεχνία δὲ ἡ κατὰ τὸν Λυσίαν καὶ τοὺς ἄλλους ῥήτορας.

σνβ'. Τὸ δ' εὐπρεπείας δή] 274 B.

Ἐντεῦθεν περὶ εὐπρεπείας τοῦ συγγράφειν καὶ ἀπρεπείας διαλέγεται, καὶ πότε δεῖ συγγράφειν· φησὶ γοῦν « ὅταν τις ἐπιστήμη λέγῃ εἰδὼς τὸ ἀληθὲς καὶ τὰ πράγματα, καὶ πρὸς τούτοις διδαχῆς ἄλλου χάριν, ἔπειτα δὲ ἵνα ὡς παιδιᾷ χρήσηται τῷ συγγράφειν καὶ μὴ ὡς περισπουδάστῳ πράγματι, τότε καλόν ἐστι τὸ συγγράφειν. »

σνγ'. Οἶσθ' οὖν ὅπῃ μάλιστα] 274 B.

Τοῦτο γάρ ἐστι τὸ εὐπρεπῶς γράφειν τὸ ἀρέσκοντα τοῖς θεοῖς λέγειν· ἐπειδὴ γὰρ αὐτὸν τὸν λόγον ἡμῖν ἐχαρίσαντο, δεῖ εἰς θεοὺς ἀνάγειν τὴν εὐπρέπειαν τοῦ λόγου, καὶ τούτῳ ὀργάνῳ χρῆσθαι εἰς τὴν περὶ αὐτῶν θεωρίαν.

σνδ'. Ἀκοήν γ' ἔχω λέγειν] 274 C.

Ἐρωτήσαντος τοῦ Σωκράτους τὸν Φαῖδρον ὅτι « οἶσθα πῶς λέγων θεοῖς κεχαρισμένα πράξεις; » φησὶν ὅτι « οὐδαμῶς· εἰ δὲ σύ γ' οἶδας, εἰπέ. »
f°88v° Ἔπειτα ὁ φιλόσοφος ὅτι « ἀκοὴν ἔχω εἰπεῖν· » | εἴωθε γὰρ ὁ Σωκράτης τὰ ὑφ' ἑαυτοῦ γινόμενα πάνυ εὐγνωμόνως εἰς θεοὺς ἀναφέρειν ἢ εἰς ὀπαδοὺς θεῶν ἄνδρας· καὶ γὰρ τοὺς θείους ἄνδρας οὐκ ἀπηξίωσεν ἐν τῷ Σοφιστῇ θεοὺς καλέσαι· καὶ γὰρ οἱ σοφοὶ καὶ θεῖοι ἄνδρες θεοί εἰσιν ὡς πρὸς ἀνθρώπους· εἴωθεν οὖν θείοις ἀνδράσι πολλάκις ἀνατιθέναι τὰ συγ-
p. 199 γράμματα | ἑαυτοῦ· ἐν μὲν τῷ Φαίδρῳ τῷ Πυθαγόρᾳ, ἐν δὲ τῷ Χαρμίδῃ Ζαμόλξιδι σοφῷ τινι, ἐν δὲ τῷ Τιμαίῳ τὸν Ἀτλαντικὸν λόγον ἀνατίθησι τοῖς Αἰγυπτίοις· καὶ ἐνταῦθα οὖν τὸ περὶ τῶν λόγων εὕρεμα τῷ δεσπότῃ Ἑρμῇ ἀνατίθησιν, οὐκέτι εἰς σοφοὺς ἄνδρας, ἀλλὰ θεούς, καί φησιν ὅτι ὁ δεσπότης Ἑρμῆς πρὸς πολλοῖς τοῖς ἄλλοις καὶ τὴν τῶν γραμμάτων τέχνην κατέδειξεν.

21 *Soph.* 216 A (?) 23 Φαίδρῳ : nihil de Pythagora in *Phædro*, nihil in *Phædone* *Charm.* 156 D 24 *Tim.* 21 C

NC 1 οὐκοῦν, οὐ rubr. A 4 τὸ, τ rubr. A δή om. M 6 δὲ δεῖ M 8 χρήσεται M τοῦ συγγράφειν A 9 τότε] πότε M 10 οἶσθ', οἶ rubr. A 12 ἐχαρίσατο M 13 χρῆσθαι] χρήσασθαι M 15 ἀκοήν, ἀ rubr. A 16 λέγων] λέγω M 17 σύ γ' οἶδας scripsi : σύνοιδας A : σὺ οἶδας EM 23 Φαίδρῳ] Φαίδρονι E : Φαίδωνι M τῷ ante Πυθαγόρᾳ om. M 24 Ζαλμόξιδι E 25 εὕρημα M

[199] σνε'. Εἰ δὲ τοῦθ' εὕροιμεν αὐτοί] 274 C.

Πῶς, ἂν δέῃ θεοῖς ἀρέσκοντα γράφειν, μέλοι ἂν ἡμῖν ἔτι τῶν ἀνθρώπων; ὁ γὰρ τοῖς θεοῖς ἀρέσκων καὶ ἀνηγμένος πάσης τῆς ἀνθρωπίνης φύσεως καταφρονεῖ. Τοῦτο εἶπεν ἐπειδὴ οἱ πολλοὶ τῶν συγγραφέων ἵνα θαυμάζωνται, ἢ ἐπαινῶνται, ἢ ἵνα τισὶ χαρίζωνται τὰ πρὸς ἡδονὴν γράφοντες, ἢ ἵνα μνήμην ἑαυτῶν καταλιμπάνωσι ταῦτα ποιοῦσιν, οὐχὶ θεοῖς ἀρέσκειν βουλόμενοι.

σνς'. Ἤκουσα τοίνυν περὶ Ναύκρατιν] 274 C.

Ὁ μῦθος φανερός ἐστιν· ἐξηγησόμεθα δὲ κατὰ τὰ ῥητὰ καὶ κατὰ μέρος τὰ ζητούμενα. — Ἤκουσα εἶπεν, ἢ ὅτι εἴωθε τοὺς λόγους τοὺς ἑαυτοῦ εἰς ἄλλους ἀναφέρειν ἢ τὸ παλαιὸν καὶ ἐξ αἰδίου διὰ τοῦ τοιούτου ἐνδεικνύμενος. — Τὸ δὲ παλαιῶν τινα θεῶν, τουτέστι τῶν πρώτων θεῶν καὶ ἀνωτάτω καὶ ἡγεμονικωτέρων καὶ τῆς ὑπερτέρας τάξεως· καὶ γὰρ ἐν θεοῖς καὶ δαίμοσι καὶ ἥρωσι τάξεις εἰσὶ πρώτων καὶ δευτέρων καὶ τρίτων καὶ ἐσχάτων. Εἰς τὸν δεσπότην οὖν Ἑρμῆν ἀνατίθησι τὴν τῶν λόγων εὕρεσιν καὶ εἰς Αἰγυπτίους· πανταχοῦ γάρ, καὶ ἐν τῷ Τιμαίῳ δέ, ἐκθειάζει τοὺς Αἰγυπτίους ὡς ἀρχαίους, διὰ τὸ μήτε κατακλυσμῷ μήτε ἐκπυρώσει ἀφανίζεσθαι τὴν Αἴγυπτον, τῶν ἄλλων πόλεων οὕτως ἀφανιζομένων· διὸ τὰ παρ' Αἰγυπτίοις εὑρέματα ἀθανατώτερά ἐστι· καὶ ἅπερ οἱ Ἕλληνες εἰς Παλαμήδην ἢ Προμηθέα ἀναφέρουσιν, ὁ φιλόσοφος εἰς Αἴγυπτον ἀναφέρει καὶ τὸν ἔφορον τῶν λόγων θεὸν Ἑρμῆν.

σνζ'. Τὸ ὄρνεον τὸ ἱερόν] 274 C.

Οἰκειότητα γὰρ ἔχει τοῦ οἰκείου θεοῦ· οἱ γὰρ θεοὶ τὰς οἰκείας αὐτῶν ἐνεργείας μέχρι τῶν ἐσχάτων ἰνδαλμάτων φέρουσιν. Ἔχει γὰρ τὸ καρδιοειδὲς σχῆμα· ἡ γὰρ καρδία ἀρχή ἐστι τοῦ ζῴου· ἔπειτα τὰ ἄκρα τῶν πτερῶν μέλανα, τὰ δὲ ἄλλα λευκά, ἐμφαίνοντος τοῦ λόγου ὅτι ἔσωθεν μὲν φανή ἐστιν ἡ ἀλήθεια, ἔξωθεν δὲ ἐπικέκρυπται· διὰ γὰρ τῶν ἔξωθεν κεκαλυμμένοι εἰσὶν οἱ λόγοι, ἔσωθεν δὲ ἀναπτυσσόμενοι ἐμφαίνουσι θεῖα ἀγάλματα, ὡς καὶ ἐν τῷ Συμποσίῳ ὁ Ἀλκιβιάδης περὶ Σωκράτους ἔλεγεν. Ἔπειτα καὶ τὰ βήματα αὐτῆς τὰ ἀπὸ ποδὸς εἰς πόδα σύμμετρά ἐστι· τὸ δὲ μεῖζον, διὰ τοῦ στόματος τὸ ᾠὸν τίκτει· καὶ ὁ λόγος δὲ ὁ προφορικός, ὅστις ἐστὶ γέννημα ἡμῶν, διὰ τοῦ στόματος προφέρεται.

16 *Tim.* 22 A   29 *Conviv.* 215 A

TIT 31 περὶ ἴβιδος A[2] : ἡ ἴβις διὰ τοῦ στόματος τὸ ᾠὸν τίκτει C

NC 1 εἰ rubr. A   τοῦτο Plat.   2 δέῃ scripsi : δέοι libri   μέλοι scripsi : μέλει libri (μέλοι Plat. cod. B μέλλοι cod. T)   6 οὐχεὶ A[a]   8 ἤκουσα, ἢ rubr. A   11 καὶ ante ἐξ om. M   16 καὶ om. M   ἐνθειάζει M   19 εὑρήματα M   21 θεὸν om. M   22 τὸ rubr. A   τὸ ante ἱερόν om. M Stob.   23 οἰκειότατα M   25 γὰρ scripsi : δὲ libri   ἀρχή om. M   26 μὲν om. M   29 καὶ ante ἐν om. M   ὁ om. M   31 δὲ om. M   32 προφέρεται] προσφέρεται M

[199] σνη'. Αὐτῷ δὲ ὄνομα τῷ δαίμονι] 274 C.

Τοῦτο ὀφείλεις εἰδέναι ὅτι ἐφ' ἕκαστον θεὸν καὶ ἄγγελοι καὶ δαίμονες καὶ ἥρωες καὶ ἄνθρωποι ᾠκειωμένοι εἰσίν. Ἐπειδὴ οὖν ἔδει τὴν εὕρεσιν τὴν
f°89r° παρὰ τοῦ θεοῦ Ἑρμοῦ εἰς ἀνθρώπους διὰ μεσότητός τινος ἔρχεσθαι | (οὐ γὰρ ἀμέσως τὰ θεῖα πλησιάζουσι τοῖς ἀνθρώποις), ἡ δὲ δαιμονία φύσις ἐστὶν ἡ μεταξύ, διὰ τοῦτο ἐμνήσθη <τοῦ> δαίμονος Θεὺθ, τοῖς ὑφειμένοις ἡμῖν τὴν μετάδοσιν τῶν εὑρεμάτων ποιουμένου· διὰ γὰρ τοῦ δαιμονίου πᾶσα ἡ μετάδοσις δίδοται ἡμῖν· Θεὺθ γὰρ καλεῖ τὸν Ἑρμῆν.

σνθ'. Τοῦτον δὲ πρῶτον ἀριθμόν τε] 274 C.

Τὸ μὲν λεγόμενον τοῦτο ἔστιν, ὅτι πᾶσαν τέχνην καὶ λογικὴν εὕρεσιν αὐτὸς ὁ λογικὸς θεὸς ἐξεῦρεν Ἑρμῆς. — Ἀριθμὸν δὲ πρῶτον, ἐπειδὴ ἀσώματόν τί ἐστι πρᾶγμα τὸ τοῦ ἀριθμοῦ, ὃ καὶ ἐπὶ τὰ νοητὰ καὶ αἰσθητὰ καὶ διὰ πάντων πεφοίτηκεν· εἶτα μετὰ τὸν ἀριθμὸν τὴν λογιστικὴν ἐπήγαγεν, ἥτις ἐν σχέσει τῶν ἀριθμῶν θεωρεῖται· ὁ μὲν γὰρ ἀριθμὸς ὡς ἁπλούστατος, ὁ δὲ λογισμὸς σχέσιν ἀριθμοῦ πρὸς ἀριθμὸν ἐμφαίνων, καὶ αὐτὸς δὲ ἔτι ἀσώματόν τι ὢν πρᾶγμα· εἶτα μετὰ ταῦτα γεωμετρίαν φησὶ καὶ ἀστρονομίαν, τὰ [δὲ] ἐν διαστάσει καὶ συνεχείᾳ καὶ μονῇ καὶ στάσει καὶ ἐν σώμασι λοιπὸν τάττων· ἔπειτα πεττείαν καὶ κυβείαν κατηριθμήσατο, τῷ ὄντι λοιπὸν περὶ τὰ αἰσθητὰ καταγόμενος, ἅπερ χαριεντισμοῦ χάριν παραδέδοται, καὶ αὐτὰ χρήσιμα ὄντα καὶ δυνάμενα ἀφέλκειν ἡμᾶς τῶν ἄλλων ἐπιθυμιῶν ἐν λογικῇ παιδείᾳ τάττων τὸ ἄλογον· διττὴ δέ ἐστιν αὕτη ἡ παιδιά, ἣ μὲν κυβείας χάριν ἣ δὲ παιδείας χάριν παραδεδομένη· ἐν τούτοις δὲ καὶ τύχης χρεία· ἐκεῖνα γὰρ τὸ μόνιμον καὶ σταθερὸν τῶν μαθημάτων εἶχεν. — Ὕστερα δὲ τὰ γράμματα εἶπεν,
p. 200 ἐπειδὴ | εἰκόνες εἰσὶν ἔσχατα τῶν τῆς ψυχῆς νοημάτων.

18 ἔπειτα — 24 εἶχεν jam edid. RUHNKEN ad *Tim.* p. 155 ex P

TIT 2 τίνων εὑρετὴς κατὰ τίνας ὁ Θεύθ C

NC 1 αὐτῷ, αὐ rubr. A 4 τοῦ om. M 5 δὲ scripsi : γὰρ libri 6 τοῦ addidi Θεῦθ M 7 εὑρημάτων A[a] M : sed cf. 253, 25 et 254, 19 8 δίδοται] γίνεται EM Θεῦθ M 9 τοῦτον, τ rubr. A 10 μὲν] δὲ A[a] 12 τὸ τοῦ A, qui ex τὸ prius τοῦ et ex τοῦ iterum τὸ effecisse videtur 13 πάντων] πάντα M πεφοίτηκεν] πεφύτηκεν E : πέφυκεν M λογικὴν A ante emend. : syllabam στι supra vers. add. ead. m. 14 ὡς om. EM 15 ὁ δὲ — 16 τι om. EM 17 δὲ seclusi 18 σώμασι] σώματι M τάττων scripsi : ταττόμενα libri 19 καταριθμήσατο P ἅπερ om. MP 21 παιδείᾳ] παιδιᾷ A[2] (ι suprascripto et accentu mutato) EMP τάττων scripsi : ταττόντων libri : τάττοντα AST post LUZAC. 22 παιδιὰ] παιδιᾶ A ut vid. (fort. prius παιδιὰ, deinde παιδειὰ, atque iterum παιδιὰ, vel potius παιδιᾶ) 23 μόνιμον] γόνιμον M (jam correxerat AST e fragmento a Ruhnkenio edito) 25 ἔσχατα, suprascr. οι A[a] : ἔσχαται EM

[200] σξ΄. Βασιλέως δὲ αὖ] 274 D.

Τὸ μὲν τοῦ μύθου δῆλόν ἐστι· βούλεται δὲ τὸν δεσπότην Ἑρμῆν εἰς ὑπερτέραν καὶ βασιλικωτέραν δύναμιν ἀνάγειν· τάξις γὰρ καὶ ἐν θεοῖς, καὶ τὰ ὑφειμένα εἰς τὰς ὑπερτέρας δυνάμεις ἀναγόμενα τελειοῦνται· ὅπερ δέ ἐστι παρ' Ἕλλησι Ζεὺς παντὸς τοῦ αἰσθητοῦ κόσμου δημιουργός, οὗτος παρ' Αἰγυπτίοις Ἄμμων καλεῖται ἀπὸ τοῦ ἀφανοῦς εἰς τὸ ἐμφανὲς πάντα φέρων.

σξα΄. Τὰς τέχνας ἐπέδειξε] 274 D.

Καὶ τὸ ἄφθονον καὶ μεταδοτικὸν τῆς θείας ἐνεργείας διὰ τούτου ἐνδεικνύμενος καὶ διδάσκων ὅτι οὐ χρὴ ἄχρι τοῦ εὑρόντος ἑστάναι τὴν εὕρεσιν τῶν λόγων, ἀλλ' ἀφθόνως μεταδιδόναι τοῖς πᾶσιν.

σξϐ΄. Ὁ δὲ ἤρετο ἥντινα] 274 D.

Τοῦτο διδάσκει ὅτι οὐ δεῖ προπετῶς καταδέχεσθαί τι ἢ ἀποπέμπεσθαι, πρὶν ἂν τὴν ὠφέλειαν τὴν ἐξ αὐτοῦ καὶ τὸ χρήσιμον καταμαθεῖν.

σξγ΄. Ὅ τι καλῶς ἢ μὴ καλῶς] 274 D.

Ἅτε δὴ κριτικὸς ὢν θεός, τὸ μὲν ἔψεγε, τὸ δὲ ἐπῄνει· ἄλλου γὰρ ἡ εὕρεσις [καὶ] ἄλλου ἡ κρίσις· ἡ γὰρ κρίσις ὑπερτέρα ἐστὶ τῆς εὑρέσεως· ἡ γὰρ εὕρεσις φυσικῆς ἐπιβολῆς μόνης ἐστίν, ἡ δὲ κρίσις λογικῆς τινὸς καὶ νοερᾶς ἐνεργείας. Ναυπηγὸς μὲν γὰρ πηδάλιον ποιεῖ, κρίνει δὲ ὁ κυβερνήτης· καὶ χαλινὸν δὲ χαλινοποιός, κρίνει δὲ ὁ ἱππικός. Οὕτω δὴ καὶ τὰ παρὰ τοῖς ὑφειμένοις θεοῖς καὶ μερικοῖς ἑνοειδῶς εἰς τοὺς ὑπερτέρους θεοὺς ἀναφέρεται· ἡ εὕρεσις οὖν καὶ ἡ κρίσις ἑνοειδῶς εἰς τὸν δεσπότην Ἄμμωνα ἀναφέρεται, μεμερισμένως δὲ ἡ μὲν κρίσις εἰς τὸν Θαμοῦν ὡς ὑπερτέρας τάξεως ὄντα, ἡ δὲ εὕρεσις εἰς Ἑρμῆν.

σξδ΄. Τοῦτο δὲ ὦ βασιλεῦ] 274 E.

Ἐγκώμιον λέγει τῶν γραμμάτων. — Ἄλλος μὲν δυνατὸς τεκεῖν· τουτέστιν ἄλλο ἐστὶ τὸ τεκεῖν, ἄλλο τὸ κρίνειν· ὑπερτέρας γὰρ τάξεώς ἐστι τὸ κριτικόν.

σξε΄. Καὶ νῦν σὺ πατὴρ ὢν] 274 E.

Ἐπειδὴ εἰώθασιν οἱ πατέρες τὰ ἑαυτῶν παιδία, κἂν φαῦλα ὦσιν, ἀγαπᾶν,

TIT 5 ὁ Ζεὺς παρ' Ἕλλησι παντὸς τοῦ αἰσθητοῦ κόσμου δημιουργός, παρ' Αἰγυπτίοις Ἄμμων C 26 τὸ κριτικὸν ὑπέρτερον τοῦ τίκτειν C

NC 1 βασιλέως, β rubr. A δ' Plat. 2 τὸν] τόνδε A : corr. a 3 ὑπερτέραν βασιλικωτέραν M 7 τάς, τ rubr. A ἐπέδειξεν Plat. cod. T : ἀπέδειξε cod. B 11 et 14 ὅ rubr. A 16 καὶ seclusi 24 τοῦτο, τ rubr. A 25 γραμμάτων] πραγμάτων libri, sed γραμμάτων A² (?) τεκεῖν δυνατός Plat. 27 κριτικόν] κρίνειν ME : cf. TIT 28 καί, κ rubr. A

[200] διὰ τοῦτο εἶπεν ὅτι « καὶ σὺ ὡς πατὴρ ὢν τῶν γραμμάτων τὰ ἴδια συγγράμματα ἐπαινεῖς· τοὐναντίον γάρ, ἔφη, ὧν σὺ φῄς· ἀσοφωτέρους γὰρ ποιεῖ καὶ ἐπιλήσμονας καὶ τοὺς γράφοντας καὶ τοὺς ἐντυγχάνοντας· τὸν μὲν γὰρ γράφοντα, ὅτι οἰόμενος ὡς ἐν κειμηλίῳ τινὶ ἀποθέσθαι τοὺς λόγους καταφρονεῖ καὶ οὐκέτι κινεῖ ἐν ἑαυτῷ τοὺς λόγους, τὸν δ' ἐντυγχάνοντα δοξοσοφίας πληροῖ καὶ ἀλλοτρίων δοξασμάτων ἀπὸ τῆς ἀναγνώσεως, διὰ τὸ μὴ ἔχειν τὸν διδάσκαλον· ὁ γὰρ διδάσκαλος ἐν τῇ ψυχῇ τοῦ μανθάνοντος ἐναποτίθεται τοὺς λόγους, ὁ δὲ ἀπὸ βιβλίων μανθάνων αὐτὸ μόνον παραλαμβάνει, πολλάκις ἐσφαλμένως ἤπερ ὁ διανοούμενος ἔγραψε, καὶ δῆλον ὅτι τὸ βιβλίον οὔτε ἐπερωτᾶται οὔτ' ἐπερωτώμενον ἀποκρίνεται. » |

f° 89 v° σξϛ'. Ἔξωθεν ὑπ' ἀλλοτρίων τύπων] 275 A.

Τουτέστι κατ' ἀκοὴν μόνον τὰ ἀλλότρια δεχόμενος· ὁ γὰρ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν λόγος ἀνακινεῖ τὸν ἐν ἡμῖν λόγον.

σξζ'. Ἀλλ' ὑπομνήσεως] 275 A.

Τῷ γὰρ συγγράφοντι τὰ συγγράμματα ὑπομνήματά ἐστιν εἰς γῆρας, εἰ δὲ ὑπομνήματα, δῆλον ὅτι καὶ ἀληθὴς αἰτία ἐστὶ τοῖς μαθηταῖς φαινομένης σοφίας, οὐκ ἀληθοῦς. — Πολυγνώμονες δέ, τουτέστι δόξουσι πολλὰ γινώσκειν, κατὰ τὸ ἀληθὲς οὐδὲν εἰδότες. — Τὸ δὲ ὡς ἐπὶ τὸ πλῆθος· ὡς ἐπὶ τὸ πολύ.

σξη'. Καὶ χαλεποὶ ξυνεῖναι] 275 B.

Τουτέστιν ἐν ταῖς ἐντεύξεσιν, ἅτε δὴ ἀναπεπλησμένοι δοξοσοφίας, οἴονται σοφοὶ εἶναι καὶ τῶν ἐπιστημόνων ἐθέλουσι περιγίνεσθαι.

σξθ'. Ὦ Σώκρατες ῥᾳδίως] 275 B.

Αἰσθηθεὶς ὁ Φαῖδρος ὅτι ἐπλάσατο τὸ διήγημα, ταῦτα εἶπε, καὶ ἐν τούτῳ δὲ θαυμάσαι ἔστι τὸ ἄτυφον Σωκράτους ὅτι αὐτὸς πλάττων τοὺς λόγους ἀνατίθησι τοῖς ἐφόροις θεοῖς τῶν λόγων.

σο'. Οἶδ' ἐγὼ φίλε] 275 B.

Ὃ λέγει τοῦτο ἔστιν, ὅτι « οἱ παλαιότεροι οὐ περιειργάζοντο τίς ὁ λέγων, δρῦς ἢ πέτρα ἢ ὅ τι δήποτε, ἀλλὰ τὸ λεγόμενον ἐβασάνιζον πότερον ἀληθὲς ἢ ψεῦδος· σὺ δ' ἐθέλεις μαθεῖν τίς ὁ λέγων καὶ ποταπὸς καὶ τὰ τοιαῦτα, πρὸς τὴν ἀλήθειαν τῶν πραγμάτων οὐκ ἀφορῶν. » |

NC 1 ὅτι om. M 9 ἐσφαλμένως] ἐσφαλμένος M ἤπερ] ὅπερ M 11 ἔξωθεν, ἔξ rubr. A 12 μόνον] μὲν M : μένων E 14 ἀλλ', ἀ rubr. A ἀλλὰ Plat. 16 ἐστὶ M : εἰσὶ A 20 καί, κ rubr. A 23 ὦ rubr. A 24 αἰσθησθεὶς (sic) A 27 οἶδ', ο rubr. A οἶδ' ἐγὼ etiam Plat. cod. B : οἱ δέ γ' ὦ M Plat. cod. T 30 δ' ἐθέλεις] δὲ θέλεις M ποδαπὸς Plat

p. 201 σοα'. Οὐκοῦν ὁ τέχνην οἰόμενος] 275 C.

Ὥσπερ, μέλλων εἰς τὴν κατὰ λόγον τέχνην γινομένην εἰσβάλλειν, εἰς θεοὺς ἀνήγαγε τὸ πρόβλημα καὶ τὰς Μούσας, [ὃ] καὶ τὸ περὶ εὐπρεπείας καὶ ἀπρεπείας γραφῆς εἰς θεοὺς Ἑρμῆν καὶ Ἄμμωνα, εὐπρέπειαν τοῦ συγγράφειν λέγων συντόμως εἰπεῖν τὸ θεοῖς κεχαρισμένα λέγειν τὸ ἀληθὲς καὶ τὸ καλὸν ἀφοριζομένους ἐπ' ὠφελείᾳ τῶν λεγόντων, ἀπρέπειαν δὲ τὸ δόξης καὶ φιλοτιμίας ἀνθρωπίνης ἀντιποιουμένους, τὸν αὐτὸν τρόπον καὶ νῦν τοῦτο ποιεῖ. Εἰδέναι δὲ δεῖ ὅτι οὐκ ἀναιρεῖ τὸ γράφειν ὁ Πλάτων· πολλοὶ γὰρ τῶν παλαιῶν καὶ εὐδοκιμωτάτων συνέγραψαν, ὡς Ὀρφεύς, Ἑρμῆς· Πυθαγόρας δὲ καὶ Σωκράτης οὐ συνέγραψαν. Τοιούτους οὖν ὅρους παραδίδωσιν ὁ Σωκράτης τοῦ συγγράφειν ἐνταῦθα, τὸ ἐπιστήμην ἔχειν τῶν πραγ-
f° 90 r° μάτων καὶ τὸ ἀληθὲς εἰδότας ἐπὶ ὑπομνήσει τῆς εἰς γῆρας | λήθης καὶ ὠφελείας τῶν μανθανόντων μὴ σπουδάζοντας, ἀλλὰ παιδιᾷ χρωμένους, τότε καλῶς καὶ εὐπρεπῶς συγγράφειν, τοὺς δὲ ἀνεπιστήμονας καὶ ὡς ἐπὶ μέγα καὶ περισπούδαστον καὶ δόξης χάριν ἐρχομένους εἰς τοῦτο ἀπρεπῶς συγγράφειν φησί. Φέρεται δὲ τοιοῦτόν τι διήγημα πρὸς τὸ μὴ δεῖν συγγράμμασιν ἀποτίθεσθαι τὰ νοήματα, ὅτι μαθητής τις τοῦ Πλάτωνος πάντα τὰ λεγόμενα παρ' αὐτοῦ ἀπογραψάμενος ἀπέπλευσε, καὶ ναυαγίᾳ περιπεσὼν ἅπαντα ἀπώλεσε καὶ ὑπέστρεψε πρὸς τὸν διδάσκαλον, ἔργῳ πειραθεὶς ὅτι οὐ δεῖ ἐν βιβλίοις ἀποτίθεσθαι τὰ νοήματα, ἀλλὰ ἐν τῇ ψυχῇ.

σοβ'. Πολλῆς ἂν εὐηθείας] 275 C.

Ὅτι ὃ μὲν οἴεται τέχνην ἐν γράμμασιν ἀψύχοις καταλιπεῖν, ὃ δὲ παρὰ ἀψύχων μανθάνειν. — Καὶ τῷ ὄντι τὴν Ἄμμωνος, ὅτι λήθην καὶ δοξοσοφίαν ἐντίκτει ταῦτα τὰ γράμματα.

σογ'. Πλέον γὰρ οἰόμενος εἶναι] 275 C.

Ἰδοὺ ἐνταῦθα ἐνδείκνυται κατὰ τί καλόν ἐστι τὸ γράφειν, ὅτι ὑπόμνησίς ἐστι τῶν εἰδότων τὰ γράμματα· ἐπιστήμην γὰρ τοῖς ἐντυγχάνουσιν οὐκ ἐντίκτουσι· τοῖς οὖν ἐπιστήμοσι δεῖ γράφεσθαι τὰ βιβλία.

σοδ'. Δεινὸν γάρ που ὦ Φαῖδρε] 275 D.

Ἐντεῦθεν σύγκρισιν τῶν λόγων ποιεῖται τοῦ ἀψύχου καὶ ἐμψύχου· ἄψυχον δὲ λέγω ὃν καὶ νόθον καλεῖ τὸν ἐν γράμμασιν, ἀδελφὸν δὲ γνήσιον καὶ ἔμψυχον τοῦ ἐνδιαθέτου λόγου τὸν ἐν τῇ τοῦ μανθάνοντος ψυχῇ ἐντι-

NC 1 οὐκοῦν, ο rubr. A 2 γινομένην τέχνην M 3 ὃ seclusi 7 ἀντιποιουμένην M (jam correxerat Ast) 8 δὲ om. M 12 καὶ ante τὸ om. M 15 εἰς — 16 φησί] τότε καλῶς καὶ εὐπρεπῶς συγγράφειν M (add. φησί E) quod repetitum ex præced. del. Ast 18 ἀπέπλευσεν M 19 πάντα M πειρασθεὶς M 21 πολλῆς, πο rubr. A 25 πλέον, πλ rubr. A γάρ] τι Plat. 29 δεινὸν, δει rubr. A 31 νόθον non ibi legitur apud Plat. 32 τὸν ἐνδιάθετον λόγον M

[201] θέμενον, ὅταν μαθητήν τις δυνηθῇ ἀποδεῖξαι, ὡς Σωκράτης Πλάτωνα, Πλάτων Ξενοκράτη, <Ξενοκράτης> Πολέμωνα, καὶ ὡς ἔχει ἡ διαδοχή. Τί οὖν φησιν ἐνταῦθα ὅτι <ὁ> ἐν ἀψύχοις γράμμασι γραφόμενος λόγος ἔοικε ζωγραφίᾳ; ὥσπερ γὰρ ἐν τῇ γραφῇ ζῷον ὁρᾷς οὔτε φθεγγόμενον οὔτε ἀποκρινόμενον οὔτε αὐτοκίνητον ἔχον τι, οὕτως καὶ ἐν τοῖς γράμμασιν οὐδὲν ζωῶδες ὁρᾷς, ἀλλὰ μόνον τὸ φαινόμενον· διὸ καὶ παραφέρεται ὁ ἀναγινώσκων. Ἔχει οὖν τοῦτο δεινὸν ὁ γεγραμμένος λόγος ὅτι οὐ κινεῖ τὸν ἐν ἡμῖν λόγον, ἀλλ' ἀψύχῳ ἔοικεν, οὐδὲν πλέον ὧν ἔχει ἀποκρινόμενος, ὁμοίως τε παρ' ἔμφροσι καὶ ἄφροσι λεγόμενος· ἔπειτα καὶ λοιδορούμενος παρὰ τῶν ἀναγινωσκόντων οὐχ οἷός τέ ἐστιν ἑαυτῷ ἐπαμύνειν.

σοε'. Σεμνῶς πάνυ σιγᾷ] 275 D.

Σεμνῶς εἶπεν, ἐπειδὴ οἱ σεμνοὶ σιωπὴν ἀσκοῦσι. — Λόγοι δέ, οἱ γεγραμμένοι λόγοι. — Ἐὰν δέ τι ἔρῃ τῶν λεγομένων, οἷον ὅτι ἡ ψυχὴ ἀθάνατος, ὅτι οὐσία αὐτοκίνητός ἐστιν ἡ ψυχή, οὐδὲν ἐρεῖ, ἀλλὰ τὸ αὐτὸ ἀεί.

σος'. Ὅταν δὲ ἅπαξ γραφῇ] 275 D.

Ἄλλο ἄτοπον ἐπάγει· εἶπε μὲν γὰρ δὴ ὅτι ἔχει τὸ μὴ φθέγγεσθαι ἀλλ' ἀψύχῳ καὶ νεκρῷ ἐοικέναι καὶ οὐ ζῶντι καὶ αὐτοκινήτῳ· ἔπειτα καὶ τοῦτο ἄτοπον ὅτι καὶ παρὰ ἐπιστήμοσι καὶ ἄφροσιν ὁμοίως φέρεται· ἔθος γὰρ ἦν τοῖς ἐπιστήμοσιν ἀνδράσιν, ὡς τοῖς Πυθαγορείοις, οὐ πρὸς πάντας πάντα λέγειν, ἀλλὰ πρὸς οὓς δεῖ, τοὺς δὲ ἀπέκρυπτον τὰ δόγματα· καὶ Σωκράτης ὁμοίως ἄλλους ἄλλοις συνίστα τῶν μαθητῶν, ἁρμοζόμενος πρὸς τὴν ἑκάστου ἐπιτηδειότητα· ὁ δὲ γεγραμμένος λόγος πᾶσιν ὁμοίως προσφέρεται. — Κυλινδεῖται, τουτέστιν οὐκέτι ἑαυτοῦ ἐστιν, ἀλλὰ φέρεται.

σοζ'. Πλημμελούμενος δέ] 275 E.

p. 202 Ἔχει δὲ καὶ τοῦτο ἄτοπον ὁ γεγραμμένος, τὸ μὴ δύνα|σθαι ἑαυτῷ βοηθεῖν. |

f° 90 v° σοη'. Τί δ' ἄλλον ὁρῶμεν λόγον] 276 A.

Ἐπὶ τὸν ἄλλον βούλεται ἐλθεῖν λόγον τὸν ἐν τῇ ψυχῇ, τὸν ἐν τῇ τοῦ μανθάνοντος ἐννοίᾳ ἀποτιθέμενον· γνήσιον δὲ εἶπεν ὅτι τοῦ ἐν τῇ ψυχῇ καὶ ἐνδιαθέτου λόγου τὸν προφορικὸν λόγον γνήσιον ἀδελφὸν καλεῖ, ἐκεῖνον δὲ τὸν ἐν γράμμασι νόθον καὶ ἄψυχον καὶ ἑτεροκίνητον.

NC 2 Ξενοκράτην M Ξενοκράτης addidi 3 ὁ addidi 6 καὶ in rasura, ut videtur, A παραφαίνεται M 11 σεμνῶς, σ rubr. A 12 λόγοι scripsi : λέγω A : λέγει M 15 ἀεί] ἄν M 16 ὅταν, ὅ rubr. A 17 γὰρ om. M 21 ἀπέκρυπτον] ἀποκρύπτοντας M 22 μαθημάτων A 25 πλημμελούμενος, πλ rubr. A (πλήμμενος Plat. cod. B) 28 τί rubr. A ὁρῶμεν] ἐρῶ μὲν A, ἐρῶμεν E 29 fort. [τὸν ἐν τῇ ψυχῇ] τὸν post ψυχῇ — 30 ψυχῇ om. ME 31 προφορητικὸν M

[202] σοθ'. Τὸν τοῦ εἰδότος λόγον λέγεις] 276 A.

Οὐ μόνον ὅτι ἀπὸ ζώσης προφέρεται ψυχῆς, ἀλλ' ὅτι αὐτὸς καθ' ἑαυτὸν αὐτοκίνητός ἐστιν ὁ λόγος, δυνάμενος καὶ περὶ τὰς ἐνστάσεις ἀνθίστασθαι καὶ τεκεῖν ἐκγόνους ἑαυτοῦ, ὡς ὁ Σωκράτους λόγος ἔτεκεν εἰς τὸν Πλάτωνα, καὶ ὁ Πλάτωνος ἔτεκεν ἐν τῷ Ξενοκράτει. — Τὸ δὲ εἴδωλον, ὡς καὶ τὰ γράμματα λέγομεν σύμβολα τῶν ἐν τῇ διανοίᾳ.

σπ'. Παντάπασι μὲν οὖν τόδε δή μοι] 276 B.

Τὴν οὐσίαν ἑκατέρου τοῦ λόγου παραδούς, βούλεται περὶ τῆς χρήσεως καὶ ἐνεργείας αὐτῶν εἰπεῖν, παραβάλλων τὸν ἀληθῆ λόγον καὶ τὸν ἐν τοῖς γράμμασι διὰ παραδείγματος τοῦ ἐν τῇ γεωργίᾳ. Ἔστι παιδιὰ ἐν γεωργίᾳ ᾗ καὶ ἡμεῖς παῖδες ὄντες χρώμεθα, ὅταν ἐν γάστραις γῆν ἐμβάλλοντες φυτεύσωμεν ἢ σῖτον ἤ ἄλλο τι κηπεύσωμεν, ὃς ἐν ἡμέραις ὀκτὼ φύσας καὶ ἀναβλαστήσας μετ' ὀλίγας ἡμέρας ἀπομαρανθῇ. Ταύτῃ τῇ παιδιᾷ παραβάλλει τοὺς γραφομένους λόγους (οὓς καὶ Ἀδώνιδος κήπους καλεῖ, ἐπειδὴ τῶν ἐν γῇ φυομένων καὶ ἀποβιωσκομένων ὁ δεσπότης Ἄδωνις ἐφέστηκε, πᾶσα δὲ ἡ γένεσις καὶ φθορὰ ἡ περὶ ἡμᾶς κήποις ἔοικε), τῇ δὲ ἀληθεῖ γεωργίᾳ τῇ μετὰ σπουδῆς καὶ πολλοῦ καμάτου τὸν ἀληθῆ λόγον. Ὁρᾷς οὖν ὅτι τῇ παιδιᾷ τὴν σπουδὴν ἀντιτίθησι, τῷ ἀτελεῖ τὸ τέλειον (ἀτελεῖς γὰρ ἐκεῖνοι οἱ καρποί, οὗτοι τέλειοι), τῷ χρόνῳ τὸν χρόνον, ὃ μὲν ἐν ἡμέραις ὀκτώ, ὃ δὲ ἐν μησὶν ὀκτώ.

σπα'. Ταῦτα μὲν δὴ παιδιᾶς τε] 276 B.

Ὅπερ ἐπὶ τῆς ἐγκοσμίου δημιουργίας τοῖς θεοῖς ἔχει τὸ παίγνιον αὐτῶν εἶναι τὸν πάντα κόσμον, ὡς καὶ ὁ ποιητής φησι·

> ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν
> ὡς ἴδον Ἥφαιστον·

(τουτέστιν, ὡς ἴδον τὰ δημιουργήματα, ηὐφράνθησαν καὶ ἐγέλασαν), ὅπερ οὖν τοῖς θεοῖς ὁ κόσμος, τοῦτο καὶ τῷ σπουδαίῳ ἡ περὶ τάξεως ἐνέργεια· παιδιᾷ γὰρ ἔοικεν, ἡ δὲ ἐν ταῖς ψυχαῖς σπουδῇ.

σπβ'. Τὸν δὲ δικαίων τε] 276 C.

Ἐκ τοῦ ἥττονος ἡ ἐπιχείρησις· « ἆρα οὖν δοκοῦσί σοι ἥττονος σπουδῆς ἄξια εἶναι τὰ καλὰ καὶ δίκαια τοῦ σίτου καὶ τῶν ὁμοίων; »

23 φησι A 599-600

NC 1 τὸν rubr. A 4 ἐν τῷ Πλάτωνι M 7 παντάπασι, π rubr. A τόδε] τὸ δὲ M 10 παιδιὰ ἐν τῇ γεωργίᾳ M 11 ἐκβάλλοντες M : fort. ἐμβαλόντες 12 σίτον AM 16 ἐφέστησε M ἡ φθορὰ M 17 ἀληθεῖ] ἀληθείᾳ M 18-19 ἀτελεῖς] ἀτελὲς M 20 ὃ δὲ — ὀκτώ om. M 21 ταῦτα, τ rubr. A 23 καὶ om. M 24 δ' ἄρ' M ; in A potius γ' ἄρ legeris 25 ἴδον ex εἶδον A[1] 26 ἴδον] εἶδον M 29 τὸν, τ rubr. A

[202] σπγʹ. Οὐκ ἄρα σπουδῇ] 276 C.

Ὡς ὁ σπείρων ἐν γαστρίοις παιδιᾶς χάριν τοῦτο ποιεῖ, οὕτως καὶ ὁ γράφων μέλαν διὰ καλάμου παίζων καὶ οὐ σπουδάζων γράφει. — Ἀλλὰ τὸ μὲν ἐν γράμμασι· τὸ χρήσιμον τοῦ γράφειν ἐρεῖ, ὅτι ἑαυτῷ εἰς
f° 91 r° τὸ γῆρας διὰ τὴν λήθην ὑπομνήματα θησαυρίζεται | καὶ τοῖς ἐπιστήμοσι τοῖς ὁμοίοις ἑαυτοῦ· οὐ γὰρ τοῖς ἀνεπιστήμοσιν. — Αὐτοὺς θεωρῶν, τουτέστι παραβάλλων ταύτην τὴν παιδιὰν ταῖς ἄλλαις παιδιαῖς, ταῖς ἐν κύβοις ἢ μέθαις ἢ τοῖς τοιούτοις.

σπδʹ. Ἡσθήσεται] 276 D.

Τοῦτο καὶ ἐν Τιμαίῳ εἶπεν· « ὅταν τοὺς περὶ τῶν ὄντων καταθέμενος λόγους ἀμεταμέλητον ἡδονὴν καρπῶται » διὰ τῶν μαθημάτων. — Ἁπαλοὺς δέ, ἀντὶ τοῦ εὐπαθεῖς. — Ἄρδοντες, τουτέστι τὸ ἀπορρέον τῆς ψυχῆς ἀνακτώμενοι καὶ ἄρδοντες.

σπεʹ. Παγκάλην λέγεις παρὰ φαύλην παιδιάν] 276 E.

Περὶ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς μυθολογοῦντα <καὶ> τῆς φαύλης παιδιᾶς ἐκτὸς ὄντα. — Μυθολογοῦντα δέ· [ὅτι] ὅρα πάλιν ὅτι μῦθον ἐκάλεσε τὰ ἐν τοῖς συγγράμμασιν ὡς πρὸς τὴν ἀλήθειαν τῶν τῆς ψυχῆς, ἐπειδὴ καὶ πᾶσα ἡ φαινομένη δημιουργία ὡς πρὸς τὴν ἀληθῆ μῦθός ἐστι.

σπςʹ. Πολὺ δ' οἶμαι] 276 E.

Πολὺ δ' οἶμαι καλλίων ἐκείνη ἡ σπουδή, ὅταν <τις> ἐν τοῖς μαθηταῖς ἑαυτοῦ ἀποτίθηται τὴν διδαχὴν ἑαυτοῦ, οἳ ἑαυτοῖς δύνανται βοηθεῖν καὶ καλοὺς ὁμοίους τίκτειν· πᾶν γὰρ τέλειον ὅμοιον ἑαυτῷ γεννᾷ. — Τὸ δὲ ψυχὴν προσήκουσαν, τουτέστιν ἐπιτηδείαν.

σπζʹ. Ἀθάνατον παρέχειν ἱκανοί] 277 A.

Ὁρᾷς γὰρ <ὅτι> δι' Ἀριστοτέλην <καὶ> διὰ Πλωτῖνον ὥσπερ ἀθάνατός ἐστι Πλάτων.

10 *Tim.* 59 CD

NC 1 οὐκ ἄρα σπουδῇ rubr. A 2 γαστρίοις] γάστραις M 3 μέλαν] μέλανι M 4 τὸ ante μὲν] τοὺς Plat. 5 τοῖς ante ἐπιστήμοσι om. M. 6 ἑαυτοῦ] ἑαυτῷ M 7 τὴν παιδιὰν ταύτην M 9 ἡσθήσεται, ἡ rubr. A 10 ὅταν] ὅτι M καταθέμενος Ast : καταθεμένους libri : ἀεὶ κατατιθέμενος Plat. 11 καρπῶται] καρποῦται M : κτᾶται Plat. 13 ἄρδοντες corruptum 14 παγκάλην, π rubr. A φαύλην] φαῦλον AE 15 μυθολογοῦντα Plat. : μυθολογοῦντας libri καὶ addidi 16 ὄντα scripsi : ὄντας libri ὅτι seclusi 20 πολὺ, πο rubr. A 21 τις addidi 25 ἀθάνατον, ἀ rubr. A 26 ὅτι addidi καὶ addidi ὥσπερ ἀθάνατός ἐστι scripsi : ἀθάνατός ἐστιν ὥσπερ libri

[202] σπη'. Νῦν δὴ ἐκεῖνα ἤδη ὦ Φαῖδρε] 277 A.

Ἀπὸ τῶν ἐντεῦθεν σύνοψιν βούλεται ποιήσασθαι πάντων τῶν εἰρημένων
p. 203 περὶ τῆς ῥητορικῆς τέχνης | καὶ εὐπρεπείας λόγου, καὶ ἀνακεφαλαιοῦται αὐτὰ ἐν βραχυτάτοις. « Ἐπειδὴ τοίνυν διεπεράναμεν ποίᾳ τέχνῃ καὶ εὐπρεπείᾳ δεῖ χρήσασθαι τὸν ὀρθῶς γράφοντα, νῦν δυνάμεθα κρῖναι τὸ ἐν τῇ λογογραφίᾳ ὄνειδος τοῦ Λυσίου· δῆλον γὰρ ὅτι γιγνόμενον τὸ τῆς λογογραφίας καθὼς ἡμεῖς ἐξεθέμεθα οὐκ ἔστιν ὄνειδος, ἀλλὰ καλὸν καὶ ἀγαθόν, ὡς ἄλλως δὲ αἰσχρόν. »

σπθ'. Ὧν δὴ πέρι] 277 A.

Τῷ γὰρ ὄντι ὁ περὶ τῆς ῥητορικῆς λόγος ἐντεῦθεν ἤρξατο ἀπὸ τοῦ εἰπεῖν τὸν Σωκράτην Φαίδρῳ παλινῳδίαν ᾆσαι συμβουλεῦσαι τῷ Λυσίᾳ, καὶ τὸν Φαῖδρον εἰπεῖν ὅτι ἴσως οὐ ποιήσει τοῦτο, ἐπειδή τινες ὠνείδισαν αὐτῷ ὡς λογογράφῳ. |

f° 91 v° σϟ'. Τὸ μὲν οὖν ἔντεχνον] 277 B.

Τὸ περὶ τῆς τέχνης ἐνταῦθα συνοψίζει, λέγων ὅτι δεῖ ἐπιστήμην ἔχειν τῶν πραγμάτων, τὸ ἀληθὲς εἰδέναι, ὁρισμόν, διαίρεσιν, φύσιν ψυχῆς, καὶ τὰ εἴδη τῶν λόγων, καὶ ὅσα ἤδη προεῖπεν.

σϟα'. Ὑπόμνησόν με πῶς] 277 B.

Τουτέστιν « ἐν κεφαλαίῳ εἰπὲ καὶ ἀνακεφαλαίωσαι τὸν λόγον. » — Τὸ δὲ πρὶν ἄν τις τόγε· τοῦτο λέγει ὅτι δεῖ τὸν συγγράφοντα ἐπιστήμην ἔχειν τῶν πραγμάτων, καὶ ὅσα ἄλλα ἤδη εἶπε, νῦν ἀνακεφαλαιοῦται συντόμως. — Ποικίλῃ μὲν ποικίλους· ποικίλη ἐστὶν ἡ ψυχὴ ἡ χαίρουσα παραδείγμασιν, ἱστορίαις καὶ δὴ τοῖς διαφόροις λόγοις· ὅρα δὲ ὅτι καὶ ὁ Σωκράτης οὕτως ἐποίησε· διαφόρως γὰρ κατεποίκιλλε τὸν λόγον.

σϟβ'. Οὐ πρότερον δυνατόν] 277 C.

Καὶ γὰρ ὁ ῥητορικὸς λόγος, διὰ τῶν πιθανῶν πειθων, οὐκ ἂν ἄλλως πείσειεν εἰ μὴ εἰδείη τὸ ἀληθές· ἡ πειθὼ γὰρ διττή ἐστιν, ἥ τε διδασκαλικὴ ἥ τε πιστευτική· οὔτε οὖν τῇ διδασκαλικῇ οὔτε τῇ πιστευτικῇ δύναται χρήσασθαι, εἰ μὴ διὰ τούτων τίς ἔλθοι τῶν τεχνῶν καὶ μάθοι καὶ τὸ ὑποκείμενον πρᾶγμα καὶ τὰς διαφορὰς τῶν λόγων καὶ ὅσα ἄλλα εἶπε.

NC 1 νῦν, ν rubr. A   νῦν δὲ δὴ E   4 ποίᾳ] πάσῃ EM   5 δεῖ] δεῖν Ast (qui πάσῃ legebat)   9 ὧν rubr. A   14 τὸ, τ rubr. A   17 προεῖπεν] προείρηται A[a]   18 ὑπόμνησον, ὑ rubr. A   hæc verba sine dubio Phædro tribuebat Hermias   20 τόγε] τό τε M   21 νῦν] καὶ M   23 δὴ om. ME   24 κατεποίκιλε M   25 οὐ rubr. A   27 πείσειεν scripsi : πείσῃ A : πείσει M   εἰδείη] δείη M (jam correx. Ast)   γὰρ scripsi : δὲ libri   28 δ' οὖν M

[203] σλγʹ. Τί δ' αὖ περὶ τοῦ καλὸν ἢ αἰσχρόν] 277 D.

Συνοψίσας τὸ ἔντεχνον καὶ ἄτεχνον τοῦ λόγου (τὸ γὰρ παρὰ τὰ εἰρημένα αὐτῷ γινόμενον δῆλον ὅτι ἄτεχνόν ἐστι), νῦν ἐπὶ τὴν σύνοψιν τῆς εὐπρεπείας καὶ ἀπρεπείας τοῦ λόγου ἔρχεται, δεικνὺς πῇ μὲν καλόν ἐστι τὸ γράφειν, πῇ δὲ οὒ ἀλλὰ καὶ ἐπονείδιστον· καὶ μεγάλα τινὰ ἐν αὐτῷ ὀνείδη εἶπε καὶ νῦν λέγει, καταγινώσκων τῶν ὡσπερεὶ μετὰ τὸ γράφειν σπουδαζόντων, ὅτι οὗτοι ἄξιοί εἰσι τοῦ ὀνειδίζεσθαι, κἂν ὑπὸ τῶν πολλῶν ἐπαινῶνται, ὅτι μὴ εἰδότες ἀληθὲς καὶ ψευδὲς καὶ τὴν φύσιν τῶν ὄντων τῇ ἀληθείᾳ τῶν πραγμάτων καὶ τῇ εἰδήσει τῇ ἐπιστημονικῇ τὸ ὕπαρ παραβάλλουσι, τῇ δὲ φανταστικῇ ἐννοίᾳ τὸ ὄναρ (εἴδωλα γὰρ τοῦ ἀληθοῦς ἔχει τὸ ὄναρ), <καὶ> ὡς ἐπὶ μεγάλῳ πράγματι μεγαλαυχοῦντες ἐπερείδονται τῇ συγγραφῇ. — Τὸ δὲ ὕπαρ τε καὶ ὄναρ, τουτέστι τὸ ὄντως ἀληθὲς καὶ <τὸ> φαινόμενον ἀληθές, οὐκ ὂν δέ. Τὸ γοῦν ἀγνοεῖν τί τὸ ἀληθές, τί τὸ δίκαιον καὶ τὸ μή, καὶ τὰ τοιαῦτα, ἐπονείδιστόν ἐστι.

σλδʹ. Μεγάλην τινὰ ἐν αὐτῷ] 277 D.

Ἐν τῷ λόγῳ λέγει. — Ὁ δέ γε ἐν μὲν τῷ γεγραμμένῳ· τὸ μὲν
f° 92 r° οὖν οὕτως γράφειν ὡς περὶ σπουδαίων ἀπρεπές, τὸ δὲ ὡς ἐν παιδιᾶς μέρει | εἰδότα τὸ ἀληθὲς καὶ μάλιστα ἕνεκα τοῦ ἐν τῇ ψυχῇ τοῦ μανθάνοντος ἐγχαράξαι τοὺς λόγους, καὶ μὴ ἐν γράμμασιν, εὐπρεπῶς ἔχει· λέγει δὲ καὶ ὅσα πρέπει τῷ καλῶς γράφοντι ἐν συνόψει, ὅσα ἤδη ἀνωτέρω προεῖπεν. — Υἱέας μὲν ἐκάλεσε τοὺς ἐν αὐτῷ λόγους, ἀδελφοὺς δὲ τοὺς ἐν ἄλλων μὲν ψυχαῖς ἐπιστημόνων δέ, ἐκγόνους δὲ τοὺς ἐν τοῖς μαθηταῖς.

σλεʹ. Οὐκοῦν ἤδη πεπαίσθω] 278 B.

Τὰ εἰρημένα περὶ λόγων ὡς ἐν παιδιᾶς μέρει πεπαίχθω καὶ λελέχθω ἡμῖν. Ὡς γὰρ πρὸς τὴν ἔνδον ἐνέργειαν τοῦ Σωκράτους, τὰ εἰρημένα καὶ ἐκτὸς παιδιά ἐστι, καίπερ μεγάλης ἄξια ὄντα σπουδῆς· ὥσπερ οὖν ἡ περὶ τὸν κόσμον δημιουργία τῶν θεῶν, ὡς πρὸς τὴν ἄνω καὶ θείαν καὶ νοητήν, παίγνιόν ἐστιν, οὕτω καὶ ὁ λόγος ὁ ἐκτὸς καὶ προφορικός, ὡς πρὸς τὸν ἐνδιάθετον, παίγνιόν ἐστι.

σλϛʹ. Καὶ σύγε ἐλθὼν φράζε] 278 B.

Ὥσπερ τὴν ἀρχὴν τοῦ λόγου τούτου εἰς θεοὺς ἀνήνεγκεν, οὕτω καὶ τὸ τέλος θεοῖς ἀνατίθησι, καὶ τοῦ παντὸς δὲ λόγου τὸ πέρας τοῖς θεοῖς ἀνατί-

NC 1 τί, τ rubr. A 2 post εἰρημένα sign. rel. in A sed nihil in margine 3 ἄτεχνον — 4 ἔρχεται om. M ὄψιν E 6 καὶ καταγινώσκων M μετὰ] μέγα Ast 9-10 παραβάλλουσι ex παραβάλλει A 10 εἴδωλα — ὄναρ om. M 11 καὶ addidi 13 τὸ addidi 14 καὶ τὰ] κατὰ M (jam correx. Ast) 15 μεγάλην, με rubr. A 18 εἰδότα τὸ evanid. in A 19 καὶ ante ὅσα om. A^a 20 ὅσα om. M 21 υἱεῖς A^a ἄλλων μὲν Ast : ἄλλῳ μὲν EM : ἄλλω καὶ A^a 23 οὐκοῦν, ου rubr. A 24 πεπαίσθω M 25 ἡμῖν] εἶπεν A^a 30 καί, κ rubr. A σύγε] σύ τε Plat.

p. 204 θησι. — Νύμ|φαι δέ εἰσι θεῖαι ψυχαὶ κρείττους τῶν ἀνθρωπίνων, ἐπιτροπεύουσαι πᾶσαν τὴν γένεσιν· καὶ αὗται οὖν αἱ θεαὶ συνεργοὶ γίνονται τῇ τοῦ λογίου θεοῦ τοῦ δεσπότου Ἑρμοῦ δόσει τῇ εἰς πάντα τὸν κόσμον διδομένῃ. Ὁρᾷς οὖν ὅτι ὁ λόγος διὰ πάντων φοιτῶν φοιτᾷ καὶ διὰ τῶν μεταξὺ πάντων γενῶν. Λυσίου δὲ καὶ Ὁμήρου καὶ Σόλωνος ἐμνημόνευσεν, ὡς ἂν εἴποις πολιτικοῦ καὶ ποιητικοῦ καὶ νομοθετικοῦ λόγου. — Συγγράμματα ἔγραψε· πῶς δεῖ γράφειν καὶ κατὰ τί καλόν ἐστι τὸ γράφειν διαρρήδην ἐκτίθεται, καὶ ὅτι <ὁ> οὕτως γράφων οὐκ ὀφείλει καλεῖσθαι πολιτικὸς ἢ ῥαψῳδὸς ἢ νομοθέτης, ἀλλὰ φιλόσοφος. Τὸ γὰρ σοφὸν καλεῖν ὑπερβαίνει τὰ ἀνθρώπινα μέτρα· πάντων δὲ τῶν πρὸ Πυθαγόρου καὶ περί τι ἐπιστημόνων σοφῶν καλουμένων, ὁ Πυθαγόρας ἐλθὼν τὸ θεῖον μόνον σοφὸν ἐκάλεσεν, ὡς ἐξαίρετον τὸ ὄνομα τῷ θεῷ ἀπονείμας, τοὺς δὲ ὀρεγομένους σοφίας | f°92v° φιλοσόφους ἐκάλεσεν. Οὕτως καὶ ἐν τῷ Συμποσίῳ σοφὸν ἐκάλεσε τὸν Ἔρωτα ὁ Σωκράτης, φιλόσοφον δὲ οὔ· « θεῶν γάρ, φησίν, οὐδεὶς φιλόσοφος· » τίνες οὖν οἱ φιλόσοφοι; οἱ ὀρεγόμενοι τῆς σοφίας.

σϟζʹ. Οὐκοῦν αὖ τὸν μὴ ἔχοντα τιμιώτερα] 278 D.

Τὸν μὴ ἔχοντα οὖν τιμιώτερα ὧν συνέγραψε συρράπτων λέξει διαλέγειν εἰκότως ἂν λογογράφον ἐρεῖς· οὗτος γὰρ ἐπονειδίστως γράφει.

σϟηʹ. Οὐδὲ γὰρ οὐδὲ τὸν σὸν ἑταῖρον] 278 E.

Ἐλέγετο Ἰσοκράτης οὕτως ἑταῖρος γεγενῆσθαι Σωκράτους ὡς μετὰ τὸν θάνατον αὐτοῦ ἐπὶ ἐνιαυτὸν μελανειμονεῖν· λέγεται δὲ ὅτι καὶ θελήσαντάς τινας φιλόσοφα ἀναγνῶναι προσήνεγκεν Ἀνύτῳ καὶ Μελίτῳ λέγων « παιδεύσατε τοὺς νέους· » τοῦτο δὲ ἐποίησεν ὀνειδίζων αὐτοῖς τὸν θάνατον Σωκράτους. Ἐπαινεῖ δὲ ὁ φιλόσοφος τὸν Ἰσοκράτην οὐ κατὰ τὴν τῶν λόγων τέχνην (νέος γὰρ ἦν καὶ ἡττᾶτο κατὰ τοῦτο Λυσίου), ἀλλὰ κατὰ τὴν φύσιν καὶ τὸ ἦθος αὐτοῦ.

1 cf. 54, 33 ; 64, 10 13 *Convio.* 203 E-204 A 20 ἐλέγετο cf. Ps. Plut. *Vit. X Or.* 838 F (sed alteram historiolam Plutarchus non præbet); Olympiod. *in Gorg.* ed. Jahn (*Archiv.* XIV), p. 162 : ἐπειδὴ ἀπέθανεν, ὁ Ἰσοκράτης ἀνιώμενος λαβὼν τοὺς νέους ἀπήγαγε πρὸς Ἄνυτον καὶ Μέλητον, λέγων ὅτι « δέξασθε, παιδεύσατε αὐτοὺς ὑμεῖς, ἐπειδὴ Σωκράτης οὐκέτι ἔστιν »

TIT 11 τὸ θεῖον μόνον σοφόν CF 20 ὅρα τὸν ἔπαινον Ἰσοκράτους CF

NC 1 θεῖαι] θεῖα F 3 δόσει] δόσῃ F 4 πάντων (ante φοιτῶν)] πάντα M πάντων (ante γενῶν) om. M 7 ἔγραψεν Plat. καὶ — γράφειν om. M 8 ὁ addidi 10 πρὸ om. M 13 οὕτως γὰρ F τῷ om. F 14 φιλόσοφος] φιλοσοφεῖ Plat. 16 οὐκοῦν, οὐ rubr. A : οὔκουν M αὖ τὸν] αὐτὸν Plat. codd. B^1 T^1 17 τὸν μὴ evanid. in A ὧν συν id. λέξει δια id. 18 οὗτος Ast : οὕτως libri 19 οὐδὲ, οὐ rubr. A 20 οὕτως] ex οὗτος A^1 (ut videtur) : οὗτος M 21 λέγεται] λέγει FM (jam correxerat Ast) δὲ om. M 22 Μελίτῳ] Μελήτῳ A : Μιλήτῳ F 25 τοῦτο] τοῦ M

[204] σϟθ'. Τίνα αὐτὸν φήσομεν εἶναι] 278 E.

Οἷον λογογράφον, φιλόσοφον <ἢ> τί καλέσομεν αὐτόν; — Νέος ἔτι ὦ Φαῖδρε Ἰσοκράτης· ᾔδει γὰρ ὁ Σωκράτης ἐξ ὄνυχος τὸν λέοντα καὶ τὸν Ἰσοκράτην δὲ γνῶναι ᾔδει οἷός ἐστι τὴν φύσιν.

τ'. Δοκεῖ μοι ἀμείνων] 279 A.

Ὅρα πῶς οὐκ ἐπαινεῖ αὐτὸν εἰς τὸ συγγράφειν ὡς βελτίονα Λυσίου, ἀλλὰ κατὰ τὴν φύσιν· τῷ δὲ χρόνῳ, φησίν, ὡς τὸ εἰκός, πολὺ αὐτοῦ τοῦ Λυσίου ἔσται κρείττων.

τα'. Μὴ ἀποχρῆσαι ταῦτα] 279 A.

Τουτέστι τὸ λογογραφεῖν, ἀλλὰ τράπηθι κατὰ εὐμοιρίαν τινὰ εἰς φιλοσοφίαν. — Σὺ δ' ἐκεῖνα ὡς σοῖς, ἐπειδὴ ἐραστὴς ἦν ὁ Φαῖδρος τοῦ Λυσίου καὶ τοῦ λόγου αὐτοῦ.

τβ'. Οὐκοῦν εὐξαμένῳ] 279 B.

Καὶ ἀρχόμενος τοῦ λόγου ἀπὸ θεῶν ἤρξατο, καὶ νῦν τελευτῶν εἰς εὐχὴν |
•93 r• καταλήγει τὸν παρόντα λόγον, ἐπειδὴ καὶ ἀρχὰς καὶ τέλη καὶ πάντα περιέχουσιν οἱ θεοί, ποιεῖται δὲ τὴν εὐχὴν πρὸς τοὺς ἐντοπίους θεούς.

τγ'. Ὦ φίλε Πάν τε] 279 B.

Πάν ἐστι θεὸς ὁ τὸ πᾶν ἐπιτροπεύων. Διὰ τί δέ, φησί, τὰ μὲν ἄνω αὐτοῦ ἀνδρόμορφα ποιοῦσι, τὰ δὲ κάτω αἰγὸς καὶ τετριχωμένα ἐμφαίνοντες; διὰ μὲν τῶν ἄνω τὸ λογικὸν καὶ ζωῶδες, διὰ δὲ τῶν κάτω τὸ θηριῶδες καὶ ἄλογον, καὶ ὅτι δεῖ κρατεῖν τῆς ἀλογίας.

τδ'. Δοίητέ μοι καλῷ γενέσθαι] 279 B.

Τί γάρ; κακὸς ἦν; Λέγομεν οὖν ὅτι εὔχεται ὥστε διαμεῖναι καλὸς τὰ ἔνδοθεν.

15 cf. 206, 1 (*Leg.* IV 715 E)

TIT 18 διὰ τί τὸν Πάνα γράφουσιν ἀνδρόμορφον ;τὰ ἄνω, τὰ δὲ κάτω ἀσκοσκελῆ (l. αἰγοσκελῆ) BCF

NC 1 τίνα, τι rubr. A 2 ἢ addidi 4 γνῶναι dubium ἐστι] ἔσται A^{1} 5 δοκεῖ, δο rubr. A 9 μὴ rubr. A ἀποχρῆσαι etiam Plat. cod. T^{1} : ἀποχρήσαι T^{2} : ἀποχρησαι B 10 τραπηθείη ABT (sed ἀποχρῆσαι modo imperativo legebat Hermias) 13 οὐκοῦν, οὐ rubr. A : οὔκουν M 16 εὐχὴν] ἀρχὴν M 17 ὦ rubr. A 18 πᾶν A^{a} φησὶ om. M : etiamnunc claudicat sententia 19 ἀνδρόμορφα] ἀνθρωπόμορφα M 20 διὰ δὲ — θηριῶδες καὶ om. EM ἄλογον] εὔλογον EM 22 δοίητε, δοι rubr. A 23 ὅτι εὔχεται evanid. in A 23-24 τὰ ἔνδοθεν] τὰ ἔνδον A (ἔνδον A^{a}) : τἄνδοθεν Plat.

[204] τε´ Ἔξωθεν δὲ ὅσα ἔχω] 279 B.

Πάντα τὰ ἐκτὸς καὶ σώματα καὶ χρήματα ἁρμοδίως τῇ ψυχῇ συντάττεσθαι βούλεται καὶ σύμμετρα εἶναι τοῖς ἔνδον, ἵνα μήτε ὑπέρογκα ᾖ καὶ ἀσχολῆται περὶ τὰ ἐκτός, μήτε διὰ τὸ ἐλλείπειν αὐτὰ διαφθείρηται.

τϛ´. Πλούσιον δὲ] 279 C.

Ὁ πλούσιός ἐστιν ὁ τὰ αὐτάρκη ἔχων, ὁ σοφὸς δὲ ὁ ἀρκούμενος οἷς ἔχει, κἀντεῦθεν πλούσιός ἐστι.

τζ´. Τὸ δὲ χρυσοῦ πλῆθος] 279 C.

Ὁ γὰρ ὑπέρογκος πλοῦτος καὶ ἐξυβρίζειν ποιεῖ καὶ ἀπασχολεῖ τῆς θεωρίας.

τη´. Κοινὰ γὰρ τὰ τῶν φίλων] 279 C.

Ἡ παροιμία αὕτη οὐ μόνον ἐπὶ τῶν ἐκτὸς εἴρηται πραγμάτων ἀλλὰ καὶ ἐπὶ τῆς εὐχῆς· τὰ γὰρ αὐτὰ εὐχόμεθα καὶ τοῖς φίλοις ἅπερ ἂν ἑαυτοῖς εὐξαίμεθα.

Τέλος.

NC 1 ἔξωθεν, ἔξ rubr. A 2 ἐκτὸς] ἐντὸς M : ἡμέτερα A[a] καὶ τὰ σώματα M τῇ evanid. in A 5 πλούσιον δὲ rubr. A 8 τὸ, τ rubr. A 10 κοινὰ, κοι rubr. A

In fine folii 93[v] hi versus eadem manu rubro scripti qui et in L (f[o] 187) et in F inveniuntur (jam edidit Boissonade ex A in *Anecd.*, vol. II, p. 471)

ὁ πρῶτος Ἑρμῆς μνημονεύσας ἐν βίῳ
τρίτον γενέσθαι καὶ σοφὸν τοσαυτάκις
ἐπωνομάσθη τρισμέγιστος εἰκότως·
ὁ δεύτερος δὲ πανσόφως σαφηνίσας
τὸν τοῦ Πλάτωνος Φαῖδρον ἐν τρισὶν βίβλοις
τρισόλβιος καλοῖτ' ἂν οὐκ ἀπὸ τρόπου

(v. 2 σοφὸν] σοφὸς A : σοφῶς F ; v. 5 τρισὶ libri : in A versus ita sunt dispositi, ut versus 1, 3, 5 unam, versus 2, 4, 6 alteram columnam efficiant)

INDEX SCRIPTORUM

Platonici Phædri illos tantum locos indicavi quos extra ordinem laudaverat Hermias : ceterorum dialogorum cum titulus ab eodem sæpe esset omissus hoc quoque notandum putavi et numeros uncis includendo significavi.

ADDENDA ET CORRIGENDA[1]

1. p. 2, 5, Comment.; cf. pp. 41, 3 et 42, 1.
2. p. 2, 23, N C; cf. Prolegomena, p. XVII.
3. p. 3, 20, N C; cf. Prolegomena, p. XVII.
4. p. 7, 19, N C; cf. p. 254, 15 sqq.
5. p. 40, 8, Comment.; cf. p. 260, 21.
6. p. 61, 9, N C (ubi pro *Præf.* legendum *Prol.*); cf. p. XIX.
7. p. 107, 13, N C; cf. p. 119, 22.
8. p. 128, 15, Comment.; cf. p. 235, 21.
9. p. 150, 6, N C; cf. p. 255, 13.

p. 38, 12, Comment.; *leg.* : ÆSCH. *l. c* et III 175-176 (ut videtur).
p. 38, 14, Comment.; *pro* 23, *leg.* : 21.
p. 96, 28, Comment.; *add.* 244 D.
p. 150, 24, Comment.; *del.* : et indicem.
p. 164, 24, Comment.; *add.* : Rep. X 617 E.
p. 168, 25, Comment.; *pro* 68 (123), *leg.* : 123 (68).

1. Cf. Præf. p. II, n 1.

TABULA

CHALON-S-SAONE, IMP. FRANÇAISE ET ORIENTALE, E. BERTRAND